ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

13Α

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ Γ'

(ΟΜΙΛΙΑΙ ΛΒ' – ΝΔ')

ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ – ΣΧΟΛΙΑ

Ὑπὸ

ΓΡΗΓΟΡΙΟΥ ΕΥΘΥΜΙΟΥ


Φιλολόγου

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας



Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1978

ΙΩΑΝΝΗΣ ΧΡΥΣΟΣΤΟΜΟΣ

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ

ΟΜΙΛΙΑ ΛΒ΄.

Ἰω. 4,13 - 20

«Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος, ἁλλομένη εἰς ζωὴν αἰώνιον».

1. Τοῦ Πνεύματος τὴν χάριν ἡ Γραφὴ ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ἐστὶ ταῦτα παραστατικὰ τὰ ὀνόματα ἀλλ' ἐνεργείας. Οὐδὲ γὰρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τὸ Πνεῦμα, ἀόρατόν τε καὶ μονοειδὲς ὄν. Τὸ μὲν οὖν ὁ Ἰωάννης δηλεῖ, οὕτω λέγων· ««Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί», τὸ δὲ ὁ Χριστός, «Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ρεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, φησίν, «οὗ ἔμελλον λαμβάνειν».

Οὕτω καὶ τῇ γυναικὶ διαλεγόμενος, ὕδωρ καλεῖ τὸ Πνεῦμα· «Ὃς γὰρ ἂν πίῃ ἀπὸ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα». Οὕτω δὲ τὸ Πνεῦμα καλεῖ, διὰ μὲν τῆς τοῦ πυρὸς προσηγορίας, τὸ διεγηγερμένον καὶ θερμὸν τῆς χάριτος καὶ δαπανητικὸν ἁμαρτημάτων αἰνιττόμενος, διὰ δὲ τῆς τοῦ ὕδατος τόν τε καθαρμὸν τὸν ἐξ αὐτοῦ καὶ τὴν πολὺν παραψυχὴν ταῖς ὑποδεχομέναις αὐτὸ διανοίαις ἐμφῆναι. Εἰκότως. Ὥσπερ γάρ τινα παράδεισον παντοίοις δένδροις κομῶντα καρποφόροις τε καὶ ἀειθαλέσιν, οὕτω τὴν πρόθυμον κατασκευάζει ψυχήν, οὔτε ἀθυμίας, οὔτε σατανικῆς συγχωροῦσα ἐπιβουλῆς αἰσθέσθαι, ἅτε ραδίως σβεννῦσα τοῦ Πονηροῦ πάντα τὰ πεπυρωμένα βέλη.

Σὺ δέ μοι σκόπει τοῦ Χριστοῦ τὴν σοφίαν, πῶς ἠρέμα ἀνάγει τὸ γύναιον. Οὐ γὰρ ἐκ πρώτης εἶπεν· «Εἰ ᾔδεις τίς

1. Ἰω. 4, 13-15.
2. Ματθ. 3, 11.
3. Ἰω. 7, 38-39.

ΟΜΙΛΙΑ ΛΒ΄.

Ἰω. 4,13 - 20

«Ὁ Ἰησοῦς τῆς ἀπεκρίθη· «Ὅποιος πίνει ἀπὸ τὸ ὕδω[ρ] αὐτό, θὰ διψάσῃ καὶ πάλιν. Ἐκεῖνος ὅμως ποὺ θὰ πιῇ ἀπ[ὸ] τὸ ὕδωρ, ποὺ θὰ τοῦ δώσω ἐγώ, δὲν θὰ διψάσῃ ποτέ, ἀλλ[ὰ] τὸ ὕδωρ ποὺ θὰ τοῦ δώσω, θὰ γίνῃ ἐσωτερικὴ πηγὴ ὕδα-τος, ποὺ θ' ἀναβρύῃ εἰς ζωὴν αἰώνιον»[1].

1. Τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἡ Γραφὴ ἄλλοτε μὲ[ν] ὀνομάζει πῦρ, ἄλλοτε δὲ ὕδωρ, ἐπειδὴ θέλει νὰ δείξῃ, ὅτ[ι] τὰ ὀνόματα αὐτὰ δὲν ἀντιπροσωπεύουν τὴν οὐσίαν, ἀλλ[ὰ] τὴν ἐνέργειαν τοῦ ἁγίου Πνεύματος. Διότι τὸ ἅγιον Πνεῦ-μα δὲν ἔχει ἀποτελεσθῆ ἀπὸ διαφόρους οὐσίας, ἐπειδὴ εἶνα[ι] ἀόρατον καὶ μονοειδές. Ἄλλο βεβαίως θέλει νὰ εἰπῇ [ὁ] Ἰωάννης ὅταν λέγῃ· «Αὐτὸς θὰ σᾶς βαπτίσῃ μὲ Πνεῦμ[α] ἅγιον καὶ μὲ πῦρ»[2] καὶ ἄλλο ὁ Χριστός· «Θὰ τρέξουν ἀπ[ὸ] τὴν κοιλίαν του ποταμοὶ ζῶντος ὕδατος. Αὐτὸ τὸ εἶπε διὰ τ[ὸ] Πνεῦμα ποὺ θὰ ἔπαιρναν»[3].

Δι' αὐτὸ καὶ ὅταν ὁμιλῇ μὲ τὴν γυναῖκα, ὀνομάζει ὕδω[ρ] τὸ ἅγιον Πνεῦμα. «Ἐκεῖνος ὅμως ποὺ θὰ πιῇ ἀπὸ τὸ ὕδωρ ποὺ θὰ τοῦ δώσω ἐγώ, δὲν θὰ διψάσῃ ποτέ». Κατ' αὐτὸ[ν] τὸν τρόπον ὀνομάζει τὸ ἅγιον Πνεῦμα, ὑπαινισσόμενος μ[ὲ] τὴν λέξιν πῦρ τὴν δύναμιν καὶ τὴν θερμότητα τῆς χάριτο[ς] καὶ μὲ τὴν λέξιν ὕδωρ θέλων νὰ δείξῃ τὸν ἐξ αὐτοῦ κ[α]θαρμὸν καὶ τὴν μεγάλην ἀναψυχὴν τῶν ψυχῶν ποὺ τ[ὸ] λαμβάνουν. Καὶ δικαίως. Διότι, ὅπως ἕνας κῆπος, ποὺ ε[ἶ]ναι γεμᾶτος ἀπὸ διάφορα δένδρα καρποφόρα καὶ ἀειθαλῆ, ἔτσι τὸ ἅγιον Πνεῦμα στολίζει τὴν ψυχὴν μὲ ἑτοιμότητ[α] διὰ νὰ μὴ ἀφήνῃ νὰ αἰσθάνεται οὔτε λύπην, οὔτε σαταν[ι]κὴν ἐπιβουλήν, ἐπειδὴ κατασβήνει εὔκολα τὰ πυρακτωμέ-να βέλη τοῦ πονηροῦ.

Σὺ δὲ κοίταξε, σὲ παρακαλῶ, τὴν σοφίαν τοῦ Χριστοῦ μὲ πόσην δηλαδὴ ἠρεμίαν προκαλεῖ τὴν προσοχὴν τῆς γυ-ναικός. Διότι δὲν εἶπεν εἰς αὐτὴν ἀμέσως «Ἐὰν ἤξευρε[ς]

ἦν ὁ λέγων σοι, Δός μοι πιεῖν»· ἀλλ' ὅτε αὐτῇ ἀφορμὴν παρέσχεν Ἰουδαῖον αὐτὸν καλέσαι καὶ ὑπὸ ἔγκλημα ἤγαγεν, ἀποκρουόμενος τὴν κατηγορίαν, τότε τοῦτο λέγει. Εἰπὼν δέ, «Εἰ ἤδεις τίς ἦν ὁ λέγων σοι, ‘Δός μοι πιεῖν, σὺ ἂν ἤτησας αὐτόν»· καὶ ἀναγκάσας τῷ μεγάλα ἐπαγγείλασθαι μνησθῆναι τοῦ πατριάρχου, οὕτω δίδωσι διαβλέψαι τῇ γυναικί. Εἶτα ἀντεπαγαγούσης ἐκείνης, «Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ;», οὐκ εἶπεν, Ναί, μείζων εἰμί· ἔδοξε γὰρ ἂν κομπάζειν μόνον, τῆς ἀποδείξεως μηδέπω φαινομένης δι' ὧν δὲ λέγει, τοῦτο κατασκευάζει.

Καὶ γὰρ οὐχ ἁπλῶς εἶπεν, ‘Δώσω σοι ὕδωρ’ ἀλλὰ πρότερον ἀνελὼν τὸ τοῦ Ἰακώβ, τότε ἐπαίρει τὸ ἑαυτοῦ, ἀπὸ τῆς τῶν διδομένων φύσεως, τὸ μέσον τῶν προσώπων, ὅσον καὶ τὸ διάφορον τῶν διδόντων, παραστῆσαι βουλόμενος καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὸν πατριάρχην. Εἰ γὰρ θαυμάζεις, φησί, τὸν Ἰακώβ, ὅτι τοῦτο ἔδωκε τὸ ὕδωρ, ἂν πολὺ τούτου βέλτιον δῶ σοι, τί ἐρεῖς; Προλαβοῦσα μείζονα ὡμολόγησας εἶναί με τοῦ Ἰακώβ, τῷ ἀνθυπενεγκεῖν καὶ εἰπεῖν, «Μὴ μείζων εἶ σὺ τοῦ Ἰακώβ», ὅτι ἐπαγγέλλῃ βέλτιον ὕδωρ διδόναι; ἂν λάβῃς ἐκεῖνο τὸ ὕδωρ, πάντως ὁμολογήσεις μείζονα εἶναί με.

Ὁρᾷς κρίσιν ἀδέκαστον τῆς γυναικός, ἀπὸ τῶν πραγμάτων ψηφιζομένης καὶ τῷ πατριάρχῃ καὶ τῷ Χριστῷ; Ἀλλ' οὐκ Ἰουδαῖοι οὕτως· ἀλλὰ καὶ δαίμονας ὁρῶντες ἐκβάλλοντα αὐτόν, οὐ μόνον τοῦ πατριάρχου οὐκ ἔλεγον μείζονα, ἀλλὰ καὶ δαιμονῶντα ἐκάλουν. Ἡ δὲ γυνὴ οὐχ οὕτως, ἀλλ' ἐντεῦθεν φέρει τὴν ψῆφον, ὅθεν ὁ Χριστὸς βούλεται, ἀπὸ τῆς

ποῖος εἶναι ἐκεῖνος ποὺ σοῦ λέγει, δῶσε μου νὰ πιῶ», ἀλλ
ὅταν ἔδωσεν εἰς αὐτὴν τὴν ἀφορμὴν νὰ τὸν ὀνομάσῃ κα
νὰ τὸν κατηγορήσῃ ὡς Ἰουδαῖον, τότε μόνον εἶπεν αὐτ
διὰ ν' ἀποκρούσῃ τὴν κατηγορίαν. Ἀφοῦ δὲ εἶπεν, «Ἐὰ
ἤξευρες ποῖος εἶναι ἐκεῖνος ποὺ σοῦ λέγει 'Δῶσε μου ν
πιῶ' σὺ θὰ ἐζήτεις ἀπὸ αὐτὸν» καὶ ἠνάγκασεν αὐτὴν μ
τὰς μεγάλας ὑποσχέσεις νὰ ἐνθυμηθῇ τὸν Πατριάρχη
τότε ἤνοιξε τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς τῆς γυναικός. Κα
ὅταν ἐκείνη ἀνταπήντησε, «Μήπως σὺ εἶσαι μεγαλύτερο
ἀπὸ τὸν πατέρα μας Ἰακώβ», δὲν εἶπεν, Ναί, εἶμαι μεγα
λύτερος, διότι θὰ ἐφαίνετο ὅτι κομπορρημονεῖ, ἀφοῦ δὲ
εἶχεν ἀκόμη δοθῆ ἡ περὶ τούτου ἀπόδειξις. Ἀλλὰ μὲ ὅσ
λέγει, αὐτὸ προετοιμάζει.

Διότι εἰς τὴν Σαμαρεῖτιν δὲν εἶπεν ἁπλῶς, Θὰ σο
δώσω ὕδωρ, ἀλλ' ἀφοῦ ἀνεσκεύασε πρῶτα, ὅ,τι ἐκείνη ε
πεν διὰ τὸν Ἰακώβ, ἔπειτα ἐξαίρει τὸν ἑαυτόν του, ἐπειδ
ἤθελε νὰ παρουσιάσῃ ἀπὸ τὴν διαφορὰν τῶν διδομένω
δώρων τὴν ἀπόστασιν ποὺ ὑπῆρχε μεταξὺ τῶν προσώπω
καθὼς καὶ τὴν διαφορὰν μεταξὺ τῶν χορηγούντων τὰ δῶρ
καὶ ἐπὶ πλέον τὴν ὑπεροχήν του ἔναντι τοῦ πατριάρχο
Διότι, λέγει, ἂν θαυμάζῃς τὸν Ἰακώβ, διότι ἔδωσεν αὐ
τὸ ὕδωρ, τί θὰ εἰπῇς, ἂν σοῦ δώσω πολὺ καλύτερον ἀπ
αὐτό; Διότι προηγουμένως ὡμολόγησες, ὅτι εἶμαι ἀνώτερο
ἀπὸ τὸν Ἰακώβ, ὅταν ἀνεγνώρισες τοῦτο καὶ εἶπες· «Μήπω
σὺ εἶσαι μεγαλύτερος ἀπὸ τὸν πατέρα μας Ἰακώβ;», διό
ὑπόσχεσαι νὰ δώσῃς καλύτερον ὕδωρ; Ἂν λάβῃς ἐκεῖ
τὸ ὕδωρ, θὰ ὁμολογήσῃς ὁπωσδήποτε ὅτι ἐγὼ εἶμαι ἀνώτερο

Βλέπεις τὴν ἀδέκαστον κρίσιν τῆς γυναικός, ἡ ὁπο
ἀπὸ τὰ ἴδια τὰ πράγματα λέγει τὴν γνώμην της περὶ τ
πατριάρχου καὶ περὶ τοῦ Χριστοῦ; Οἱ Ἰουδαῖοι ὅμως δ
ἔκαμαν τὸ ἴδιο, ἀλλὰ καὶ ὅταν ἔβλεπαν ὅτι αὐτὸς ἐκβάλλ
δαιμόνια, ὄχι μόνον δὲν τὸν ἐθεώρουν ἀνώτερον τοῦ π
τριάρχου, ἀλλὰ τὸν ἀπεκάλουν καὶ δαιμονισμένον. Ἀλλ'
Σαμαρεῖτις δὲν κάμνει τὸ ἴδιο, ἀλλὰ στηρίζει τὴν γνώμ

τῶν ἔργων ἀποδείξεως. Καὶ γὰρ καὶ αὐτὸς ἐντεῦθεν δικάζεται, οὕτω λέγων· «Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύσατέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύσητε, τοῖς ἔργοις πιστεύσατε». Οὕτω καὶ ἡ γυνὴ τῇ πίστει προσάγεται. Διὰ τοῦτο καὶ αὐτὸς ἀκούσας, «Μὴ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ;», τὸν Ἰακὼβ ἀφείς, περὶ τοῦ ὕδατος διαλέγεται λέγων· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν»· καὶ τὴν σύγκρισιν οὐκ ἀπὸ κατηγορίας, ἀλλ' ἐξ ὑπεροχῆς ποιεῖται.

Οὐ γὰρ λέγει, ὅτι τὸ ὕδωρ τοῦτο οὐδέν ἐστιν, οὐδ' ὅτι εὐτελὲς καὶ εὐκαταφρόνητον· ἀλλ' ὅπερ καὶ ἡ φύσις μαρτυρεῖ τοῦτο τίθησι· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα». Ἤκουσεν ὕδωρ ζῶν ἡ γυνὴ πρὸ τούτου, ἀλλ' οὐκ ἐνόησεν. Ἐπειδὴ γὰρ καὶ ὕδωρ ζῶν τὸ ἀέναον καὶ διαπαντὸς ἀναβλύζον λέγεται, τῶν κρουνῶν οὐ διακοπτομένων, τοῦτο ἐνόμισεν ἡ γυνὴ λέγεσθαι. Διὰ δὴ τοῦτο σαφέστερον αὐτῇ λοιπὸν ὃ ἔλεγε καθιστὰς καὶ ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ποιούμενος ἐπήγαγε λέγων· «Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα». Διὰ τούτου, ὥσπερ ἔφην, δεικνὺς τὴν ὑπεροχήν, καὶ διὰ τῶν ἑξῆς εἰρημένων· τούτων γὰρ οὐδὲν ἔχει τὸ αἰσθητὸν ὕδωρ. Τίνα δέ ἐστι τὰ ἑξῆς, «Γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον»; Ὥσπερ γὰρ ὁ πηγὴν ἔνδον ἔχων ἀποκειμένην, οὐκ ἂν ἁλοίη δίψῃ ποτέ, οὕτως οὐδὲ τὸ ὕδωρ τοῦτο ἔχων.

Καὶ ἐπίστευσεν εὐθέως ἡ γυνή, πολὺ τοῦ Νικοδήμου συνετωτέρα φανεῖσα· οὐ συνετωτέρα δὲ μόνον, ἀλλὰ καὶ ἀνδρειοτέρα. Ἐκεῖνος μὲν γὰρ μυρίων τοιούτων ἀκούων, οὔτε

4. Ἰω. 10. 37.

της ἐπὶ τῆς βάσεως ποὺ θέλει ὁ Χριστός, δηλαδὴ ἐπὶ τῆ ἀποδείξεως διὰ τῶν ἔργων. Διότι καὶ ὁ ἴδιος κρίνεται, ὅτα λέγῃ· «Ἐὰν δὲν κάμνω τὰ ἔργα τοῦ Πατρός μου, μὴ μ πιστεύετε. Ἐὰν ὅμως τὰ κάνω, τότε καὶ ἂν ἀκόμη δὲν πι στεύετε εἰς ἐμέ, πιστεύσατε εἰς τὰ ἔργα»[4]. Κατ' αὐτὸν τὸ τρόπον καὶ ἡ Σαμαρεῖτις προσέρχεται εἰς τὴν πίστιν. Δι τοῦτο, ὅταν ὁ Χριστὸς ἤκουσε, «Μήπως εἶσαι μεγαλύτερο ἀπὸ τὸν πατέρα μας Ἰακώβ;», ἀφοῦ ἄφησε τὸν Ἰακὼ πάλιν ὁμιλεῖ περὶ τοῦ ὕδατος· «Ὅποιος πίνει ἀπὸ τὸ ὕδω αὐτό, θὰ διψάσῃ πάλιν» καὶ κάμνει τὴν σύγκρισιν ἐξ ὑπε ροχῆς, ἀφοῦ ἄφησε τὴν κατηγορίαν.

Διότι δὲν λέγει, ὅτι αὐτὸ τὸ ὕδωρ δὲν ἀξίζει τίποτε οὔτε ὅτι εἶναι ἀναξιόλογον καὶ εὐκαταφρόνητον, ἀλλ' ὑπό σχεται ἐκεῖνο ποὺ μαρτυρεῖ ἡ ἰδία ἡ φύσις του· «Ὅποιο πίνει ἀπὸ τὸ ὕδωρ αὐτό, θὰ διψάσῃ πάλιν. Ἐκεῖνος ὅμω ποὺ θὰ πιῇ ἀπὸ τὸ ὕδωρ, ποὺ θὰ τοῦ δώσω ἐγώ, δὲν θ διψάσῃ ποτέ». Εἶχεν ἀκούσει ἤδη ἡ γυνὴ διὰ τὸ ζῶν ὕδωρ ἀλλὰ δὲν ἐκατάλαβεν. Ἐπειδὴ δηλαδὴ λέγεται ζῶν ὕδω ἐκεῖνο ποὺ δὲν στερεύει καὶ ἀναβλύζει συνεχῶς, χωρὶς ν διακόπτεται ἡ ἀνάβλυσις, αὐτὸ εἶχε φαντασθῆ ἡ γυνή, ὅτ ἐννοεῖ. Δι' αὐτὸ ἀκριβῶς, διὰ νὰ κάμῃ σαφέστερον εἰς τ ἑξῆς αὐτὸ ποὺ ἔλεγε, προσέθεσεν· «Ἐκεῖνος ὅμως ποὺ θ πιῇ ἀπὸ τὸ ὕδωρ, ποὺ θὰ τοῦ δώσω ἐγώ, δὲν θὰ διψάσ ποτέ», δεικνύων, ὅπως εἶπα, τὴν ὑπεροχὴν κατ' αὐτὸν τὸ τρόπον, ἀλλὰ καὶ μὲ τὰ ἑπόμενα. Διότι ἀπὸ αὐτὰ δὲν ἔχε τίποτε τὸ κοινὸν ὕδωρ. Καὶ ποῖα εἶναι αὐτά; «Θὰ γίνῃ μί ἐσωτερικὴ πηγὴ ὕδατος, ποὺ θ' ἀναβλύζῃ εἰς ζωὴν αἰώνιον» Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἔχει μίαν πηγὴν εἰς τ ἐσωτερικόν του δὲν θὰ διψάσῃ ποτέ, ἔτσι καὶ ἐκεῖνος ποὺ δὲν ἔχει αὐτὸ τὸ ὕδωρ.

Καὶ ἐπίστευσεν ἀμέσως ἡ γυνὴ ἀποδειχθεῖσα πολὺ συνετωτέρα ἀπὸ τὸν Νικόδημον. Καὶ ὄχι μόνον συνετωτέρα ἀλλὰ καὶ δυνατοτέρα. Διότι ἐκεῖνος μὲν ἂν καὶ ἤκουε παρ πολλά, οὔτε κανέναν ἄλλον προσεκάλεσεν, οὔτε ὁ ἴδιο

ἄλλον τινὰ ἐπὶ τοῦτο ἐκάλεσεν, οὔτε αὐτὸς ἐπαρρησιάσατο· αὕτη δὲ ἀποστολικὰ ἐπιδείκνυται πράγματα, πάντας εὐαγγελιζομένη καὶ καλοῦσα πρὸς τὸν Ἰησοῦν καὶ πάλιν ὁλόκληρον ἕλκουσα ἔξω πρὸς αὐτόν. Κἀκεῖνος μὲν ἀκούσας, ἔλεγε· «Πῶς δύναται ταῦτα γενέσθαι;»· καὶ τοῦ Χριστοῦ θέντος παράδειγμα σαφὲς τὸ τοῦ ἀνέμου, οὐδὲ οὕτω τὸν λόγον κατεδέξατο· ἡ γυνὴ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ μὲν πρῶτον ἠπόρει, ὕστερον δὲ οὐ μετὰ κατασκευῆς δεξαμένη τὸν λόγον, ἀλλ' ἐν ἀποφάσεως τάξει, ἐπὶ τὴν λῆψιν εὐθέως ἐπείγεται. Ἐπειδὴ γὰρ εἶπεν ὁ Χριστός· «Γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον»· εὐθέως φησὶν ἡ γυνή· «Δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν».

2. Ὁρᾷς πῶς κατὰ μικρὸν πρὸς τὸ τῶν δογμάτων ὕψος ἀνάγεται; Πρῶτον ἐνόμισεν αὐτὸν παράνομον εἶναί τινα Ἰουδαῖον· εἶτα ἐπειδὴ ταύτην ἀπεκρούσατο τὴν κατηγορίαν (ἔδει γὰρ μὴ εἶναι τὸ πρόσωπον ὕποπτον τὸ μέλλον τοιαῦτα αὐτὴν κατηχεῖν), ἀκούσασα ὕδωρ ζῶν, ἐνόμισε περὶ αἰσθητοῦ τοῦτο λέγεσθαι. Ὕστερον δὲ μαθοῦσα ὅτι πνευματικὰ ἦν τὰ λεγόμενα, ἐπίστευσεν μὲν ὅτι δύναται τὸ ὕδωρ ἀναιρεῖν τοῦ δίψους τὴν χρείαν, οὔπω δὲ τί ποτε τοῦτό ἐστιν ᾔδει, ἀλλ' ἔτι διηπόρει, ἀνωτέρω μὲν τῶν αἰσθητῶν εἶναι νομίζουσα τὸ δὲ σαφὲς οὐκ ἐπισταμένη.

Ἐνταῦθα δὲ ἀκριβέστερον μὲν διαβλέψασα, οὐ μὴν τὸ πᾶν κατιδοῦσα («Δὸς γάρ μοι», φησί, «τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν»), τέως προετίμησεν αὐτὸν τοῦ Ἰακώβ. Οὐ δέομαι γὰρ ταύτης τῆς πηγῆς, ἐὰν λάβω παρὰ σοῦ τὸ ὕδωρ ἐκεῖνο. Ὁρᾷς πῶς αὐτὸν προτίθησι τοῦ πατριάρχου; Τοῦτο ψυχῆς εὐγνώμονος. Ἔδειξεν

ἀπέκτησεν ἐμπιστοσύνην. Αὐτὴ ὅμως ἀναλαμβάνει ἀποστο λικὸν ἔργον, ἀναγγέλλουσα εἰς ὅλους τὴν εἴδησιν καὶ προσ καλοῦσα εἰς τὸν Ἰησοῦν καὶ παρασύρουσα ὁλόκληρον πό λιν ἔξω πρὸς αὐτόν. Καὶ ὁ μὲν Νικόδημος, ὅταν ἤκουσε τὸ Χριστόν, ἠρώτησε· «Πῶς εἶναι δυνατὸν νὰ γίνουν αὐτά;» Καὶ ὅταν ὁ Χριστὸς τοῦ ἔφερε τὸ παράδειγμα τοῦ ἀνέμου δὲν ἐδέχθη οὔτε τὸν λόγον. Μὲ τὴν γυναῖκα ὅμως δὲ συνέβη τὸ ἴδιο, ἀλλ' αὐτὴ πρῶτα μὲν ἤρχισε ν' ἀπορῇ, ὕ στερα δὲ ἀφοῦ ἐδέχθη τὸν λόγον ὄχι μὲ μεγάλην ἐπιφύλα ξιν, ἀμέσως ὁδηγεῖται εἰς τὴν παραδοχήν. Διότι, ὅταν εἶπε ὁ Χριστὸς «Θὰ γίνῃ ἐσωτερικὴ πηγὴ ὕδατος, ποὺ θ' ἀνα βλύζῃ πάντοτε, ἡ γυνὴ ἀπήντησεν ἀμέσως· «Δῶσε μου αὐ τὸ τὸ ὕδωρ, διὰ νὰ μὴ διψῶ, οὔτε νὰ ἔρχωμαι ἐδῶ νὰ ἀντλῶ»

2. Βλέπεις μὲ ποῖον τρόπον ὀλίγον κατ' ὀλίγον ὁδη γεῖται εἰς τὸ ὕψος τῶν δογμάτων; Εἰς τὴν ἀρχὴν ἐνόμισεν ὅτι αὐτὸς εἶναι κάποιος περαστικὸς Ἰουδαῖος. Ἔπειτα, ἀ φοῦ ἀπέκρουσεν αὐτὴν τὴν κατηγορίαν (διότι τὸ πρόσω πον ποὺ ἐπρόκειτο νὰ τὴν κατηχήσῃ εἰς ταῦτα ἔπρεπε ν μὴ προκαλῇ ὑποψίαν), ὅταν ἤκουσε περὶ ζῶντος ὕδατος ἐνόμισεν ὅτι αὐτὸ λέγεται περὶ τοῦ κοινοῦ ὕδατος. Ὅταν τέλος ἀντελήφθη, ὅτι αὐτὰ ποὺ ἐλέγοντο ἦσαν πνευματικ ἐπίστευσε μὲν ὅτι ἠμπορεῖ τὸ ὕδωρ νὰ ἐκδιώκῃ τὴν ἀνάγκη τῆς δίψης, ἀλλὰ δὲν εἶχε καταλάβει ἀκόμη, τί τέλος πάν των ἦτο αὐτό„ ἀλλ' ἀμφέβαλλεν ἀκόμη, ἐπειδὴ ἐνόμιζε ὅτι αὐτὰ ἦσαν βεβαίως ἀνώτερα ἀπὸ ἐκεῖνα ποὺ ἠμποροῦ νὰ γίνουν κατανοητὰ διὰ τῶν αἰσθήσεων, ἀλλὰ δὲν ἐγνώ ριζε καλῶς, περὶ τίνος ἀκριβῶς ἐπρόκειτο.

Τώρα ὅμως ἐπειδὴ ἔβλεπε καλύτερα, ἀλλὰ δὲν κατα νόει τὸ πᾶν (διότι εἶπε, «Δῶσε μου αὐτὸ τὸ ὕδωρ, διὰ ν μὴ διψῶ, οὔτε νὰ ἔρχωμαι ἐδῶ πρὸς ἄντλησιν»), ἤδη ἐπρο τίμησεν αὐτὸν ἀπὸ τὸν Ἰακώβ. Δὲν ἔχω ἀνάγκην ἀπὸ αι τὴν ἐδῶ τὴν πηγήν, ἐὰν λάβω ἀπὸ ἐσὲ ἐκεῖνο τὸ ὕδω Βλέπεις κατὰ ποῖον τρόπον προτιμᾷ αὐτὸν ἀπὸ τὸν πατριάρ χην; Αὐτὸ εἶναι δεῖγμα εὐσεβοῦς ψυχῆς. Ἔδειξε πόσο

ἡλίκ ιν εἶχε περὶ τοῦ Ἰακὼβ δόξαν· εἶδε τὸν βελτίονα, καὶ οὐ κ τιεσχέθη τῇ προλήψει. Οὔτε οὖν εὔκολος ἡ γυνὴ (οὐ γὰρ ἁπλῶς κατεδέξατο τὰ λεγόμενα· πῶς γὰρ ἡ μετὰ τοσαύτης ἀκριβείας ἐκζητήσασα;), οὔτε ἀπειθὴς καὶ φιλόνεικος. Καὶ τοῦτο ἔδειξεν ἀπὸ τῆς αἰτήσεως. Καίτοι καὶ Ἰουδαίοις εἰπέ ποτε· «Ὃς ἂν φάγῃ ἐκ τῆς σαρκός μου, οὐ μὴ πεινάσει· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσει πώποτε». Ἀλλ' οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλὰ καὶ ἐσκανδαλίσθησαν. Ἡ γυνὴ δὲ οὐδὲν τοιοῦτον ἔπαθεν, ἀλλὰ καὶ παραμένει καὶ αἰτεῖ. Ἰουδαίοις μὲν οὖν ἔλεγεν, «Ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσει»· τῇ δὲ γυναικὶ οὐχ οὕτως, ἀλλὰ παχύτερον, «Ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, οὐ μὴ διψήσει». Ἐπαγγελία γὰρ ἦν πνευματικῶν καὶ οὐχ ὁρωμένων πραγμάτων. Διὰ τοῦτο ἐπάρας αὐτῆς τὸν νοῦν ταῖς ὑποσχέσεσιν, ἔτι τοῖς αἰσθητοῖς ἐνδιατρίβει ῥήμασι, διὰ τὸ μηδέπω δύνασθαι χωρῆσαι τῶν πνευματικῶν τὴν ἀκρίβειαν. Εἰ γὰρ εἶπεν, ὅτι Ἐὰν πιστεύσῃς εἰς ἐμέ, οὐ μὴ διψήσεις, οὐκ ἂν ἐνόησε τὸ εἰρημένον, οὐκ εἰδυῖα τίς ποτέ ἐστιν ὁ διαλεγόμενος, οὐδὲ περὶ ποίου δίψους ἔλεγεν.

Τίνος οὖν ἕνεκεν οὐχὶ καὶ ἐπὶ Ἰουδαίων τοῦτο ἐποίησεν; Ὅτι ἐκεῖνοι μὲν πολλὰ σημεῖα ἑωρακότες ἦσαν· αὕτη δὲ σημεῖον μὲν εἶδεν οὐδέν, τῶν δὲ ῥημάτων ἤκουσε πρῶτον. Διὰ τοῦτο λοιπὸν διὰ προφητείας ἀποκαλύπτει τὴν δύναμιν τὴν ἑαυτοῦ καὶ οὐκ εὐθέως ἐπάγει τὸν ἔλεγχον· ἀλλὰ τί φησιν; «Ὕπαγε, φώνησόν σου τὸν ἄνδρα, καὶ ἐλθὲ ὧδε. Ἡ δέ φησιν· Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπες, ὅτι Ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες καὶ νῦν, ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. Τοῦτο ἀληθὲς εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ».

Βαβαί, πόση τῆς γυναικὸς ἡ φιλοσοφία! πῶς πρᾴως τὸν ἔλεγχον δέχεται! Πῶς γὰρ οὐκ ἔμελλε, φησί; Διατί,

5. Ἰω. 6, 35.

μεγάλην γνώμην εἶχε περὶ τοῦ Ἰακώβ, εἶδε τὸν καλύτερον ἀπὸ τὸν Ἰακὼβ καὶ δὲν ἐπέμεινεν εἰς τὴν πρώτην γνώμην της. Δὲν ἦτο ἡ Σαμαρεῖτις εὔπιστος (διότι δὲν ἐδέχθη ἄνευ κρίσεως τὰ λόγια τοῦ Χριστοῦ, ἀφοῦ ἠρεύνησε μὲ τόσην ἀκρίβειαν), οὔτε ἄπιστος καὶ φιλόνεικος. Καὶ αὐτὸ τὸ ἀπέδειξε μὲ τὴν αἴτησίν της. Καὶ ὅμως ὁ Χριστὸς εἶχεν εἰπεῖ κάποτε εἰς τοὺς Ἰουδαίους· «Ἐκεῖνος ποὺ θὰ φάγῃ ἀπὸ τὴν σάρκα μου δὲν θὰ πεινάσῃ καὶ ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμὲ δὲν θὰ διψάσῃ ποτέ»[5]. Καὶ ὄχι μόνον δὲν ἐπίστευσαν, ἀλλ' ἐπὶ πλέον ἐσκανδαλίσθησαν. Ἡ γυνὴ ὅμως δὲν ἔπαθε κάτι τέτοιο· παραμένει καὶ ζητεῖ. Καὶ εἰς τοὺς μὲν Ἰουδαίους ἔλεγεν, «Ὅποιος πιστεύει εἰς ἐμέ, δὲν θὰ διψάσῃ», ἐνῷ εἰς τὴν γυναῖκα εἶπε κατὰ τρόπον ὀλιγώτερον λεπτόν, «Ἐκεῖνος ποὺ πίνει ἀπὸ αὐτὸ τὸ ὕδωρ, δὲν θὰ διψάσῃ». Διότι ἦτο ὑπόσχεσις πνευματικῶν καὶ ὄχι ὁρατῶν πραγμάτων. Διὰ τοῦτο, ἀφοῦ τὴν ἐπλήρωσε μὲ ἐλπίδας διὰ τῶν ὑποσχέσεων, ἐπιμένει ἀκόμη εἰς τὰ αἰσθητά, ἐπειδὴ ἐκείνη δὲν ἠμποροῦσε νὰ κατανοήσῃ μὲ ἀκρίβειαν τὰ πνευματικά. Διότι, ἐὰν ἔλεγεν· Ἐὰν πιστεύσῃς εἰς ἐμέ, δὲν θὰ διψάσῃς, δὲν θὰ ἐκαταλάβαινεν, ἐπειδὴ δὲν ἐγνώριζε ποῖος ἦτο ὁ συνομιλητής της, οὔτε περὶ ποίας δίψης ὡμίλει.

Διατί ὅμως δὲν ὡμίλησε μὲ αὐτὸν τὸν τρόπον καὶ εἰς τοὺς Ἰουδαίους; Διότι ἐκεῖνοι μὲν εἶχον ἰδεῖ πολλὰ θαύματα, ἐνῷ αὐτὴ δὲν εἶδε κανὲν θαῦμα, ἀλλὰ πρῶτα ἤκουσε λόγια. Διὰ τοῦτο ἀποκαλύπτει εἰς αὐτὴν τὴν δύναμίν του μὲ τὴν προφητείαν καὶ δὲν τὴν ἐλέγχει ἀμέσως. Ἀλλὰ τί λέγει; «Πήγαινε, φώναξε τὸν ἄνδρα σου καὶ ἔλα ἐδῶ. Αὐτὴ δὲ ἀποκρίνεται· 'Δὲν ἔχω ἄνδρα'. Λέγει εἰς αὐτὴν ὁ Ἰησοῦς· Καλὰ εἶπες, ὅτι δὲν ἔχεις ἄνδρα, διότι πέντε ἄνδρας ἐπῆρες καὶ τώρα ἐκεῖνος ποὺ ἔχεις, δὲν εἶναι ἄνδρας σου. Εἰς αὐτὸ εἶπες ἀλήθεια. Λέγει εἰς αὐτὸν ἡ γυνή· Κύριε, βλέπω, ὅτι σὺ εἶσαι προφήτης».

Ἀλήθεια, πόσο μεγάλη ἦτο ἡ σύνεσις τῆς γυναικός! Πόσον ἥσυχα δέχεται τὸν ἔλεγχον! Διατί, θὰ ἐρωτήσῃς,

εἰπέ μοι· οὐχὶ καὶ Ἰουδαίους ἤλεγξε πολλάκις, καὶ τούτου μείζονα; Οὐ γάρ ἐστιν ἴσον τὰ ἐν διανοίᾳ ἀπόρρητα εἰς μέσον ἀγαγεῖν, καὶ πρᾶγμα γινόμενον λάθρᾳ κατάδηλον ποιεῖν. Τὸ μὲν γὰρ Θεοῦ μόνον ἐστί, καὶ οὐδεὶς ἕτερος οἶδεν εἰ μὴ ὁ ἐν διανοίᾳ ἔχων· τὰ δέ, οἱ κοινωνοῦντες ἐπίστανται ἅπαντες. Ἀλλ' ὅμως ἐλεγχθέντες οὐ φέρουσι πράως· ἀλλ' εἰπόντος, «Τί με ζητεῖτε ἀποκτεῖναι;», οὐ μόνον οὐ θαυμάζουσιν ὡς ἡ γυνή, ἀλλὰ καὶ λοιδοροῦσι καὶ ὑβρίζουσι. Καίτοι γε ἐκεῖνοι μὲν καὶ ἀπὸ ἄλλων σημείων εἶχον τὴν ἀπόδειξιν, αὕτη δὲ τοῦτο μόνον ἦν ἀκηκουῖα· ἀλλ' ὅμως οὐ μόνον οὐκ ἐθαύμασαν, ἀλλὰ καὶ ὕβρισαν λέγοντες, «Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι;».

Αὕτη δὲ οὐ μόνον οὐχ ὑβρίζει, ἀλλὰ καὶ θαυμάζει καὶ ἐκπλήττεται, καὶ προφήτην εἶναι ὑπονοεῖ· καίτοι μειζόνως ἂν ὁ ἔλεγχος οὗτος τῆς γυναικὸς ἥψατο, ἢ ἐκείνων ἐκεῖνος. Τοῦτο μὲν γὰρ ταύτης μόνης ἁμάρτημα ἦν, ἐκεῖνο δὲ κοινόν. Οὐχ οὕτω δὲ ἐπὶ τοῖς κοινοῖς, ὡς ἐπὶ τοῖς ἰδίοις δακνόμεθα. Κἀκεῖνοι μὲν μέγα ᾤοντό τι κατορθοῦν, ἂν τὸν Χριστὸν ἀνέλωσι· τὸ δὲ τῆς γυναικὸς ὡμολόγητο παρὰ πᾶσι πονηρὸν εἶναι· ἀλλ' ὅμως οὐκ ἐδυσχέρανεν ἡ γυνή, ἀλλ' ἐξεπλάγη καὶ ἐθαύμαζεν.

Καὶ ἐπὶ τοῦ Ναθαναὴλ δὲ τὸ αὐτὸ τοῦτο ἐποίησεν ὁ Χριστός. Οὐ γὰρ προηγουμένως τὴν προφητείαν εἰσήγαγεν, οὐδὲ εἶπεν, «Εἶδόν σε ὑπὸ τὴν συκῆν», ἀλλ' ὅτε ἐκεῖνος εἶπε, «Πόθεν με γινώσκεις», τότε τοῦτο ἐπήγαγεν. Ἐβούλετο γὰρ καὶ τῶν προρρήσεων καὶ τῶν θαυμάτων τὰς ἀρχὰς παρ' αὐτῶν λαμβάνειν τῶν προσιόντων αὐτῷ, ὥστε καὶ οἰκειοῦσθαι τοῖς γινομένοις μᾶλλον αὐτοὺς καὶ τὴν τοῦ κενοδοξεῖν διαφυγεῖν ὑπόνοιαν. Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. Τὸ μὲν γὰρ προηγουμένως ἐλέγξαι, ὅτι «Ἄνδρα οὐκ ἔχεις»,

6. Ἰω. 7, 20.

δὲν ἀντέδρασε; Διατί; Μήπως καὶ τοὺς Ἰουδαίους δὲν ἤλεγξε πολλὰς φορὰς καὶ μάλιστα αὐστηρότερον; Διότι δὲν εἶναι τὸ ἴδιο ν' ἀποκαλύπτῃ κανεὶς τὰ ἀπόκρυφα τῆς ψυχῆς καὶ τὸ νὰ κάμνῃ φανερὸν κάτι ποὺ γίνεται κρυφά. Διότι τὸ πρῶτο μὲν εἶναι τοῦ Θεοῦ μόνον καὶ κανεὶς ἄλλος δὲν γνωρίζει, παρὰ μόνον ἐκεῖνος ποὺ τὰ ἔχει εἰς τὴν ψυχήν του. Τὸ δεύτερον ὅμως εἶναι γνωστὸν εἰς ὅλους τοὺς οἰκείους. Ἀλλ' οἱ Ἰουδαῖοι, δὲν ἠνείχοντο ἥσυχα τὸν ἔλεγχον. Καὶ ὅταν ὁ Ἰησοῦς ἠρώτησε, «Διατί ζητεῖτε νὰ μὲ σκοτώσετε», ὄχι μόνον δὲν θαυμάζουν, ὅπως ἡ γυνή, ἀλλὰ τὸν λοιδοροῦν καὶ τὸν ὑβρίζουν. Καὶ ὅμως οἱ μὲν Ἰουδαῖοι εἶχον ἀποδείξεις περὶ αὐτοῦ καὶ ἀπὸ ἄλλα θαύματα, ἐνῷ ἡ Σαμαρεῖτις μόνον τοῦτο εἶχεν ἀκούσει. Οἱ δὲ Ἰουδαῖοι ὄχι μόνον δὲν ἐθαύμασαν, ἀλλὰ καὶ τὸν ὕβρισαν λέγοντες· «Δαιμόνιον ἔχεις. Ποῖος ζητεῖ νὰ σὲ σκοτώσῃ;»[6].

Ἡ Σαμαρεῖτις ὅμως ὄχι μόνον δὲν τὸν ὑβρίζει, ἀλλὰ θαυμάζει καὶ ἐκπλήσσεται καὶ ἐκφράζει τὴν γνώμην, ὅτι εἶναι προφήτης. Καὶ ὅμως ὀξύτερον ἤλεγξεν αὐτήν, παρὰ τοὺς Ἰουδαίους. Διότι τοῦτο μόνον ἦτο τὸ ἁμάρτημα ἐκείνης, ἐνῷ ὅλων τῶν ἄλλων ἦτο κοινόν. Καὶ δὲν λυπούμεθα συνήθως διὰ τὰ κοινά, ἀλλὰ διὰ τὰ ἰδιαίτερα ἁμαρτήματα. Καὶ οἱ μὲν Ἰουδαῖοι ἐνόμιζαν, ὅτι θὰ ἐπιτύχουν κάτι τὸ σπουδαῖον, ἂν φονεύσουν τὸν Χριστόν. Τῆς γυναικὸς ὅμως τὸ ἁμάρτημα ἦτο γνωστὸν εἰς ὅλους. Ἀλλ' αὐτὴ δὲν ἐστενοχωρήθη, ἀλλ' ἔδειξεν ἔκπληξιν καὶ θαυμασμόν.

Τὸ αὐτὸ ἔκαμεν ὁ Χριστὸς μὲ τὸν Ναθαναήλ. Διότι δὲν ἀνέφερε τὴν προφητείαν ἐνωρίτερον, οὔτε εἶπε, «Σὲ εἶδα κάτω ἀπὸ τὴν συκῆν», ἀλλ' ὅταν ἐκεῖνος ἠρώτησεν· «Ἀπὸ ποῦ μὲ γνωρίζεις», τότε τοῦ ἀπήντησε. Διότι ἤθελε νὰ κάμνῃ ἀρχὴν τῶν θαυμάτων καὶ τῶν προφητειῶν ἀπὸ ἐκείνους, ποὺ προσήρχοντο εἰς αὐτόν, ὥστε καὶ νὰ συμφιλιώνωνται αὐτοὶ περισσότερον μὲ ὅσα ἐγίνοντο καὶ αὐτὸς νὰ ἀποφεύγῃ τὴν ὑποψίαν τῆς κενοδοξίας. Τὸ ἴδιο κάμνει καὶ εἰς τὴν προκειμένην περίπτωσιν. Διότι ἐνόμιζεν ὅτι θὰ

ἐδόκει φορτικὸν εἶναι καὶ περιττόν· τὸ δὲ παρ' αὐτῆς λαβόντα τὴν αἰτίαν, πάντα ταῦτα διορθοῦν, καὶ σφόδρα ἀκόλουθον ἦν καὶ τὴν ἀκούουσαν πρᾳοτέραν εἰργάζετο.

Καὶ ποία ἀκολουθία, φησί, τὸ εἰπεῖν, «Ὕπαγε, φώνησον τὸν ἄνδρα σου»; Περὶ δωρεᾶς ἦν ὁ λόγος καὶ χάριτος ὑπερβαινούσης τὴν ἀνθρωπίνην φύσιν. Ἐπέκειτο ἡ γυνὴ ζητοῦσα λαβεῖν, καὶ λέγει· «Φώνησόν σου τὸν ἄνδρα», ὡσανεὶ ἐνδεικνύμενος ὅτι κἀκεῖνον δεῖ κοινωνῆσαι τούτων. Ἡ δὲ σπεύδουσα λαβεῖν καὶ κρύπτουσα τὸ αἰσχρὸν τοῦ πράγματος καὶ οἰομένη πρὸς ἄνθρωπον διαλέγεσθαι, φησίν, «Οὐκ ἔχω ἄνδρα». Ταῦτα ἀκούσας ὁ Χριστός, εὐκαίρως λοιπὸν ἐπάγει τὸν ἔλεγχον, ἀμφότερα μετὰ ἀκριβείας λέγων. Τούς τε γὰρ προτέρους ἠρίθμησεν ἅπαντας, καὶ τὸν νῦν κρυπτόμενον ἤλεγξε.

Τί οὖν ἡ γυνή; Οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀφεῖσα ἔφυγεν, οὐδὲ ὕβριν τὸ πρᾶγμα ἐνόμισεν εἶναι· ἀλλὰ θαυμάζει μᾶλλον αὐτὸν καὶ προσκαρτερεῖ πλέον· «Θεωρῶ γάρ», φησίν, «ὅτι προφήτης εἶ σύ». Καὶ σκόπει αὐτῆς τὴν σύνεσιν· Οὐδὲ ἐνταῦθα εὐθέως ἐπέδραμεν, ἀλλ' ἔτι περισκοπεῖται καὶ θαυμάζει. Τὸ γάρ, «Θεωρῶ», τουτό ἐστι, Φαίνῃ μοι προφήτης εἶναι. Εἶτα ἐπειδὴ τοῦτο ὑπώπτευσεν, οὐδὲν βιωτικὸν αὐτὸν ἐρωτᾷ, οὐ περὶ σώματος ὑγιείας, οὐ περὶ χρημάτων, οὐ περὶ πλούτου, ἀλλὰ περὶ δογμάτων εὐθέως. Τί γάρ φησιν, «Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν»· τοὺς περὶ τὸν Ἀβραὰμ λέγουσα· καὶ γὰρ ἐκεῖ φασι τὸν υἱὸν ἀνηνέχθαι· «Καὶ πῶς ὑμεῖς λέγετε, ὅτι ἐν Ἰεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου χρὴ προσκυνεῖν;».

3. Εἶδες πῶς ὑψηλοτέρα τῇ διανοίᾳ γέγονεν; Ἡ γὰρ ὑπὲρ τοῦ μὴ σκύλλεσθαι διὰ τὸ δίψην μεριμνῶσα, καὶ ὑπὲρ

εἶναι ἐνοχλητικὸν καὶ δυσάρεστον, ἐὰν τὴν κατηγόρει ἀ μέσως λέγων, «Δὲν ἔχεις ἄνδρα». Τὸ νὰ διορθώσῃ ὅμω πάντα ταῦτα, ἀφοῦ ἔλαβε τὴν ἀφορμὴν ἀπὸ αὐτὴν τὴν ἰδία καὶ πολὺ εὔλογον ἦτο καὶ τὴν ἀκούουσαν ἔκαμνε πρα τέραν.

Καὶ ποία συμφωνία, θὰ ἐρωτήσῃς, ὑπάρχει μὲ τὸ ν εἰπῇ, «Πήγαινε, φώναξε τὸν ἄνδρα σου;». Ἐπρόκειτο πε δωρεᾶς καὶ χάριτος, ἡ ὁποία ὑπερβαίνει τὴν ἀνθρωπίνη φύσιν. Ἐστέκετο ἡ γυνὴ καὶ ἐπέμενε νὰ μάθῃ, ἐνῷ ἐκε νος τῆς εἶπε· «Φώναξε τὸν ἄνδρα σου», σὰν νὰ ἤθελε ν δηλώσῃ, ὅτι ἔπρεπε καὶ ἐκεῖνος νὰ γίνῃ μέτοχος αὐτῶ Ἐκείνη ὅμως ἐπειδὴ ἐπεθύμει νὰ μάθῃ καὶ ἐπειδὴ ἤθελ νὰ κρύψῃ τὴν ἐντροπήν της καὶ ἐπειδὴ ἐνόμισεν ὅτι συζ τεῖ μὲ ἄνθρωπον, ἀπαντᾷ· «Δὲν ἔχω ἄνδρα». Ὅταν ὁ Χρ στὸς ἤκουσεν αὐτὴν τὴν ἀπάντησιν, τὴν ἐλέγχει καταλλ λως, ἐξηγῶν ἀμφότερα μὲ ἀκρίβειαν. Διότι ἀπηρίθμησε ὅλους τοὺς προηγουμένους ἄνδρας καὶ ἀπεκάλυψε καὶ α τὸν ποὺ τώρα ἐκρύπτετο.

Τί ἔκαμεν ἡ γυνή; Δὲν ἐστενοχωρήθη, οὔτε τὸν ἄφ σε καὶ ἔφυγεν, οὔτε ἐνόμισεν ὅτι τοῦτο ἦτο ὑβριστικόν, ἀ λὰ τὸν θαυμάζει περισσότερον καὶ ἐπιμένει περισσότερο «Νομίζω, ὅτι εἶσαι προφήτης», τοῦ λέγει. Καὶ πρόσεχε τὴ σύνεσιν αὐτῆς. Δὲν ἔτρεξεν ἀμέσως, ἀλλ' ἐξετάζει ἀκόμ καὶ θαυμάζει. Διότι τὸ «Νομίζω» σημαίνει μοῦ φαίνεσαι ὅ εἶσαι προφήτης. Ἔπειτα, ἐπειδὴ ὑπωπτεύθη κάτι τέτοι δὲν τὸν ἐρωτᾷ τίποτε τὸ γήϊνον, οὔτε περὶ σωματικῆς γείας, οὔτε περὶ χρημάτων, οὔτε περὶ πλούτου, ἀλλ' ἀμέσω περὶ δογμάτων. Διότι, τί εἶπεν; «Οἱ πατέρες μας εἰς τὸ ὄρ τοῦτο ἐλάτρευσαν τὸν Θεόν», ἐννοοῦσα τὸν Ἀβραάμ. Διό ἐκεῖ λέγουν, ὅτι ὡδηγήθη ὁ υἱός του. «Καὶ πῶς σεῖς λέγ τε, ὅτι εἰς τὰ Ἱεροσόλυμα εἶναι ὁ τόπος, ὅπου πρέπει ν λατρεύεται ὁ Θεός;».

3. Βλέπεις, πῶς ἔγινεν ὑψηλοτέρα κατὰ τὸν νοῦ Διότι ἐνῷ ἐφρόντιζε διὰ νὰ σβήσῃ τὴν δίψαν της, τώ

δογμάτων ἐρωτᾷ λοιπόν. Τί οὖν ὁ Χριστός; Οὐκ ἔλυσε τὸ ζήτημα (οὐ γὰρ τοῦτο ἦν αὐτῷ περισπούδαστον, πρὸς τὰ λεγόμενα ἁπλῶς ἀποκρίνεσθαι· παρέλκον γὰρ ἦν), ἀλλὰ ἄγει τὴν γυναῖκα πάλιν ἐπὶ τὸ μεῖζον ὕψος· καὶ οὐ πρότερον αὐτῇ περὶ τούτων διαλέγεται, ἕως ὡμολόγησεν ὅτι προφήτης ἐστίν, ὥστε καὶ μετὰ πολλῆς τῆς πληροφορίας ἀκοῦσαι λοιπὸν τῶν λεγομένων. Ἡ γὰρ τοῦτο πεισθεῖσα, οὐκ ἔτι λοιπὸν περὶ τῶν ρηθησομένων ἀμφιβάλλειν εἶχεν.

Αἰσχυνθῶμεν τοίνυν καὶ ἐρυθριάσωμεν λοιπόν. Γυνὴ πέντε ἄνδρας ἐσχηκυῖα καὶ Σαμαρεῖτις οὖσα, τοσαύτην περὶ δογμάτων ποιεῖται σπουδήν, καὶ οὐχ ὁ καιρὸς τῆς ἡμέρας, οὐ τὸ ἐφ' ἕτερόν τι παραγενέσθαι, οὐκ ἄλλο οὐδὲν αὐτὴν ἀπήγαγε τῆς περὶ τὰ τοιαῦτα ζητήσεως· ἡμεῖς δὲ οὐ μόνον περὶ δογμάτων οὐ ζητοῦμεν, ἀλλὰ καὶ περὶ πάντων ἁπλῶς, καὶ ὡς ἔτυχε διακείμεθα. Διὰ τοῦτο τὰ πάντα ἠμέληται. Τίς γὰρ ὑμῶν, εἰπέ μοι, ἐν οἰκίᾳ γενόμενος, πυκτίον ἔλαβε χριστιανικὸν μετὰ χεῖρας καὶ τὰ ἐγκείμενα ἐπῆλθε καὶ ἠρεύνησε τὴν Γραφήν; Οὐδεὶς ἂν ἔχοι ταῦτα εἰπεῖν· ἀλλὰ πεττοὺς μὲν καὶ κύβους παρὰ τοῖς πλείοσιν εὑρήσομεν ὄντας, βιβλία δὲ οὐδαμοῦ, ἀλλὰ καὶ παρ' ὀλίγοις.

Καὶ οὗτοι δὲ τοῖς οὐκ ἔχουσιν ὁμοίως διάκεινται, δήσαντες αὐτὰ καὶ ἀποθέμενοι διαπαντὸς ἐν κιβωτίοις· καὶ ἡ πᾶσα αὐτοῖς σπουδὴ περὶ τὴν τῶν ὑμένων λεπτότητα καὶ τὸ τῶν γραμμάτων κάλλος, οὐ περὶ τὴν ἀνάγνωσιν. Οὐδὲ γὰρ ὑπὲρ ὠφελείας καὶ κέρδους τὴν κτῆσιν αὐτῶν πεποίηνται, ἀλλὰ πλούτου καὶ φιλοτιμίας ἐπίδειξιν ποιούμενοι, περὶ ταῦτα ἐσπουδάκασι· τοσαύτη τῆς κενοδοξίας ἡ ὑπερβολή. Οὐδενὸς γὰρ ἀκούω φιλοτιμουμένου, ὅτι οἶδε τὰ ἐγκείμενα, ἀλλ' ὅτι χρυσοῖς ἔχει γράμμασιν ἐγγεγραμμένον.

πλέον ἐρωτᾷ περὶ δογμάτων. Τί ἔκαμεν ὁ Χριστός; Δὲν ἔλυσε τὸ ζήτημα (διότι δὲν ἦτο τοῦτο ἡ μεγάλη φροντίς του, τὸ ν' ἀπαντᾷ δηλαδὴ εἰς τὰς ἐρωτήσεις λεπτομερῶς. Διότι τοῦτο ἦτο περιττόν), ἀλλ' ὁδηγεῖ πάλιν τὴν γυναῖκα εἰς μεγαλύτερον ὕψος. Καὶ δὲν ὡμίλησεν εἰς αὐτὴν περὶ τούτων ἐνωρίτερον, παρὰ ὅταν ἐκείνη παρεδέχθη ὅτι εἶναι προφήτης, διὰ νὰ δώσῃ τοῦ λοιποῦ μεγαλυτέραν προσοχὴν εἰς τὰ λόγια του. Διότι αὐτή, ὅταν ἐπίστευσε τοῦτο, ἔπαυσε πλέον νὰ ἔχῃ ἀμφιβολίας δι' ὅσα ἐπρόκειτο νὰ λεχθοῦν εἰς τὸ ἑξῆς.

Ἂς ἐντραπῶμεν λοιπὸν καὶ ἂς κοκκινίσωμεν ἀπὸ ἐντροπήν. Γυνὴ ποὺ εἶχε πέντε ἄνδρας καὶ ἐπὶ πλέον ἦτο Σαμαρεῖτις, δεικνύει τόσην προθυμίαν περὶ τῶν δογμάτων καὶ οὔτε ἡ ὥρα τῆς ἡμέρας, οὔτε ἄλλη ἀπασχόλησις ἢ κάποια ἄλλη ἐργασία δὲν τὴν ἀπέσπασεν ἀπὸ τὰ ζητήματα ταῦτα. Ἡμεῖς ὅμως ὄχι μόνον δὲν ἐρωτῶμεν περὶ δογμάτων ἀλλ' εἴμεθα εἰς ὅλα ἀδιάφοροι καὶ ἀμελεῖς. Δι' αὐτὸ ἔχουν παραμεληθῆ τὰ πάντα. Διότι, ἐρωτῶ, ποῖος ἀπὸ σᾶς, εὑρισκόμενος εἰς τὴν οἰκίαν του, ἔπιασε εἰς τὰ χέρια του χριστιανικὸν βιβλίον καὶ ἐμελέτησε τὰ ἀναγραφόμενα καὶ ἠρεύνησε τὴν Γραφήν; Κανεὶς δὲν ἠμπορεῖ νὰ ἰσχυρισθῇ κάτι τέτοιο. Ἀλλ' ἀστραγάλους καὶ ζάρια θὰ εὕρωμεν εἰς τοὺς περισσοτέρους, βιβλία ὅμως πουθενά, ἢ μόνον εἰς ὀλίγους.

Ἀλλὰ καὶ αὐτοὶ ὁμοιάζουν μὲ ἐκείνους ποὺ δὲν ἔχουν διότι τὰ φυλάσσουν ἀφοῦ τὰ ἔδεσαν καὶ τὰ ἐτοποθέτησαν εἰς τὰ κιβώτια. Καὶ ὅλη ἡ φροντίς των ἐξαντλεῖται γύρω ἀπὸ τὴν λεπτότητα τῶν μεμβρανῶν καὶ τὴν ὡραιότητα τῶν γραμμάτων καὶ ὄχι διὰ τὴν ἀνάγνωσιν. Διότι δὲν ἀπέκτησαν ταῦτα χάριν ὠφελείας καὶ κέρδους, ἀλλὰ διὰ νὰ κάμνουν ἐπίδειξιν τοῦ πλούτου καὶ τῆς φιλοδοξίας των, δι αὐτὰ μόνον ἀσχολοῦνται. Τόσον ἀπέραντος εἶναι ἡ κενοδοξία των. Διότι δὲν ἀκούω ὅτι ἐφιλοτιμήθη κανεὶς νὰ διαβάσῃ τὰ γραφόμενα, ἀλλ' ὅτι ἐπιγράφει τὰ βιβλία του μὲ χρυ-

Καὶ τί τὸ κέρδος; εἰπέ μοι. Οὐ γὰρ διὰ ταῦτα ἐδόθησαν αἱ Γραφαί, ἵνα ἐν βιβλίοις αὐτὰς ἔχωμεν μόνον, ἀλλ' ἵνα καὶ ἐν καρδίαις αὐτὰς ἐγκολάψωμεν.

Ὡς αὕτη γε ἡ κτῆσις Ἰουδαϊκῆς ἐστι φιλοτιμίας, τὸ ἐν τοῖς γράμμασι κατατίθεσθαι μόνον τὰς ἐντολάς· ἡμῖν δὲ οὐδὲ τὴν ἀρχὴν οὕτως ὁ νόμος ἐδόθη, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. Καὶ ταῦτα λέγω, οὐ κωλύων βιβλία κεκτῆσθαι, ἀλλὰ καὶ παραινῶ τοῦτο καὶ σφόδρα εὔχομαι· βούλομαι δὲ ἐξ ἐκείνων καὶ τὰ γράμματα καὶ τὰ νοήματα εἰς τὴν διάνοιαν περιφέρεσθαι τὴν ἡμετέραν, ἵνα οὕτω καθαίρηται δεχομένη τὴν τῶν γραμμάτων νόησιν. Εἰ γὰρ ἐν οἰκίᾳ, ἔνθα ἂν Εὐαγγέλιον ᾖ κείμενον, οὐ τολμήσει προσελθεῖν ὁ διάβολος, πολλῷ μᾶλλον ψυχῆς νοήματα τοιαῦτα περιφερούσης οὐχ ἅψεταί ποτε, οὐδὲ ἐπιβήσεται δαίμων, ἢ ἁμαρτίας φύσις.

Ἁγίασον τοίνυν τὴν ψυχήν σου, ἁγίασόν σου τὸ σῶμα, ἀεὶ ταῦτα ἐπὶ τῆς καρδίας καὶ ἐπὶ τῆς γλώσσης ἔχων. Εἰ γὰρ ἡ αἰσχρολογία καταρρυποῖ, καὶ δαίμονας καλεῖ, εὔδηλον ὅτι ἡ πνευματικὴ ἀνάγνωσις ἁγιάζει καὶ τὴν τοῦ Πνεύματος ἐπισπᾶται χάριν. Θεῖαί εἰσιν ἐπῳδαὶ τὰ γράμματα. Ἐπᾴδωμεν τοίνυν ἑαυτοῖς καὶ τοῖς ἐν τῇ ψυχῇ πάθεσιν τὰ ἀπ' ἐκείνων φάρμακα κατασκευάζωμεν. Ἂν γὰρ εἰδῶμεν τίνα ἐστὶ τὰ ἀναγινωσκόμενα, μετὰ πολλῆς ταῦτα ἀκουσόμεθα τῆς προθυμίας.

Ταῦτα ἀεὶ λέγω καὶ λέγων οὐ παύσομαι. Πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν ἐπὶ τῆς ἀγορᾶς καθημένους καὶ ἡνιόχων καὶ ὀρχηστῶν καὶ ὀνόματα καὶ γένη καὶ πόλεις καὶ ἐνεργείας λέγειν τρόπους καὶ αὐτῶν δὲ τῶν ἵππων καὶ ἀρετὴν καὶ κακίαν μετὰ ἀκριβείας ἀπαγγέλλειν· τοὺς δὲ ἐνταῦ-

σᾶ γράμματα. Εἰπέ μου, λοιπόν, ποῖο εἶναι τὸ κέρδος; Διότ αἱ Γραφαὶ δὲν μᾶς ἐδόθησαν, διὰ νὰ τὰς ἔχωμεν μόνον εἰ τὰ βιβλία, ἀλλὰ καὶ διὰ νὰ τὰς χαράξωμεν εἰς τὰς καρδία μας.

Ἀσφαλῶς αὐτὴ ἡ ἀπόκτησις βιβλίων εἶναι δεῖγμα τῆ Ἰουδαϊκῆς φιλοδοξίας, τὸ νὰ ἐγγράφωνται δηλαδὴ αἱ ἐν τολαὶ μόνον μὲ τὰ γράμματα. Εἰς ἡμᾶς ὅμως ὁ νόμος δὲ ἐδόθη ἔτσι ἀπὸ τὴν ἀρχήν, ἀλλ' εἰς σαρκικὰς πλάκας τῆ καρδίας. Καὶ δὲν τὰ λέγω αὐτά, διὰ νὰ σᾶς ἐμποδίσω ν' ἀ ποκτήσετε βιβλία, ἀλλ' ἐπὶ πλέον σᾶς ἐπαινῶ διὰ τοῦτ καὶ εὔχομαι νὰ γίνεται. Θέλω ὅμως ἀπὸ τὰ βιβλία νὰ πε ριστρέφωνται τὰ γράμματα καὶ νὰ νοήματα εἰς τὸν νοῦ σας, διὰ νὰ καθαρίζεται δεχόμενος τὸ νόημα τῶν συγγρα φέων. Διότι, ἐὰν εἰς μίαν οἰκίαν, ὅπου ὑπάρχει τὸ Εὐαγ γέλιον, δὲν θὰ τολμήσῃ νὰ εἰσέλθῃ ὁ διάβολος, πολὺ ὀλ γώτερον δὲν θὰ θίξῃ ποτὲ τὴν ψυχὴν ποὺ ἀσχολεῖται μ τοιαῦτα διανοήματα, οὔτε θὰ τὴν κυριεύσῃ ὁ δαίμων, ἢ φύσις τῆς ἁμαρτίας.

Ἁγίασε λοιπὸν τὴν ψυχήν σου, ἁγίασε τὸ σῶμα σοι ἔχων ταῦτα διαρκῶς εἰς τὴν καρδίαν σου καὶ εἰς τὴν γλῶ σαν σου. Διότι, ἐὰν ἡ αἰσχρολογία καταρρυπαίνῃ καὶ προ καλῇ τοὺς δαίμονας, εἶναι φανερὸν ὅτι ἡ πνευματικὴ ἀν γνωσις ἁγιάζει καὶ προσελκύει τὴν χάριν τοῦ ἁγίου Πνει ματος. Διότι αἱ Γραφαὶ εἶναι θεῖα ᾄσματα. Ἂς ψάλωμε λοιπὸν ἐσωτερικῶς καὶ ἂς μεταχειριζώμεθα ἐκεῖνα τὰ φά μακα διὰ τὰ πάθη τῆς ψυχῆς. Διότι, ἐὰν γνωρίσωμεν αὐτ ποὺ ἀναγινώσκονται, μὲ μεγάλην προθυμίαν θὰ ἀκούσωμε ταῦτα.

Αὐτὰ λέγω πάντοτε καὶ δὲν θὰ παύσω νὰ τὰ λέγ Διότι, πῶς δὲν εἶναι παράλογον, αὐτοὶ ποὺ κάθηνται ε τὴν ἀγορὰν νὰ διηγοῦνται τὰ ἐλαττώματα τῶν ἡνιόχων κ τὰ ὀνόματα τῶν χορευτῶν, τὴν καταγωγήν, τὰς πόλε καὶ τὰς πράξεις καὶ νὰ γνωρίζουν μὲ ἀκρίβειαν τὴν ἀρετι καὶ τὴν κακίαν τῶν ἵππων, ὅσοι ὅμως συγκεντρώνονται ἐδ

θα ἀπαντῶντας μηδὲν τῶν ὧδε γινομένων εἰδέναι, ἀλλὰ καὶ αὐτῶν τῶν βίβλων τὸν ἀριθμὸν ἀγνοεῖν; Εἰ γὰρ ἡδονῆς ἕνεκεν ἐκεῖνα διώκεις, πλείονα ταύτην ἐνταῦθα οὖσαν ἐπιδείξω. Τί γὰρ ἥδιον, εἰπέ μοι, τί δὲ θαυμαστότερον, ἄνθρωπον ἀνθρώπῳ παλαίοντα ἰδεῖν ἢ ἄνθρωπον διαβόλῳ πυκτεύοντα καὶ σῶμα ἀσωμάτῳ δυνάμει συμπλεκόμενον καὶ νικῶντα; Ταύτας θεωρῶμεν τὰς πάλας· ταύτας γὰρ καὶ μιμήσασθαι εὐπρεπὲς καὶ λυσιτελὲς καὶ μιμουμένους στεφανωθῆναι ἔνι· ἀλλὰ μὴ ἐκείνας, ὧν ὁ ζῆλος αἰσχύνην φέρει τῷ μιμουμένῳ. Ἐκείνην μὲν γὰρ μετὰ δαιμόνων θεωρεῖς τὴν πάλην, ἂν ἄρα θεωρῇς· ταύτην δὲ μετὰ ἀγγέλων καὶ τοῦ τῶν ἀγγέλων Δεσπότου.

Εἰπὲ γάρ μοι· εἴ γε σοι ἐξῆν μετὰ ἀρχόντων ἢ βασιλέων καθήμενον θεωρεῖν καὶ ἀπολαύειν τῆς θεωρίας, οὐ μεγίστην ἡγοῦ τιμὴν εἶναι τοῦτο; Ἐνταῦθα δὲ μετὰ τοῦ βασιλέως τῶν ἀγγέλων θεωρῶν καὶ ὁρῶν ἐκ μέσων κατεχόμενον τῶν νώτων τὸν διάβολον καὶ πολλὰ μὲν φιλονεικοῦντα περιγενέσθαι, ἰσχύοντα δὲ οὐδέν, οὐ τρέχεις εἰς τοιαύτην θεωρίαν; Καὶ πῶς ἔνι τοῦτο γενέσθαι; φησίν. Ἂν τὸ βιβλίον μετὰ χεῖρας ἔχῃ. Ὄψει γὰρ ἐν αὐτῷ καὶ τὰ σκάμματα καὶ τοὺς μακροὺς διαύλους καὶ τὰς λαβὰς τὰς ἐκείνου καὶ τοῦ δικαίου τὴν τέχνην. Ταῦτα δὲ θεωρῶν, εἴσῃ καὶ αὐτὸς οὕτω παλαίειν καὶ ἀπαλλαγήσῃ δαιμόνων. Δαιμόνων γὰρ πανηγύρεις, οὐκ ἀνθρώπων θέατρα, τὰ ἔξω τελούμενα. Εἰ γὰρ ἐν εἰδωλείῳ οὐ θέμις εἰσιέναι, πολλῷ μᾶλλον εἰς ἑορτὴν σατανικήν.

Ταῦτα λέγων καὶ διενοχλῶν οὐ παύσομαι, ἕως ἂν τὴν ἐπιστροφὴν ἴδω. Ταῦτα γὰρ λέγειν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν,

νὰ μὴ γνωρίζουν τίποτε ἀπὸ ὅσα γίνονται ἐδῶ ἀλλὰ καὶ ν' ἀγνοοῦν τὸν ἀριθμὸν καὶ αὐτῶν τῶν βιβλίων; Διότι, ἐὰν ἐπιδιώκῃς ἐκεῖνα δι' εὐχαρίστησίν σου, θὰ σοῦ ἀποδείξω ὅτι ἐδῶ ὑπάρχει μεγαλυτέρα. Διότι, ἐρωτῶ, τί εἶναι περισσότερον εὐχάριστον καὶ ἀξιοθαύμαστον, νὰ βλέπῃς νὰ παλαίῃ ἄνθρωπος ἐναντίον ἀνθρώπου, ἢ νὰ πυγμαχῇ ἄνθρωπος ἐναντίον διαβόλου, νὰ συμπλέκεται σῶμα μὲ ἀσώματον δύναμιν καὶ νὰ νικᾷ; Ἂς παρατηροῦμεν αὐτοὺς τοὺς ἀγῶνας. Διότι αὐτοὺς εἶναι εὐπρεπὲς καὶ ὠφέλιμον νὰ μιμούμεθα καὶ εἶναι δυνατὸν μιμούμενοι νὰ λάβωμεν τὸν στέφανον τῆς νίκης, ἀλλ' ὄχι ἐκείνους, τῶν ὁποίων ἡ ἐπιθυμία ἐντροπιάζει τὸν μιμητήν. Διότι ἐκείνη ἡ πάλη ἀποβλέπει ἐναντίον τῶν δαιμόνων ἂν τὴν προσέξῃς. Παρατήρησε ὅμως καὶ αὐτὴν μὲ τοὺς ἀγγέλους καὶ μὲ τὸν Κύριον τῶν ἀγγέλων.

Εἰπέ μου, λοιπόν, ἐὰν σοῦ ἦτο δυνατὸν καθήμενος μαζὶ μὲ ἄρχοντας ἢ βασιλεῖς νὰ βλέπῃς καὶ ν' ἀπολαύῃς τὸ θέαμα, δὲν νομίζεις ὅτι αὐτὸ εἶναι μεγάλη τιμή; Ἐδῶ δὲ ἐνῷ παρατηρεῖς μὲ τὸν Βασιλέα τῶν ἀγγέλων καὶ βλέπεις ὅτι ὁ διάβολος ἔχει συλληφθῇ ἀπὸ τὰ νῶτα καὶ ὅτι ἀγωνίζεται πολὺ νὰ ὑπερισχύσῃ, δὲν κατορθώνει ὅμως τίποτε, δὲν τρέχεις εἰς αὐτὸ τὸ θέαμα; Καὶ πῶς ἠμπορεῖ νὰ γίνῃ αὐτό; θὰ ἐρωτήσῃς. Ἂν κρατῇς εἰς τὰ χέρια σου τὸ βιβλίον. Διότι μέσα εἰς αὐτὸ θὰ ἴδῃς τοὺς αὔλακας, τὰς μακρὰς διορθώσεις, τὰς ἀφορμὰς ποὺ δίδει καὶ τὴν τέχνην τοῦ δικαίου. Ὅταν δὲ παρατηρήσῃς αὐτά, θὰ μάθῃς καὶ ἐσὺ νὰ παλαίῃς καὶ θ' ἀπαλλαγῇς ἀπὸ τοὺς δαίμονας. Τὰ ἐξωτερικὰ ὅμως θεάματα εἶναι πανηγύρεις δαιμόνων καὶ ὄχι ἀνθρώπινα θεάματα. Διότι, ἂν δὲν ἐπιτρέπεται ἡ εἴσοδος εἰς εἰδωλολατρικὸν ναόν, πολὺ ὀλιγώτερον δὲν ἐπιτρέπεται εἰς σατανικὴν ἑορτήν.

Δὲν θὰ παύσω νὰ λέγω ταῦτα καὶ νὰ σᾶς παρανικῶ, ἕως ὅτου ἰδῶ ὅτι ἔχετε ἀλλάξει. Διότι, ὅπως λέγει ὁ Ἀπόστολος, τὸ νὰ τὰ λέγω, δι' ἐμὲ βεβαίως δὲν εἶναι βαρετόν,

φησίν, ὑμῖν δὲ ἀσφαλές. Μὴ δὴ βαρύνεσθε τὴν παραίνεσιν. Εἰ γὰρ βαρύνεσθαι ἔδει, ἐμὲ ἔδει τὸν πολλάκις λέγοντα καὶ οὐκ ἀκουόμενον, οὐχ ἡμᾶς τοὺς ἀεὶ μὲν ἀκούοντας, ἀεὶ δὲ παρακούοντας. Ἀλλὰ μὴ γένοιτο διαπαντὸς ταῦτα ὑμᾶς ἐγκαλεῖσθαι, ἀλλὰ ἀπαλλαγέντας ταύτης τῆς αἰσχύνης, καταξιωθῆναι τῆς πνευματικῆς θεωρίας καὶ τῆς μελλούσης δόξης ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7. Φιλ. 3, 1.

διὰ σᾶς ὅμως παρέχει ἀσφάλειαν[7]. Μὴ βαρύνεσθε λοιπὸν μὲ τὴν συμβουλήν μου. Διότι, ἐὰν κάποιος ἔπρεπε νὰ βαρύνεται, αὐτὸς εἶμαι ἐγώ, ὁ ὁποῖος ὁμιλῶ διαρκῶς χωρὶς νὰ εἰσακούωμαι καὶ ὄχι σεῖς, οἱ ὁποῖοι πάντοτε μὲν ἀκούετε, πάντοτε δὲ παρακούετε. Ἀλλ' εἴθε νὰ μὴ κατηγορηθῆτε ποτὲ ἕνεκα τούτων, ἀλλ' ἀφοῦ ἀπαλλαγῆτε ἀπὸ αὐτὴν τὴν αἰσχύνην, ν' ἀξιωθῆτε τοῦ πνευματικοῦ θεάματος καὶ ν' ἀπολαύσετε τὴν μέλλουσαν δόξαν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΓ΄.

Ἰω. 4,21 - 27

«Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν».

1. Πανταχοῦ πίστεως ἡμῖν δεῖ, ἀγαπητοί, πίστεως, τῆς μητρὸς τῶν ἀγαθῶν, τοῦ τῆς σωτηρίας φαρμάκου· καὶ ταύτης ἄνευ οὐδὲν ἔστι κατασχεῖν τῶν μεγάλων δογμάτων. Ἀλλ᾽ ἐοίκασι τοῖς πέλαγος νηὸς χωρὶς ἐπιχειροῦσι διαπερᾶν, οἳ μέχρι μὲν ὀλίγου νηχόμενοι διαρκοῦσι χερσὶν ὁμοῦ καὶ ποσὶ χρώμενοι, περαιτέρω δὲ προελθόντες, ταχέως ὑπὸ τῶν κυμάτων βαπτίζονται· οὕτω καὶ οἱ τοῖς οἰκείοις χρώμενοι λογισμοῖς, πρὶν ἤ τι μαθεῖν, ναυάγιον ὑπομένουσι· καθὼς καὶ ὁ Παῦλός φησιν, «Οἵτινες περὶ τὴν πίστιν ἐναυάγησαν».

Ὅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, τὴν ἱερὰν κατέχωμεν ἄγκυραν, δι᾽ ἧς καὶ τὴν Σαμαρεῖτιν ὁ Χριστὸς ἐπάγεται νῦν. Εἰπούσης γὰρ ἐκείνης, «Πῶς ὑμεῖς λέγετε ὅτι ἐν τοῖς Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ἐν ᾧ δεῖ προσκυνεῖν;», ὁ Χριστὸς ἔλεγεν· «Πίστευσόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ Πατρί». Πολὺ μέγα αὐτῇ δόγμα ἀπεκάλυψε καὶ ὅπερ οὐδὲ Νικοδήμῳ, οὐδὲ τῷ Ναθαναὴλ εἶπεν. Αὕτη μὲν οὖν ἐσπούδαζε σεμνότερα δεῖξαι τὰ αὐτῆς τῶν Ἰουδαϊκῶν, καὶ τοῦτο ἀπὸ τῶν πατέρων ἐσοφίζετο· ὁ δὲ Χριστὸς οὐ πρὸς ταύτην ἀπήντησε τὴν ἐρώτησιν. Παρέλκον γὰρ τέως ἦν τοῦτο εἰπεῖν καὶ δεῖξαι, διατί μὲν οἱ πατέρες ἐν τῷ ὄρει, διατί δὲ οἱ Ἰουδαῖοι ἐν Ἱεροσολύμοις προσεκύνουν.

---

1. Ἰω. 4, 21-23.

ΟΜΙΛΙΑ ΛΓ'.

'Ιω. 4,21 - 27

«Λέγει εἰς αὐτὴν ὁ 'Ιησοῦς· Πίστευσέ μου, γυναῖκα, ὅτι ἔρχεται ὥρα ποὺ οὔτε εἰς τὸ ὄρος τοῦτο οὔτε εἰς τὰ 'Ιεροσόλυμα θὰ λατρεύετε τὸν Πατέρα. Σεῖς λατρεύετε ἐκεῖνο ποὺ δὲν γνωρίζετε, ἡμεῖς λατρεύομεν ἐκεῖνο ποὺ γνωρίζομεν, διότι ἡ σωτηρία ἔρχεται ἀπὸ τοὺς 'Ιουδαίους»[1].

1. Παντοῦ ἔχομεν ἀνάγκην πίστεως, ἀγαπητοί, πίστεως ποὺ εἶναι μήτηρ τῶν ἀγαθῶν καὶ φάρμακον τῆς σωτηρίας. Χωρὶς αὐτὴν δὲν εἶναι δυνατὸν νὰ κατανοήσωμεν τὰ μεγάλα δόγματα. 'Αλλ' ὅπως ἐκεῖνοι οἱ ὁποῖοι ἐπιχειροῦν νὰ διαπλεύσουν τὸ πέλαγος χωρὶς πλοῖον μόνον ἐπ' ὀλίγον ἠμποροῦν νὰ κολυμβήσουν χρησιμοποιοῦντες χεῖρας καὶ πόδας, ἀλλ' ἀφοῦ προχωρήσουν μακρύτερα, ταχέως βυθίζονται ἀπὸ τὰ κύματα, ἔτσι ὁμοιάζουν καὶ ἐκεῖνοι ποὺ χρησιμοποιοῦν τοὺς ἰδικούς των συλλογισμοὺς καὶ οἱ ὁποῖοι ναυαγοῦν πρὶν μάθουν κάτι. Εἶναι αὐτοὶ διὰ τοὺς ὁποίους ὁ Παῦλος λέγει ὅτι «Αὐτοὶ ἐναυάγησαν περὶ τὴν πίστιν».

Διὰ νὰ μὴ πάθωμεν καὶ ἡμεῖς αὐτό, ἂς κρατοῦμεν τὴν ἱερὰν ἄγκυραν, διὰ τῆς ὁποίας τώρα ὁ Χριστὸς ὁδηγεῖ τὴν Σαμαρεῖτιν. Διότι, ὅταν ἐκείνη ἠρώτησε· «Πῶς σεῖς λέγετε ὅτι εἰς τὰ 'Ιεροσόλυμα εἶναι ὁ τόπος, ὅπου πρέπει νὰ λατρεύωμεν;», ὁ Χριστὸς ἀπήντησεν· «Πίστευσέ με, γυναῖκα, ὅτι ἔρχεται ὥρα, ποὺ οὔτε εἰς τὰ 'Ιεροσόλυμα οὔτε εἰς τὸ ὄρος τοῦτο θὰ λατρεύετε τὸν Πατέρα». Μέγιστον δόγμα ἀπεκάλυψεν εἰς αὐτήν, τὸ ὁποῖον δὲν ἀνεκοίνωσεν οὔτε εἰς τὸν Νικόδημον, οὔτε εἰς τὸν Ναθαναήλ. Ἡ μὲν Σαμαρεῖτις ἀπέβλεπε ν' ἀποδείξῃ, ὅτι τὰ ἰδικά της ἦσαν ἀνώτερα ἀπὸ τὰ 'Ιουδαϊκὰ καὶ διὰ νὰ βεβαιώσῃ τοῦτο ἐστηρίζετο εἰς τὸ κῦρος τῶν πατέρων. 'Αλλ' ὁ Χριστὸς δὲν ἀπήντησεν εἰς τὴν ἐρώτησιν. Διότι ἐθεώρησε περιττὸν πλέον νὰ εἰπῇ καὶ ν' ἀποδείξῃ, διατί οἱ μὲν πατέρες αὐτῆς ἐλάτρευον τὸν Θεὸν εἰς τὸ ὄρος, οἱ δὲ 'Ιουδαῖοι εἰς τὰ 'Ιεροσόλυμα.

Διὸ τοῦτο μὲν ἀπεσιώπησεν· ἀμφοτέρων δὲ τῶν τύπων τὰ πρεσβεῖα ἀνελών, διανίστησιν αὐτῆς τὴν ψυχήν, δεικνὺς ὅτι οὐδὲ Ἰουδαῖοι οὐδὲ αὐτοὶ ἔχουσί τι μέγα πρὸς τὸ μέλλον δωρεῖσθαι· καὶ τότε τὴν διαφορὰν εἰσάγει. Πλὴν καὶ οὕτω σεμνοτέρους τοὺς Ἰουδαίους ἀπέφηνεν, οὐ τόπον τόπου προτιμῶν, ἀλλὰ ἀπὸ τῆς διανοίας ἐκείνης τὴν προεδρείαν διδούς, ὡσανεὶ ἔλεγε· Τόπου μὲν ἕνεκεν, οὐδὲν δεῖ λοιπὸν φιλόνεικεῖν. Ἰουδαῖοι μέντοι τῷ τρόπῳ τὸ πλέον τῶν Σαμαρειτῶν ἔσχον· «Ὑμεῖς» μὲν γάρ, φησί, «προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς δὲ προσκυνοῦμεν ὃ οἴδαμεν».

Πῶς οὖν οὐκ ᾔδεσαν οἱ Σαμαρεῖται ὃ προσεκύνουν; Ὅτι τοπικὸν καὶ μερικὸν Θεὸν ἐνόμιζον εἶναι· οὕτω γοῦν αὐτὸν καὶ ἐθεράπευον· οὕτω καὶ Πέρσαις πέμψαντες ἀπήγγειλαν ὅτι Ὁ τοῦ τόπου τούτου Θεὸς ἡμῖν ἀγανακτεῖ, οὐδὲν πλέον περὶ αὐτοῦ κατὰ τοῦτο τῶν εἰδώλων φανταζόμενοι. Διόπερ ἔμενον καὶ δαίμονας καὶ αὐτὸν θεραπεύοντες καὶ τὰ ἄμικτα μιγνύντες.

Ἰουδαῖοι δὲ ταύτης ἦσαν ἀπηλλαγμένοι τῆς ὑπονοίας καὶ τῆς οἰκουμένης αὐτὸν ᾔδεσαν εἶναι Θεόν, εἰ καὶ μὴ πάντες. Διὰ τοῦτό φησιν, «Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς δὲ προσκυνοῦμεν ὃ οἴδαμεν». Μὴ θαυμάσῃς δὲ ὅτι μετὰ Ἰουδαίων ἑαυτὸν ἀριθμεῖ· πρὸς γὰρ τὴν ὑπόνοιαν τῆς γυναικὸς διαλέγεται, ὡς προφήτης ὢν Ἰουδαίων. Διὸ καὶ τό, «Προσκυνοῦμεν», τέθεικεν. Ὅτι γὰρ τῶν προσκυνουμένων ἐστί, παντί που δῆλον. Τὸ μὲν γὰρ προσκυνεῖν, τῆς κτίσεως, τὸ δὲ προσκυνεῖσθαι, τοῦ τῆς κτίσεως Δεσπότου. Ἀλλὰ τέως ὡς Ἰουδαῖος διαλέγεται. Τὸ οὖν, «Ἡμεῖς»,

Δι' αὐτὸ τοῦτο μὲν ἀπεσιώπησεν, ἀφοῦ ὅμως ἀφήρεσε καὶ τῶν δύο τόπων τὴν ὑπεροχήν, ἀνύψωσε τὴν ψυχήν της, ἀπέδειξεν ὅτι οὔτε οἱ Ἰουδαῖοι οὔτε οἱ πατέρες της ἠμποροῦσαν νὰ δωρήσουν κάτι τὸ σπουδαῖον εἰς τὸ μέλλον. Καὶ τότε παρουσιάζει τὴν διαφοράν. Ἀλλὰ καὶ πάλιν ἀπέδειξεν, ὅτι οἱ Ἰουδαῖοι ἦσαν ἀνώτεροι, ὄχι συγκρίνων τόπον μὲ τόπον, ἀλλὰ παρέχων τὰ πρωτεῖα μόνον εἰς ἐκείνην τὴν λογικὴν τῶν Ἰουδαίων, σὰν νὰ ἔλεγε· Δὲν πρέπει τοῦ λοιποῦ νὰ φιλονεικοῦμεν διὰ τὸν τόπον. Διότι εἰς τὴν λατρείαν οἱ Ἰουδαῖοι ὑπερέχουν κατὰ πολὺ τῶν Σαμαρειτῶν. Διότι λέγει· «Σεῖς μὲν λατρεύετε ἐκεῖνο ποὺ δὲν γνωρίζετε, ἡμεῖς ὅμως λατρεύομεν ἐκεῖνο ποὺ γνωρίζομεν».

Διατί δὲν ἐγνώριζαν οἱ Σαμαρεῖται ἐκεῖνο ποὺ ἐλάτρευαν; Διότι ἐνόμιζαν, ὅτι ὁ Θεὸς ἠμπορεῖ νὰ ὁρισθῇ εἰς τόπον καὶ νὰ μερισθῇ. Ἔτσι λοιπὸν ἐλάτρευαν αὐτόν. Ἔτσι ἀνήγγειλαν μὲ ἀπεσταλμένους εἰς τοὺς Πέρσας, λέγοντες ὅτι ὁ Θεὸς αὐτοῦ τοῦ τόπου ἔχει ὀργισθῇ ἐναντίον τους, ἐπειδὴ δὲν ἐφαντάζοντο περὶ αὐτοῦ κάτι τὸ εὐρύτερον ἀπὸ τὰ εἴδωλα. Δι' αὐτὸ ἀκριβῶς ἐπέμεναν νὰ λατρεύουν καὶ τὸν Θεὸν αὐτὸν καὶ τοὺς δαίμονας, συγχέοντες καὶ ἐκεῖνα ποὺ δὲν ἠμποροῦσαν ν' ἀναμιχθοῦν.

Ἀλλ' οἱ Ἰουδαῖοι ἦσαν ἀπηλλαγμένοι ἀπὸ αὐτὴν τὴν δοξασίαν καὶ ἐγνώριζαν ὅτι αὐτὸς εἶναι Θεὸς ὁλοκλήρου τῆς οἰκουμένης, ἂν καὶ δὲν ἐπίστευαν ὅλοι. Δι' αὐτὸ λέγει ὁ Χριστός, «Σεῖς λατρεύετε ἐκεῖνο ποὺ δὲν γνωρίζετε, ἡμεῖς δὲ λατρεύομεν ἐκεῖνο ποὺ γνωρίζομεν». Μὴ ἀπορῇς ὅμως, ἐπειδὴ συγκαταλέγει τὸν ἑαυτόν του μὲ τοὺς Ἰουδαίους. Διότι ὁμιλεῖ σύμφωνα μὲ τὴν γνώμην τῆς γυναικός, κατὰ τὴν ὁποίαν εἶναι προφήτης τῶν Ἰουδαίων. Δι' αὐτὸ ἐχρησιμοποίησε τὴν λέξιν «λατρεύομεν». Ὅτι βέβαια ἐλατρεύετο, δὲν εἶναι εἰς κανένα ἄγνωστον. Διότι ἴδιον τῆς μὲν δημιουργίας εἶναι νὰ λατρεύῃ, τοῦ δὲ Κυρίου τῆς δημιουργίας νὰ λατρεύεται. Ἀλλ' ὁμιλεῖ πλέον ὡς Ἰουδαῖος.

ἐνταῦθα, Ἡμεῖς οἱ Ἰουδαῖοι, φησίν.

Ἐπάρας τοίνυν τὰ Ἰουδαϊκά, πάλιν ἀξιόπιστον ἑαυτὸν ποιεῖ, καὶ πείθει μᾶλλον τοῖς ὑπ' αὐτοῦ λεγομένοις προσέχειν, ἀνύποπτον ποιῶν τὸν λόγον, καὶ δεικνὺς ὅτι οὐ τῇ πρὸς τὸ ὁμόφυλον συγγενείᾳ τὰ ἐκείνων ἐπαίρει. Ὁ γὰρ περὶ τοῦ τόπου ταῦτα ἀποφηνάμενος, ἐφ' ᾧ μάλιστα ηὔχουν Ἰουδαῖοι καὶ πλεονεκτεῖν πάντων ἐνόμιζον καὶ τὰ σεμνὰ τούτων καθελών, εὔδηλον ὅτι οὐδὲ κατὰ ταῦτα πρὸς χάριν τινὸς ἔλεγεν, ἀλλὰ μετὰ ἀληθείας καὶ προρρητικῇ δυνάμει.

Ἐπεὶ οὖν τῶν τοιούτων λογισμῶν τέως ἀπέστησεν εἰπών, «Πίστευσόν μοι, γύναι», καὶ τὰ ἑξῆς, ἐπάγει, «Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἢ ὅτι τὰ ἀγαθὰ τῇ οἰκουμένῃ ἐκεῖθεν γέγονε (τὸ γὰρ εἰδέναι Θεὸν καὶ τὸ καταγινώσκειν εἰδώλων, ἐκεῖθεν τὴν ἀρχὴν ἔσχεν· καὶ τὰ ἄλλα πάντα δόγματα, καὶ παρ' ὑμῖν δὲ αὐτὸ τὸ τῆς προσκυνήσεως, εἰ καὶ μὴ ὀρθῶς, ἀπὸ γοῦν τῶν Ἰουδαίων τὴν ἀρχὴν ἔλαβε)· σωτηρίαν οὖν ἢ ταῦτα ἢ τὴν ἑαυτοῦ παρουσίαν καλεῖ· μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι ἀμφότερα ταῦτα σωτηρίαν καλῶν, ἣν εἶπεν ἐκ τῶν Ἰουδαίων εἶναι. Ὅπερ καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν· «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός».

Ὁρᾷς πῶς συγκροτεῖ τὴν Παλαιάν, καὶ ῥίζαν δείκνυσι τῶν ἀγαθῶν, καὶ διὰ πάντων οὐκ ἐναντίον ὄντα τῷ νόμῳ, εἴγε ἐκ τῶν Ἰουδαίων τὴν ὑπόθεσιν εἶναι πάντων τῶν ἀγαθῶν φησιν; «Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρί». Πλεονεκτοῦμεν μὲν ὑμῶν, ὦ γύναι, φησί, τῷ τρόπῳ τῆς προσκυνήσεως· πλὴν ἀλλὰ καὶ οὗτος τέλος ἕξει λοιπόν. Οὐ γὰρ τὰ

2. Ρωμ. 9, 5.

Καὶ μὲ τὴν λέξιν «ἡμεῖς» ἐννοεῖ ἐδῶ 'ἡμεῖς οἱ Ἰουδαῖοι'.

Ἀφοῦ ἐξύψωσε λοιπὸν τοὺς Ἰουδαίους, πάλιν γίνεται ἀξιόπιστος καὶ συνδέει τὴν πίστιν μὲ τὰ λόγια του ἀπομακρύνων κάθε ὑποψίαν καὶ ἀποδεικνύων, ὅτι δὲν εἶχεν ἐξάρει αὐτοὺς ἕνεκα συγγενείας. Διότι ἐκεῖνος ποὺ ἐκφράζει αὐτὴν τὴν γνώμην περὶ τοῦ τόπου, διὰ τὸν ὁποῖον οἱ Ἰουδαῖοι ἐκαυχῶντο πάρα πολὺ καὶ ἐφαντάζοντο ὅτι ὑπερέχουν ἀπὸ ὅλους, καὶ ὁ ὁποῖος ἀφήρεσε τὴν ὑπεροχήν των, εἶναι φανερὸν ὅτι δὲν τὰ ἔλεγεν αὐτὰ διὰ νὰ εὐχαριστήσῃ κανένα, ἀλλὰ τὰ ἔλεγε πρὸς χάριν τῆς ἀληθείας καὶ τῆς προφητικῆς του δυνάμεως.

Ἀφοῦ λοιπὸν ἀπεμάκρυνε πλέον τὴν Σαμαρεῖτιν ἀπὸ τοιούτους διαλογισμοὺς καὶ ἀφοῦ εἶπε· «Πίστευσέ με, γυναῖκα», προσθέτει καὶ τὰ ἑξῆς· «Διότι ἡ σωτηρία ἔρχεται ἀπὸ τοὺς Ἰουδαίους». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὰ ἑξῆς· ἢ δηλαδὴ ὅτι ἀπὸ ἐκεῖ ἔχουν προέλθει ὅλα τὰ ἀγαθὰ διὰ τὴν οἰκουμένην (διότι ἡ γνῶσις τοῦ Θεοῦ καὶ ἡ καταδίκη τῶν εἰδώλων ἀπὸ ἐκεῖ ἔχουν τὴν καταγωγὴν καθὼς καὶ ὅλα τὰ ἄλλα δόγματα καὶ ἡ ἰδική σου λατρεία, ἂν καὶ δὲν εἶναι ὀρθή, ἀπὸ τοὺς Ἰουδαίους κατάγονται), ἢ ὅλ' αὐτὰ ἢ τὴν ἰδικήν του ἔλευσιν ὀνομάζει σωτηρίαν. Καὶ μᾶλλον δὲν θὰ πέσῃ κανεὶς ἔξω, ἂν καὶ τὰ δύο αὐτὰ ὀνομάσῃ σωτηρίαν, διὰ τὴν ὁποίαν εἶπεν ὅτι προέρχεται ἐκ τῶν Ἰουδαίων. Τοῦτο ὑπαινισσόμενος καὶ ὁ Παῦλος, ἔλεγεν· «Ἐκ τῶν ὁποίων κατάγεται κατὰ σάρκα ὁ Χριστός, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων Θεός»[2].

Βλέπεις, μὲ ποῖον τρόπον ἐξαίρει τὴν Παλαιὰν Διαθήκην καὶ δεικνύει, ὅτι αὐτὴ εἶναι ρίζα ὅλων τῶν ἀγαθῶν καὶ ὅτι αὐτὸς μὲ κανένα τρόπον δὲν εἶναι ἀντίθετος μὲ τὸν νόμον; Ἂν βεβαίως, λέγει, ἡ αἰτία ὅλων τῶν ἀγαθῶν εἶναι οἱ Ἰουδαῖοι. «Ἀλλ' ἔρχεται ὥρα, καὶ ἤδη ἦλθεν, ποὺ οἱ ἀληθινοὶ προσκυνηταὶ θὰ λατρεύσουν τὸν Πατέρα». Ὑπερέχομεν, γυναῖκα, ἀπὸ σᾶς, λέγει, ὡς πρὸς τὸν τρόπον τῆς λατρείας, ἀλλὰ καὶ αὐτῆς θὰ ἔλθῃ τὸ τέλος. Διότι δὲν

τῶν τόπων ἀμειφθήσεται μόνον, ἀλλὰ καὶ τὰ τοῦ τρόπου τῆς λατρείας, καὶ ταῦτα ἐπὶ θύραις ἕστηκεν· «Ἔρχεται γὰρ ὥρα, καὶ νῦν ἐστιν».

2. Ἐπειδὴ γὰρ οἱ προφῆται πρὸ μακρῶν ἔλεγον χρόνων ἅπερ ἔλεγον, τοῦτο ἀναιρῶν ἐνταῦθα εἶπε «Καὶ νῦν ἐστι». Μὴ νομίσῃς, φησί, ταύτην τοιαύτην εἶναι τὴν προφητείαν, ὡς μετὰ πολὺν γενήσεσθαι χρόνον. Τὰ γὰρ πράγματα ἐφέστηκεν ἤδη, καὶ ἐπὶ θύραις ἐστίν, «Ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ». Εἰπὼν ἀληθινούς, συνεξέβαλε Σαμαρείταις Ἰουδαίους. Εἰ γὰρ καὶ ἐκείνων ἀμείνους οὗτοι, ἀλλὰ τῶν μελλόντων ἐλάττους πολλῷ, καὶ τοσοῦτον, ὅσον ἀληθείας τύπος. Λέγει δὲ περὶ τῆς Ἐκκλησίας, ὅτι ἡ ἀληθὴς προσκύνησις καὶ Θεῷ πρέπουσα αὕτη ἐστίν. «Καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν».

Οὐκοῦν εἰ τοιούτους πάλαι ἐζήτει, οὐ βουλόμενος ἐκείνοις συνεχώρησε τὸν τρόπον, ἀλλὰ συγκαταβαίνων, καὶ διὰ τοῦτο, ἵνα καὶ τούτους εἰσαγάγῃ. Τίνες οὖν εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί; Οἱ μήτε τόπῳ περικλείοντες τὴν λατρείαν, καὶ Θεὸν ἐν πνεύματι θεραπεύοντες· καθὼς καὶ ὁ Παῦλός φησιν· «Ὧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ»· καὶ πάλιν, «Παρακαλῶ ὑμᾶς παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν». Ὅταν δὲ εἴπῃ, «Πνεῦμα ὁ Θεός», οὐδὲν ἄλλο δηλοῖ, ἢ τὸ ἀσώματον. Δεῖ τοίνυν τοῦ ἀσωμάτου καὶ τὴν λατρείαν τοιαύτην εἶναι καὶ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προσφέρεσθαι· τουτέστι, διὰ τῆς ψυχῆς καὶ τῆς τοῦ νοῦ καθαρότητος. Διό φησι· «Καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν».

---

3. Ρωμ. 1, 9.
4. Αὐτόθι 12, 1.

θ' ἀλλάξουν μόνον οἱ τόποι, ἀλλὰ καὶ οἱ τρόποι τῆς λατρείας καὶ αὐτὰ εὑρίσκονται πολὺ πλησίον. «Διότι ἔρχεται ὥρα καὶ ἤδη ἦλθεν».

2. Ἐπειδὴ δηλαδὴ οἱ προφῆται ἔλεγαν πρὸ μακροῦ χρόνου αὐτὰ ποὺ ἔλεγαν, ταῦτα ἀκυρώνων ἐδῶ εἶπε, «Καὶ ἤδη ἦλθεν». Μὴ φαντασθῇς, λέγει, ὅτι αὐτὴ ἡ προφητεία θὰ ἐκπληρωθῇ μετὰ παρέλευσιν μακροῦ χρόνου. Διότι τὰ πράγματα εἶναι παρόντα καὶ πολὺ πλησίον ἡ ὥρα, «Ὅταν οἱ ἀληθινοὶ προσκυνηταὶ θὰ λατρεύουν τὸν Πατέρα πνευματικὰ καὶ ἀληθινά». Ὅταν εἶπεν ἀληθινοί, ἀπέκλεισε μαζὶ μὲ τοὺς Σαμαρείτας καὶ τοὺς Ἰουδαίους. Διότι, ἂν οἱ τελευταῖοι εἶναι καλύτεροι ἀπὸ τοὺς πρώτους, ἀλλ' εἰς τὸ μέλλον θὰ εἶναι πολὺ κατώτεροι καὶ μάλιστα τόσον, ὅσον διαφέρει ἡ ἀλήθεια ἀπὸ τὴν εἰκόνα. Λέγει δὲ περὶ τῆς Ἐκκλησίας, ὅτι αὐτὴ εἶναι ἡ ἀληθινὴ λατρεία καὶ ἁρμόζουσα εἰς τὸν Θεόν. «Διότι τέτοιους θέλει ὁ Πατὴρ νὰ εἶναι ἐκεῖνοι ποὺ τὸν λατρεύουν».

Ἐὰν λοιπὸν τέτοιους ἐζήτει προσκυνητὰς δὲν συνεχώρησε ἐξ ἰδίας θελήσεως κάποτε τὸν τρόπον λατρείας των, ἀλλ' ἐξ εὐσπλαγχνίας, διὰ νὰ κάμῃ καὶ αὐτοὺς ἀληθινοὺς προσκυνητάς. Ποῖοι εἶναι λοιπὸν οἱ ἀληθινοὶ προσκυνηταί; Ἐκεῖνοι οἱ ὁποῖοι δὲν περικλείουν τὴν λατρείαν εἰς τόπον, ἀλλ' οἱ ὁποῖοι λατρεύουν τὸν Θεὸν πνευματικά. Ὅπως εἶπε καὶ ὁ Παῦλος· «Τὸν ὁποῖον λατρεύω μὲ τὸ πνεῦμα μου εἰς τὸ Εὐαγγέλιον τοῦ Υἱοῦ του»[3] καὶ ἐν συνεχείᾳ· «Σᾶς παρακαλῶ νὰ προσφέρετε τοὺς ἑαυτούς σας θυσίαν ζωντανὴν καὶ ἁγίαν, εὐάρεστον εἰς τὸν Θεόν, τὴν λογικήν σας λατρείαν»[4]. Καὶ ὅταν εἰπῇ, «Ὁ Θεὸς εἶναι Πνεῦμα», δὲν δηλώνει τίποτε ἄλλο, παρὰ τὸ ἀσώματον. Πρέπει λοιπὸν καὶ ἡ λατρεία τοῦ ἀσωμάτου νὰ εἶναι τέτοια καὶ νὰ προσφέρεται δι' ἐκείνου, τὸ ὁποῖον ἐντὸς ἡμῶν εἶναι ἀσώματον, δηλαδὴ διὰ τῆς καθαρότητος τῆς ψυχῆς καὶ τοῦ νοῦ. Δι' αὐτὸ λέγει, «Καὶ ἐκεῖνοι ποὺ τὸν λατρεύουν, πρέπει νὰ τὸν λατρεύουν πνευματικὰ καὶ ἀληθινά».

Ἐπειδὴ γὰρ καὶ ἐκεῖνοι καὶ οἱ Ἰουδαῖοι τῆς μὲν ψυχῆς ἠμέλουν, πολλὴν δὲ περὶ τὸ σῶμα σπουδὴν ἐποιοῦντο, καθαίροντες αὐτὸ παντοδαπῶς, φησὶν ὅτι οὐ τῇ τοῦ σώματος καθαρότητι, ἀλλὰ τῷ ἐν ἡμῖν ἀσωμάτῳ, τουτέστι τῷ νῷ, ὁ ἀσώματος θεραπεύεται. Μὴ τοίνυν πρόβατα θύετε καὶ μόσχους, ἀλλ' ὅλον σαυτὸν ἀνάθες τῷ Θεῷ καὶ ὁλοκαύτωσον· τοῦτο γάρ ἐστι θυσίαν ζῶσαν παραστῆσαι. Ἐν γὰρ ἀληθείᾳ δὴ προσκυνεῖν· ὡς τά γε πρότερα τύπος ἦν, ἡ περιτομή, τὰ ὁλοκαυτώματα, τὰ θύματα, τὰ θυμιάματα· νυνὶ δὲ οὐκέτι, ἀλλ' ἀλήθεια τὸ πᾶν. Οὐ γὰρ σάρκα, ἀλλὰ πονηροὺς δεῖ περικόπτειν λογισμοὺς καὶ σταυροῦν ἑαυτὸν καὶ τὰς ἀλόγους ἀναιρεῖν ἐπιθυμίας καὶ κατασφάττειν.

Ἰλιγγίασεν ἡ γυνὴ πρὸς τὰ λεχθέντα καὶ ἀπηγόρευσε πρὸς τὸ ὕψος τῶν εἰρημένων καὶ καμοῦσα ἄκουσον τί φησιν· «Οἶδα ὅτι ἔρχεται Μεσσίας ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ λαλῶν σοι». Καὶ πόθεν Σαμαρείταις τὸ προσδοκᾶν τὴν τοῦ Χριστοῦ παρουσίαν, τὸν Μωϋσέα δεξάμενοι μόνον; Ἀπ αὐτῶν τῶν Μωϋσέως γραμμάτων. Καὶ γὰρ ἐν ἀρχῇ τὸν Υἱὸν ἀπεκάλυψε. Τὸ γάρ, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν». Πρὸς τὸν Υἱὸν εἴρητο· καὶ τῷ Ἀβραὰμ ἐν τῇ σκηνῇ οὗτός ἐστιν ὁ διαλεγόμενος· καὶ ὁ Ἰακὼβ περὶ αὐτοῦ προφητεύων ἔλεγεν· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν». Καὶ αὐτὸς δὲ ὁ Μωϋσῆς φησι· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε». Καὶ τὰ κατὰ τὸν ὄφιν καὶ τὰ κατὰ τὴν ῥάβδον τὴν Μωϋσέως καὶ τὰ κατὰ τὸν Ἰσαὰκ καὶ τὸ πρόβατον καὶ πολλὰ ἕτερα ἐνῆν βουλομένοις ἐκλέγειν τὴν

---

5. Γεν. 1, 26.
6. Αὐτόθι 49, 10.
7. Δευτ. 18, 15.

Ἐπειδὴ δηλαδὴ καὶ οἱ Σαμαρεῖται καὶ οἱ Ἰουδαῖοι παρημέλουν μὲν τὴν ψυχήν των, ἐφρόντιζον δὲ πολὺ διὰ τὸ σῶμα, καθαρίζοντες αὐτὸ μὲ ὅλους τοὺς τρόπους, τονίζει ὅτι ὁ ἀσώματος λατρεύεται ὄχι μὲ τὴν σωματικὴν ἀλλὰ μὲ τὴν πνευματικὴν καθαρότητα, δηλαδὴ μὲ τὸν νοῦν. Μὴ θυσιάζῃς λοιπὸν πρόβατα καὶ μοσχάρια, ἀλλὰ πρόσφερε τὸν ἑαυτόν σου ὁλοκαύτωμα εἰς τὸν Θεόν. Διότι μ' αὐτὸν τὸν τρόπον προσφέρεις ζωντανὴν θυσίαν. Καὶ πρέπει νὰ τὸν λατρεύῃς ἀληθινά. Ὅλα τὰ προηγούμενα, ὅπως ἡ περιτομή, τὰ ὁλοκαυτώματα, τὰ πρὸς θυσίαν ζῶα, τὰ θυμιάματα, ἦσαν τύπος. Τώρα δὲν εἶναι πλέον, ἀλλὰ τὸ πᾶν εἶναι ἡ ἀλήθεια. Διότι δὲν πρέπει νὰ περιορίζῃ κανεὶς τὴν σάρκα, ἀλλὰ τὰς πονηρὰς σκέψεις καὶ νὰ σταυρώνῃ τὸν ἑαυτόν του καὶ νὰ ἐξαφανίζῃ καὶ νὰ θυσιάζῃ τὰς παραλόγους ἐπιθυμίας.

Αὐτὰ προκάλεσαν ἴλιγγον εἰς τὴν γυναῖκα καὶ δὲν ἠμπόρεσε νὰ φθάσῃ εἰς τὸ ὕψος τῶν λεχθέντων καὶ ἐπειδὴ ἐκουράσθη, ἄκουσε, τί ἀπήντησε· «Ξεύρω ὅτι θὰ ἔλθῃ ὁ Μεσσίας, ὁ λεγόμενος Χριστός. Ὅταν ἔλθῃ ἐκεῖνος, θὰ μᾶς τὰ γνωρίσῃ ὅλα. Λέγει εἰς αὐτὴν ὁ Ἰησοῦς· «Ἐγὼ εἶμαι ποὺ ὁμιλῶ μαζί σου». Καὶ ἀπὸ ποῦ Σαμαρεῖται ἐπερίμεναν τὴν ἔλευσιν τοῦ Χριστοῦ, ἀφοῦ παρεδέχοντο μόνον τὸν Μωϋσῆν; Ἀπὸ τὰ ἴδια τὰ γραπτὰ τοῦ Μωϋσέως. Διότι ἀπὸ τὴν ἀρχὴν ἀπεκάλυψε τὸν Υἱόν. Διότι τό, «Ἂς κάμωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν»[5], εἶχε λεχθῇ διὰ τὸν Υἱόν. Καὶ ὁ Ἰακὼβ προφητεύων περὶ αὐτοῦ ἔλεγε· «Δὲν θὰ ἐξέλθῃ ἄρχων ἀπὸ τὸν Ἰούδα, οὔτε σκῆπτρον ἀπὸ τοὺς μηρούς του, ἕως ὅτου ἔλθῃ ἐκεῖνος διὰ τὸν ὁποῖον τοῦτο προορίζεται καὶ ὁ ὁποῖος θὰ εἶναι ἡ προσδοκία τῶν ἐθνῶν»[6]. Καὶ ὁ ἴδιος ὁ Μωϋσῆς εἶπεν· «Ὁ Κύριος καὶ Θεὸς θὰ ἀναδείξῃ Προφήτην ἀπὸ τὸ μέσον τῶν ἀδελφῶν σας, ὅμοιον μὲ ἐμὲ καὶ πρέπει ν' ἀκούσετε αὐτόν»[7]. Καὶ ὅσα περὶ τοῦ ὄφεως, περὶ τῆς ράβδου τοῦ Μωϋσέως, περὶ τοῦ Ἰσαὰκ καὶ τοῦ προβάτου καὶ πολλὰ ἄλλα, ποὺ

παρουσίαν αὐτοῦ ἀνακηρύττοντα.

Καὶ τί δήποτε, φησίν, οὐκ ἀπὸ τούτων ἐνῆγε τὴν γυναῖκα ὁ Χριστός, ἀλλὰ τῷ μὲν Νικοδήμῳ τὸν ὄφιν εἰς μέσον ἤγαγε καὶ τῷ Ναθαναὴλ προφητείας ἀνέμνησε, ταύτῃ δὲ οὐδὲν τοιοῦτον εἶπεν; Τίνος οὖν ἕνεκεν καὶ διατί; Ὅτι ἐκεῖνοι μὲν ἄνδρες ἦσαν, καὶ ἐν τούτοις ἐστρέφοντο· αὕτη δὲ γυνὴ πενιχρά, καὶ ἀμαθής, καὶ Γραφῶν ἄπειρος. Διὰ τοῦτο αὐτῇ οὐκ ἀπὸ τούτων διαλέγεται, ἀλλ' ἀπὸ τοῦ ὕδατος καὶ τῆς προρρήσεως αὐτὴν ἐπισπᾶται, καὶ διὰ τούτων εἰς μνήμην ἄγει τοῦ Χριστοῦ καὶ ἐκκαλύπτει λοιπὸν ἑαυτόν· ὅπερ ἂν εἰ παρὰ τὴν ἀρχὴν μὴ ζητησάσῃ τῇ γυναικὶ εἶπεν, ἔδοξεν ἂν αὐτῇ ληρεῖν, καὶ εἰκῇ φθέγγεσθαι. Νῦν δὲ κατὰ μικρὸν αὐτὴν ἐπὶ τὴν μνήμην ἄγων εὐκαίρως ἑαυτὸν ἀπεκάλυψε.

Καὶ τοῖς μὲν Ἰουδαίοις συνεχῶς λέγουσιν, «Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰπὲ ἡμῖν, εἰ σὺ εἶ ὁ Χριστός»· τούτους μὲν οὐκ ἀπεκρίνατο σαφῶς, ταύτῃ δὲ εἶπε φανερῶς αὐτὸς εἶναι. Εὐγνωμονεστέρα γὰρ ἦν ἡ γυνὴ τῶν Ἰουδαίων. Ἐκεῖνοι μὲν γὰρ οὐχ ὑπὲρ τοῦ μαθεῖν ἐζήτουν, ἀλλ' ὑπὲρ τοῦ κωμῳδεῖν αὐτὸν ἀεί. Εἰ γὰρ ἐβούλοντο μαθεῖν, ἱκανὴ καὶ ἡ διὰ τῶν ῥημάτων καὶ ἡ διὰ τῶν Γραφῶν καὶ ἡ διὰ τῶν σημείων διδασκαλία ἦν. Αὕτη δὲ ἐξ ἀδεκάστου γνώμης καὶ ἁπλῆς διανοίας ἐφθέγγετο ἅπερ ἐφθέγγετο· καὶ δῆλον ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτῆς γενομένων. Καὶ γὰρ ἤκουσε καὶ ἐπίστευσε καὶ ἄλλους ἐπὶ τοῦτο ἐσαγήνευσε· καὶ πανταχοῦ τῆς γυναικὸς ἔστιν ἰδεῖν τὸ ἠκριβωμένον καὶ τὸ πιστόν. «Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ». Σφόδρα εἰς καιρὸν ἀπήντησαν, τῆς διδασκαλίας ἀπαρτισθείσης. «Καὶ ἐθαύμαζον ὅτι μετὰ γυναικὸς ἐλάλει. Οὐδεὶς μέντοι εἶπε, Τί ζητεῖς; ἢ Τί λαλεῖς μετ' αὐτῆς;».

---

8. Ἰω. 10, 24.

ἠμπορεῖ νὰ συγκεντρώσῃ κανείς, μαρτυροῦν τὴν ἔλευσιν αὐτοῦ.

Καὶ διατί, θὰ ἐρωτήσῃς, δὲν ἐχρησιμοποίησε ταῦτα ὁ Χριστός, διὰ νὰ πείσῃ τὴν γυναῖκα, ἀλλ' εἰς μὲν τὸν Νικόδημον ἔφερεν ὡς παράδειγμα τὸν ὄφιν, εἰς τὸν Ναθαναὴλ ὑπενθύμισε προφητείας, ἀλλ' εἰς αὐτὴν δὲν εἶπε τίποτε; Διατί καὶ διὰ ποῖον λόγον; Διότι ἐκεῖνοι μὲν ἦσαν ἄνδρες καὶ ἠσχολοῦντο μὲ αὐτά, αὐτὴ δὲ ἦτο πτωχὴ καὶ ἀμαθὴς γυναῖκα καὶ ἐπομένως δὲν ἐγνώριζε τὰς Γραφάς. Διὰ τοῦτο δὲν κάμνει λόγον εἰς αὐτὴν περὶ τούτων, ἀλλὰ τὴν προσελκύει μὲ τὸ ὕδωρ καὶ μὲ τὴν προφητείαν καὶ μὲ αὐτὰ ἀνακαλεῖ εἰς τὴν μνήμην της τὸν Χριστὸν καὶ ἀποκαλύπτει τὸν ἑαυτόν του. Ἐὰν τὸ ἔλεγεν αὐτὸ εἰς τὴν γυναῖκα ἀπὸ τὴν ἀρχὴν χωρὶς νὰ τὸ ζητήσῃ, θὰ ἐφαίνετο ὅτι φλυαρεῖ καὶ ματαιοπονεῖ. Τώρα ὅμως ὀλίγον κατ' ὀλίγον ἀνακαλῶν εἰς τὴν μνήμην της ταῦτα, ἀπεκάλυψε τὸν ἑαυτόν της καταλλήλως.

Καὶ εἰς τοὺς μὲν Ἰουδαίους, οἱ ὁποῖοι συνεχῶς ἠρώτων, «Ἕως πότε θὰ μᾶς κρατῇς εἰς ἀμφιβολίαν; Ἐὰν ἐσὺ εἶσαι ὁ Χριστός, νὰ μᾶς τὸ εἰπῇς»[8], δὲν ἀπήντησε σαφῶς, εἰς αὐτὴν ὅμως εἶπε φανερά, ὅτι αὐτὸς εἶναι ὁ Χριστός. Διότι ἡ γυνὴ ἦτο προθυμοτέρα ἀπὸ τοὺς Ἰουδαίους. Διότι οἱ Ἰουδαῖοι δὲν ἠρώτων διὰ νὰ μάθουν, ἀλλὰ πάντοτε διὰ νὰ τὸν διασύρουν. Διότι, ἐὰν ἤθελον νὰ μάθουν, ἦτο ἀρκετὴ καὶ ἡ διδασκαλία τῶν Γραφῶν καὶ ἡ παράδοσις. Ἀλλ' ἡ Σαμαρεῖτις μὲ ἀδέκαστον κρίσιν καὶ ἁπλῆν διάνοιαν ὡμίλησεν ὅσα ὡμίλησε. Καὶ αὐτὸ εἶναι φανερὸν ἀπὸ ὅσα ἔκαμε μετὰ ταῦτα. Διότι καὶ ἤκουσε καὶ ἐπίστευσε καὶ ἄλλους ἔφερεν εἰς τὴν πίστιν. Καὶ ἠμπορεῖ νὰ ἰδῇ κανεὶς παντοῦ τὴν ἐπιμέλειαν καὶ τὴν πίστιν τῆς γυναικός. «Τὴν στιγμὴν αὐτὴν ἦλθον οἱ μαθηταί του». Ἐπικαίρως εἶχαν ἔλθει, ἐνῷ ἤδη εἶχε περατωθῇ ἡ διδασκαλία. «Καὶ ἠπόρησαν, διότι ὡμίλει μὲ γυναῖκα. Κανεὶς ὅμως δὲν εἶπε· Τί ζητεῖς; ἢ Διατί ὁμιλεῖς μαζί της;».

3. *Τί δὲ ἐθαύμαζον; Τὸ ἄτυφον, τὸ ταπεινὸν μεθ' ὑπερβολῆς, ὅτι οὕτω περίβλεπτος ὤν, ἠνείχετο μετὰ τοσαύτης ταπεινοφροσύνης γυναικὶ διαλέγεσθαι πενιχρᾷ καὶ Σαμαρείτιδι. Ἀλλ' ὅμως καὶ ἐκπλαγέντες οὐκ ἠρώτησαν τὴν αἰτίαν· οὕτως ἦσαν πεπαιδευμένοι τὴν τῶν μαθητῶν τάξιν διατηρεῖν, οὕτως αὐτὸν ἐδεδοίκεισαν καὶ ᾐδοῦντο. Εἰ γὰρ καὶ μηδέπω τὴν ἀξίαν περὶ αὐτοῦ δόξαν εἶχον, ἀλλ' ὅμως ὡς θαυμαστῷ τινι προσεῖχον καὶ πολλὴν αὐτῷ ἀπένεμον τὴν αἰδῶ.*

Καίτοι γε πολλαχοῦ φαίνονται πολλὰ παρρησιαζόμενοι· οἷον, ὅταν ὁ Ἰωάννης ἐπιπίπτῃ αὐτοῦ τῷ στήθει, ὅταν αὐτῷ προσιόντες λέγωσι, «Τίς μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;», ὅταν δὲ οἱ υἱοὶ Ζεβεδαίου παρακαλῶσιν, ἵνα εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων καθίσῃ. Τίνος οὖν ἕνεκεν ἐνταῦθα οὐκ ἠρώτησαν; Ὅτι ἐκεῖνα μὲν πάντα ὡς εἰς αὐτοὺς ἀνήκοντα ἀνάγκην εἶχον ἐξετάζειν· ἐνταῦθα δὲ οὐδὲν αὐτοῖς τοσοῦτον διέφερε τὸ γιγνόμενον.

Καὶ Ἰωάννης δὲ μετὰ πολὺν χρόνον τοῦτο ἐποίησε πρὸς αὐτῷ τῷ τέλει, ὅτε πλείονος ἀπήλαυσε παρρησίας, καὶ ἐθάρρει τῇ ἀγάπῃ τοῦ Χριστοῦ· «Οὗτος γὰρ ἦν», φησίν, «ὃν ἠγάπα ὁ Ἰησοῦς». Τί τούτου τοῦ μακαρισμοῦ γένοιτ' ἂν ἴσον; Ἀλλὰ μὴ μέχρι τούτου στῶμεν, ἀγαπητοί, τοῦ μακαρίζειν τὸν Ἀπόστολον, ἀλλ' ὥστε καὶ τῶν μακαριζομένων γενέσθαι, πάντα πράττωμεν καὶ μιμησώμεθα τὸν εὐαγγελιστὴν καὶ ἴδωμεν τίνα ἦν ἃ τὴν ἀγάπην ἐποίησε τὴν τοσαύτην. Τίνα οὖν ἦν ταῦτα; Ἀφῆκε πατέρα καὶ πλοῖον καὶ δίκτυον καὶ ἠκολούθησε τῷ Ἰησοῦ. Ἀλλὰ τοῦτο κοινὸν αὐτῷ καὶ πρὸς τὸν ἀδελφὸν ἦν καὶ πρὸς Πέτρον καὶ Ἀνδρέαν καὶ πρὸς τοὺς ἄλλους τῶν ἀποστόλων. Τί δὴ οὖν τὸ ἐξαίρετον ἦν, ὃ πολλὴν τὴν ἀγάπην ἐποίησεν;

---

9. Ματθ. 19, 1.
10. Μάρκου 10, 35-37.
11. Ἰω. 19, 26.

3. Διατί ὅμως ἠπόρουν; Διὰ τὴν προσήνειαν καὶ τὴν ὑπερβολικὴν ταπεινότητα, διότι, ἐνῷ ἦτο τόσον περίβλεπτος, ἠνείχετο νὰ συζητῇ μὲ τόσην ταπεινοφροσύνην μὲ πτωχὴν γυναῖκα καὶ μάλιστα Σαμαρεῖτιν. Καὶ ὅμως, παρ' ὅλον ὅτι ἐξεπλάγησαν, δὲν ἠρώτησαν τὴν αἰτίαν. Τόσον πειθαρχημένοι ἦσαν εἰς τὸ νὰ τηροῦν τὴν τάξιν τῶν μαθητῶν πάντοτε, τόσον τὸν ἐφοβοῦντο καὶ τὸν ἐσέβοντο. Διότι, ἐνῷ δὲν εἶχον ἀκόμη σχηματίσει ἀνταξίαν γνώμην περὶ αὐτοῦ, ὅμως τὸν ἐτίμων σὰν ἀξιοθαύμαστον ἄνθρωπον καὶ τοῦ ἀπέδιδαν μεγάλον σεβασμόν.

Καὶ ὅμως πολλὰς φορὰς φαίνονται θαρραλεώτεροι, ὅπως ὅταν ὁ 'Ιωάννης ἔπεσεν ἐπὶ τοῦ στήθους του, ὅταν προσερχόμενοι τὸν ἠρώτων· «Ποῖος θὰ εἶναι ἄρα γε ὁ μεγαλύτερος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[9], ὅταν τὰ παιδιὰ τοῦ Ζεβεδαίου τὸν παρεκάλουν νὰ καθίσουν ὁ ἕνας ἀπὸ τὰ δεξιά του καὶ ὁ ἄλλος ἀπὸ τὰ ἀριστερά του[10]. Διατί λοιπὸν εἰς τὴν προκειμένην περίπτωσιν δὲν τὸν ἠρώτησαν; Διότι τότε μὲν ἦτο ἀναγκαῖον νὰ ἐξετάσουν, ἐπειδὴ ἐπρόκειτο περὶ τῶν ἰδικῶν των πραγμάτων, τώρα ὅμως δὲν τοὺς ἐνδιέφερε τόσον πολὺ τὸ γεγονὸς αὐτό.

'Αλλὰ καὶ ὁ 'Ιωάννης μετὰ πάροδον πολλοῦ χρόνου ἔκαμε τὸ ἴδιο διὰ τὸν αὐτὸν σκοπόν, ὅταν ἀπήλαυσε μεγαλυτέρας πεποιθήσεως καὶ ὅταν ἀπέκτησε μεγαλυτέραν ἀγάπην ἀπὸ τὸν Χριστόν. «Διότι αὐτὸς ἦτο ὁ μαθητής, τὸν ὁποῖον ἠγάπα ὁ 'Ιησοῦς»[11]. Τί εἶναι ὅμοιον μὲ αὐτὸν τὸν μακαρισμόν; 'Αλλὰ ἂς μὴ σταθῶμεν, ἀγαπητοί, εἰς αὐτὸ τὸ σημεῖον, εἰς τὸ νὰ μακαρίζωμεν δηλαδὴ τὸν 'Απόστολον, καὶ ἂς ἰδοῦμεν ποῖα εἶναι ἐκεῖνα, τὰ ὁποῖα ἐπροκάλεσαν αὐτὴν τὴν ἀγάπην. Ποῖα λοιπὸν ἦσαν αὐτά; 'Εγκατέλειψε τὸν πατέρα του, τὸ πλοῖον του καὶ τὰ δίκτυα καὶ ἠκολούθησε τὸν 'Ιησοῦν. 'Αλλὰ τὸ ἴδιο εἶχε κάμει ὁ ἀδελφός του, ὁ Πέτρος, ὁ 'Ανδρέας καὶ οἱ ἄλλοι 'Απόστολοι. Ποῖο λοιπὸν ἦτο αὐτὸ τὸ ἐξαιρετικὸν τὸν ὁποῖον ἐπροκάλεσε τὴν μεγάλην ἀγάπην;

Αὐτὸς μὲν γὰρ περὶ ἑαυτοῦ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ἢ ὅτι ἠγαπᾶτο μόνον· τὰ δὲ κατορθώματα αὐτοῦ, δι' ἃ ἠγαπᾶτο, ἀπεσιώπησε μετριάζων. Ὅτι γὰρ αὐτὸν ἐξαίρετόν τινα ἀγάπην ἠγάπησε, παντί που δῆλον ἦν· ἀλλ' ὅμως οὐδὲ διαλεγόμενος, οὐδὲ ἐρωτῶν φαίνεται κατ' ἰδίαν αὐτόν, καθὼς Πέτρος πολλάκις, καθὼς Φίλιππος, καθὼς Ἰούδας καὶ Θωμᾶς· ἀλλ' ὅτε τῷ συναποστόλῳ χαρίσασθαι καὶ ὑπακοῦσαι ἠθέλησε, τότε μόνον. Ὅτε γὰρ ὁ κορυφαῖος αὐτὸν ἠνάγκασε τῶν ἀποστόλων νεύσας, τότε ἠρώτησε· πολλὴν γὰρ οὗτοι πρὸς ἀλλήλους εἶχον ἀγάπην. Οὕτω γοῦν καὶ ἐπὶ τὸ ἱερὸν ὁμοῦ φαίνονται ἀναβαίνοντες καὶ κοινῇ δημηγοροῦντες.

Καίτοι γε ὁ Πέτρος θερμότερον πολλαχοῦ καὶ κινεῖται καὶ φθέγγεται· καὶ πρὸς τῷ τέλει δὲ ἀκούει τοῦ Χριστοῦ λέγοντος· «Πέτρε, φιλεῖς με πλέον τούτων;». Ὁ δὲ πλέον τούτων ἀγαπῶν, εὔδηλον ὅτι καὶ ἠγαπᾶτο. Ἀλλὰ τοῦτο μὲν ἐκ τοῦ ἀγαπᾶν τὸν Ἰησοῦν, ἐκεῖνο δὲ ἐκ τοῦ ἀγαπᾶσθαι παρὰ τοῦ Ἰησοῦ δῆλον ἐγένετο. Τί οὖν ἐστιν, ὃ τὴν ἐξαίρετον ἀγάπην ἐποίησεν; Ἐμοὶ δοκεῖ πολλὴν τὸν ἄνδρα ἐπιείκειαν ἐπιδείκνυσθαι καὶ πραότητα· διόπερ οὐδὲ παρρησιαζόμενος πολλαχοῦ φαίνεται. Τοῦτο δὲ ἡλίκον ἐστὶν καὶ ἀπὸ τοῦ Μωϋσέως δῆλον. Καὶ γὰρ ἐκεῖνον τοσοῦτον καὶ τηλικοῦτον τοῦτο εἰργάσατο.

Οὐδὲν γὰρ ταπεινοφροσύνης ἴσον. Διὰ τοῦτο τῶν μακαρισμῶν ἐντεῦθεν ἤρξατο ὁ Χριστός. Ὥσπερ γάρ τινα θεμέλιον καὶ κρηπίδα μεγίστης οἰκοδομῆς καταβάλλεσθαι μέλλων, οὕτω τὴν ταπεινοφροσύνην πρώτην ἔθηκεν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ταύτης σωθῆναι χωρίς· ἀλλὰ κἂν νηστεύῃ τις κἂν εὔχηται κἂν ἐλεημοσύνην ποιῇ μετὰ ἀπονοίας, βδελυκτὰ πάντα, ταύτης μὴ παρούσης· ὥσπερ οὖν ποθεινὰ καὶ

12. Ἰω. 21, 15.
13. Ματθ. 5, 3.

Ὁ ἴδιος ὁ Ἰωάννης δὲν λέγει τίποτε ἄλλο περὶ αὐτοῦ, παρὰ μόνον ὅτι ἠγαπᾶτο ἀπὸ τὸν Χριστόν. Διότι εἶναι εἰς τὸν καθένα φανερόν, ὅτι τὸν ἠγάπα ἰδιαιτέρως. Ἀλλὰ πουθενὰ δὲν φαίνεται νὰ ὁμιλῇ κατ' ἰδίαν μαζί του οὔτε νὰ τὸν ἐρωτᾷ, ὅπως ἔκαμνε πολλὰς φορὰς μὲ τὸν Πέτρον, μὲ τὸν Ἰούδαν καὶ μὲ τὸν Θωμᾶν, ἀλλὰ μίαν μόνον φοράν, ὅταν ἠθέλησε νὰ εὐχαριστήσῃ καὶ νὰ ἀκούσῃ τὸν συναπόστολον. Διότι, ὅταν ὁ κορυφαῖος τῶν Ἀποστόλων τοῦ ἔνευσε, τότε ἠναγκάσθη νὰ ἐρωτήσῃ, διότι αὐτοὶ εἶχον μεγάλην ἀγάπην μεταξύ των. Δι' αὐτὸ καὶ εἰς τὸν ναὸν φαίνονται ν' ἀνεβαίνουν μαζὶ καὶ ἀπὸ κοινοῦ νὰ δημηγοροῦν.

Καὶ ὅμως ὁ Πέτρος πολλὰς φορὰς κινεῖται καὶ ὁμιλεῖ θερμότερον. Καὶ τέλος ἤκουσε τὸν Χριστὸν νὰ τὸν ἐρωτᾷ· «Πέτρε, μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς;»[12]. Ἐκεῖνος δὲ ποὺ τὸν ἠγάπα περισσότερον, εἶναι φανερὸν ὅτι καὶ ἠγαπᾶτο περισσότερον. Ἀλλ' ἦτο φανερόν, ὅτι ἄλλο ἦτο ἡ ἀγάπη πρὸς τὸν Ἰησοῦν καὶ ἄλλο τὸ ν' ἀγαπᾶται ἀπὸ τὸν Ἰησοῦν. Τί εἶναι λοιπὸν ἐκεῖνο, ποὺ ἐπροκάλεσε τὴν ἐξαιρετικὴν ἀγάπην πρὸς τὸν Ἰωάννην; Ἐγὼ νομίζω ὅτι οὗτος ἐδείκνυε μεγάλην ταπεινοφροσύνην καὶ πραότητα, δι' αὐτὸ καὶ πουθενὰ δὲν φαίνεται νὰ ἐνεργῇ μὲ θάρρος. Πόσον δὲ μεγάλο εἶναι τοῦτο, φαίνεται καὶ ἀπὸ τὸν Μωϋσῆν. Διότι καὶ ἐκεῖνος κατὰ τὸν ἴδιον ἐνήργει τρόπον.

Πράγματι, δὲν ὑπάρχει τίποτε ὅμοιον μὲ τὴν ταπεινοφροσύνην. Δι' αὐτὸ ὁ Χριστὸς ἤρχισε τοὺς μακαρισμοὺς ἀπὸ αὐτὴν τὴν ἀρετήν[13]. Διότι ὅπως ἀκριβῶς προκειμένου νὰ οἰκοδομήσῃ μεγίστην οἰκοδομὴν τοποθετεῖ τὸν θεμέλιον λίθον καὶ τὸ κρηπίδωμα, ἔτσι καὶ ὁ Χριστὸς ἐτοποθέτησε πρώτην τὴν ταπεινοφροσύνην. Διότι δὲν εἶναι δυνατόν, εἶναι ἀδύνατον νὰ σωθῶμεν χωρὶς αὐτήν. Ἀλλὰ καὶ ἂν νηστεύῃ κανεὶς καὶ ἂν προσεύχεται καὶ ἂν κάμνῃ ἐλεημοσύνας μὲ ἐπίδειξιν, ὅλα αὐτὰ εἶναι ἀξιοκαταφρόνητα, ὅταν ἀπουσιάζῃ ἡ ταπεινοφροσύνη, ὅπως ἀκριβῶς εἶναι εὐκταῖα καὶ ἀξιαγάπητα, καὶ μὲ ἀσφάλειαν ἀσκοῦνται, ὅταν αὐτὴ

ἐπέρασια παρούσης καὶ μετὰ ἀσφαλείας πάντα γίνεται.

Μετριάζωμεν τοίνυν, ἀγαπητοί, μετριάζωμεν. Καὶ γὰρ σφόδρα ῥάδιον τὸ κατόρθωμα, ἐὰν νήφωμεν. Τί γὰρ ὅλως ἐστὶ τὸ πρὸς ἀπόνοιάν σε ἐπαῖρον, ἄνθρωπε; Οὐχ ὁρᾷς τὸ τῆς φύσεως εὐτελές; τῆς προαιρέσεως τὸ εὐόλισθον; Ἐννόησον σαυτοῦ τὴν τελευτήν· ἐννόησον τῶν ἁμαρτημάτων τὸ πλῆθος. Ἀλλ' ἴσως πολλὰ κατορθῶν μέγα φρονεῖς; Αὐτῷ μὲν οὖν τούτῳ πάντα ἀπολεῖς. Διόπερ οὐχ οὕτω τὸν ἁμαρτάνοντα, ὡς τὸν κατορθοῦντα σπουδάζειν χρὴ μετριάζειν. Τί δήποτε; Ὅτι ὁ μὲν ἔχει τὴν ἀνάγκην τοῦ συνειδότος· ὁ δὲ ἂν μὴ σφόδρα νήφῃ, ταχέως, ὥσπερ ὑπό τινος πνεύματος ἀναρριπισθείς, αἴρεταί τε καὶ ἀφανίζεται καθάπερ ὁ Φαρισαῖος.

Ἀλλὰ πένησι παρέχεις; Ἀλλ' οὐ τὰ σά, ἀλλὰ τὰ τοῦ Δεσπότου, τὰ κοινὰ τῶν ὁμοδούλων. Καὶ διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι χρή, ἐν ταῖς τῶν ὁμογενῶν συμφοραῖς τὰ ἑαυτοῦ προορῶντα, καὶ τὴν οἰκείαν φύσιν ἐν ἐκείνοις μανθάνοντα. Ἴσως καὶ ἡμεῖς τοιούτων ἦμεν προγόνων. Εἰ δὲ μετέστη πρὸς ἡμᾶς ὁ πλοῦτος, ἀλλ' εἰκὸς αὐτὸν καὶ καταλιπεῖν πάλιν ἡμᾶς. Τί δὲ ὅλως καὶ ὁ πλοῦτός ἐστιν; Σκιὰ ἀδρανής, καπνὸς διαλυόμενος, ἄνθος χόρτου, μᾶλλον δὲ καὶ ἄνθους εὐτελέστερος. Τί οὖν ἐπὶ χόρτῳ μέγα φρονεῖς; Οὐχὶ καὶ λῃσταῖς παραγίνεται πλοῦτος καὶ μαλακοῖς καὶ πόρναις καὶ τυμβωρύχοις; Τοῦτο οὖν σε ἐπαίρει, ὅτι τοιούτους ἔχεις κοινωνοὺς τοῦ κτήματος;

Ἀλλὰ τιμῆς ἐρᾷς; Ἀλλ' οὐδὲν εἰς τιμὴν λόγον ἐλεημοσύνης ἐπιτηδειότερον. Ἐκεῖναι μὲν γὰρ κατηναγκασμέναι εἰσὶ καὶ μετὰ μίσους, αἱ τιμαὶ αἱ τοῦ πλούτου καὶ τῆς δυναστείας, αὗται δὲ ἐκ προαιρέσεως καὶ ἀπὸ συνειδότος

εἶναι παροῦσα.

Ἂς εἴμεθα μετριόφρονες, ἀγαπητοί, ἂς εἴμεθα μετριόφρονες. Διότι ἡ ἀρετὴ αὐτὴ εἶναι πολὺ εὔκολη, ἂν εἴμεθα νηφάλιοι. Διότι, τί εἶναι ἐκεῖνο, ἄνθρωπε, ποὺ σὲ ὁδηγεῖ εἰς τὴν ὑπερηφάνειαν; Δὲν βλέπεις τὴν μηδαμινότητα τῆς φύσεως, τὴν ἐπιθυμίαν ποὺ εἶναι ἕτοιμη εἰς τὸ ὀλίσθημα; Σκέψου τὸν θάνατόν σου. Σκέψου τὸ πλῆθος τῶν ἁμαρτημάτων σου. Ἀλλ' ἴσως μεγαλοφρονεῖς, ἐπειδὴ ἠμπορεῖς νὰ κατορθώσῃς πολλά; Ἕνεκα ὅμως αὐτοῦ τοῦ λόγου θὰ χάσῃς τὰ πάντα. Ἕνεκα τούτου ὄχι τόσον ὁ ἁμαρτωλός, ὅσον ὁ ἐπιδιώκων τὴν ἀρετὴν πρέπει νὰ μετριοφρονῇ. Διατί; Διότι ὁ μὲν ἕνας σκέπτεται τοῦτο ἐκ συνειδήσεως, ὁ δὲ ἄλλος, ἂν δὲν εἶναι πολὺ νήφάλιος ταχέως σὰν νὰ ἔχῃ ἁρπαγῇ ἀπὸ κάποιον ἄνεμον χάνεται καὶ ἐξαφανίζεται, ὅπως ἐκεῖνος ὁ Φαρισαῖος.

Ἀλλὰ δίδεις εἰς τοὺς πτωχούς; Δὲν εἶναι ὅμως ἰδικά σου, ἀλλὰ τοῦ Κυρίου καὶ κοινὰ εἰς τοὺς ὁμοδούλους. Καὶ δι' αὐτὸ μάλιστα πρέπει νὰ εἶσαι ταπεινός, ὅταν εἰς τὰς συμφορὰς τῶν συνανθρώπων σου προβλέπεις τὰς ἰδικάς σου καὶ ὅταν διδάσκεσαι ἀπὸ ἐκείνας τὴν ἰδικήν σου φύσιν. Ἴσως καὶ ἡμεῖς νὰ καταγώμεθα ἀπὸ τοιούτους προγόνους. Ἐὰν δὲ τὰ πλούτη μετεφέρθησαν πρὸς ἡμᾶς, φυσικὸν εἶναι πάλιν νὰ μᾶς ἐγκαταλείψουν. Καὶ τί εἶναι τὰ πλούτη; Σκιὰ ἀδρανής, καπνὸς ποὺ διαλύεται, ἄνθος χόρτου μᾶλλον δὲ καὶ εὐτελέστερα ἀπὸ τὰ ἄνθη. Διατί λοιπὸν ὑπερηφανεύεσαι διὰ τὸ χόρτον; Μήπως τὰ πλούτη δὲν πηγαίνουν καὶ εἰς λῃστὰς καὶ εἰς τοὺς διεφθαρμένους καὶ εἰς τὰς πόρνας καὶ εἰς τοὺς τυμβωρύχους; Ὑπερηφανεύεσαι λοιπόν, διότι ἔχεις τέτοιους κοινοὺς συνιδιοκτήτας;

Ἀλλ' ἐπιθυμεῖς τὰς τιμάς; Ἀλλὰ δὲν ὑπάρχει τίποτε καταλληλότερον διὰ τὴν τιμὴν ἀπὸ τὴν ἐλεημοσύνην. Διότι αἱ τιμαὶ ποὺ προέρχονται ἀπὸ τὰ πλούτη καὶ τὴν δύναμιν εἶναι ἀναγκαστικαὶ καὶ μισηταί, ἀλλ' αὐταὶ προέρχονται ἀπὸ τὴν καλὴν θέλησιν καὶ ἀπὸ τὴν συνείδησιν τῶν τιμών-

τῶν τιμώντων. Διόπερ οὐδὲ ἐκβάλλειν αὐτὰς δύνανταί ποτε οἱ τιμῶντες. Εἰ δὲ ἄνθρωποι τοσαύτην τῆς ἐλεημοσύνης ἀπονέμουσι τὴν αἰδὼ καὶ πάντα αὐτοῖς συνεύχονται τὰ ἀγαθά, ἐννόησον πηλίκην παρὰ τοῦ φιλανθρώπου Θεοῦ λήψονται τὴν ἀντίδοσιν, οἵαν τὴν ἀμοιβήν. Τοῦτον τοίνυν ζητῶμεν τὸν πλοῦτον, τὸν ἀεὶ μένοντα καὶ μηδέποτε δραπετεύοντα· ἵνα καὶ ἐνταῦθα μεγάλοι καὶ ἐκεῖ γενόμενοι λαμπροί, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

των. Δι' αὐτὸ ἀκριβῶς οἱ τιμῶντες δὲν ἠμποροῦν νὰ τὰς ἀποβάλλουν ποτέ. Ἐὰν δὲ οἱ ἄνθρωποι ἀπονέμουν τόσον σεβασμὸν εἰς τὴν ἐλεημοσύνην καὶ εὔχονται μετ' αὐτῆς ὅλα τὰ ἀγαθά, σκέψου πόσην ἀνταμοιβὴν θὰ λάβουν ἀπὸ τὸν φιλάνθρωπον Θεόν, ποίαν ἀμοιβήν. Ἄς ζητοῦμεν λοιπὸν αὐτὸν τὸν πλοῦτον ποὺ μένει καὶ δὲν δραπετεύει ποτέ, ἵνα, ἀφοῦ γίνωμεν καὶ ἐδῶ μεγάλοι καὶ ἐκεῖ λαμπροί, ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΔ΄.

'Ιω. 4,28 - 39

«'Αφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀνθρώποις· 'Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός;'».

1. Πολλῆς ἡμῖν θερμότητος δεῖ καὶ σπουδῆς διεγηγερμένης· ταύτης γὰρ ἄνευ οὐκ ἔνεστι τυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. Καὶ τοῦτο δεικνὺς ὁ Χριστός φησι, νῦν μέν· «'Εὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος»· νῦν δέ· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη;», δι' ἀμφοτέρων τούτων τὸν διακαῆ καὶ πεπυρωμένον μαθητὴν καὶ πρὸς πάντα κίνδυνον παρεσκευασμένον ἡμῖν παραστῆσαι βουλόμενος.

Τοιαύτη τις ἦν καὶ αὕτη ἡ γυνή. Οὕτω γὰρ ὑπὸ τῶν εἰρημένων ἀνήφθη, ὡς καὶ τὴν ὑδρίαν ἀφεῖναι καὶ τὴν χρείαν δι' ἣν παρεγένετο καὶ δραμοῦσαν εἰς τὴν πόλιν, πάντα τὸν δῆμον ἑλκύσαι πρὸς τὸν 'Ιησοῦν. «Δεῦτε γάρ», φησί, «καὶ ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα». Σκόπει σπουδὴν καὶ σύνεσιν· ἦλθεν ὑδρεύσασθαι· καὶ ἐπειδὴ τῆς ἀληθινῆς πηγῆς ἐπέτυχε, κατεφρόνησε λοιπὸν τῆς αἰσθητῆς, διδάσκουσα ἡμᾶς, εἰ καὶ διὰ μικροῦ παραδείγματος, ἀλλ' ὅμως ἐν τῇ τῶν πνευματικῶν ἀκροάσει πάντων ὑπερορᾶν τῶν βιωτικῶν καὶ μηδένα λόγον αὐτῶν ποιεῖσθαι.

Κατὰ γὰρ τὴν ἰδίαν δύναμιν, ὅπερ οἱ ἀπόστολοι ἐποίησαν καὶ αὕτη πεποίηκε μειζόνως. 'Εκεῖνοι μὲν γὰρ οἱ κληθέντες ἀφῆκαν τὰ δίκτυα· αὕτη δὲ αὐτομάτως, οὐδενὸς πα-

1. 'Ιω. 4, 28-30.
2. Ματθ. 10, 38.
3. Λουκᾶ 12, 40.

ΟΜΙΛΙΑ ΛΔ΄.

Ἰω. 4,28 - 39

«Ἄφησε λοιπὸν τὴν ὑδρίαν της ἡ γυναῖκα καὶ ἐπῆγεν εἰς τὴν πόλιν καὶ εἶπεν εἰς τοὺς ἀνθρώπους· Ἐλᾶτε νὰ ἰδῆτε ἕναν ἄνθρωπον, ποὺ μοῦ εἶπεν ὅλα, ὅσα ἔκαμα. Μήπως εἶναι αὐτὸς ὁ Χριστός;»[1].

1. Ἔχομεν ἀνάγκην μεγάλου ἐνθουσιασμοῦ καὶ διακαοῦς ζήλου, διότι ἄλλως δὲν εἶναι δυνατὸν νὰ ἐπιτύχωμεν τὰ ὑπεσχημένα εἰς ἡμᾶς ἀγαθά. Αὐτὸ θέλει νὰ ἐπισημάνῃ ὁ Χριστός, ὅταν λέγῃ ἄλλοτε μέν· «Ἐὰν δὲν πάρῃ κανεὶς τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθήσῃ, δὲν μοῦ εἶναι ἄξιος»[2], ἄλλοτε δέ· «Πῦρ ἦλθα νὰ βάλω εἰς τὴν γῆν καὶ πῶς θὰ ἤθελα νὰ εἶχεν ἤδη ἀνάψει»[3]. Μὲ τοὺς δύο αὐτοὺς λόγους του θέλει νὰ μᾶς παρουσιάσῃ, πόσον θερμὸς καὶ γεμᾶτος ἀπὸ ζῆλον καὶ ἕτοιμος διὰ κάθε κίνδυνον πρέπει νὰ εἶναι ὁ μαθητής.

Τέτοια ἦτο καὶ αὐτὴ ἡ γυναῖκα. Διότι τόσον διακαὴς ἐνθουσιασμὸς τὴν κατέλαβεν, ὥστε καὶ τὴν ὑδρίαν ν' ἀφήσῃ καὶ τὴν ἀνάγκην διὰ τὴν ὁποίαν εἶχε μεταβῆ ἐκεῖ καὶ ἀφοῦ ἔτρεξεν εἰς τὴν πόλιν νὰ προσελκύσῃ πρὸς τὸν Ἰησοῦν ὅλον τὸν λαόν, λέγουσα· «Ἐλᾶτε νὰ ἰδῆτε ἕναν ἄνθρωπον, ποὺ μοῦ εἶπεν ὅλα, ὅσα ἔχω κάμει». Πρόσεξε τὴν προθυμίαν της καὶ τὴν σύνεσίν της. Ἐπῆγε διὰ νὰ πάρῃ ὕδωρ καὶ ἐπειδὴ ἐπέτυχε τὴν ἀληθινὴν πηγήν, περιεφρόνησε πλέον τὴν ὑλικήν, διδάσκουσα ἡμᾶς, ἂν καὶ μὲ μικρὸν παράδειγμα, ὅτι πρέπει, ὅταν ἀκούωμεν νὰ γίνεται λόγος διὰ τὰ πνευματικά, νὰ περιφρονῶμεν ὅλα τὰ βιωτικὰ καὶ καθόλου νὰ μὴ τὰ λογαριάζωμεν.

Διότι καὶ αὐτή, ἀναλόγως μὲ τὴν δύναμίν της ἔκαμε τὸ ἴδιο ποὺ εἶχαν κάμει οἱ Ἀπόστολοι καὶ μάλιστα μὲ μεγαλύτερον ἐνθουσιασμόν. Διότι οἱ μὲν Ἀπόστολοι ἄφησαν τὰ δίκτυα, ἐπειδὴ προσεκλήθησαν. Αὐτὴ ὅμως ἑκουσίως καὶ χωρὶς νὰ τὴν διατάξῃ κανείς, ἀφήνει τὴν ὑδρίαν καὶ

ραγγείλαντος, ἀφίησι τὴν ὑδρίαν καὶ εὐαγγελιστῶν ἔργον ποιεῖ ὑπὸ τῆς χαρᾶς ἀναπτερωθεῖσα. Καὶ οὐχ ἕνα καλεῖ καὶ δεύτερον, καθάπερ Ἀνδρέας καὶ Φίλιππος, ἀλλὰ πόλιν ὁλόκληρον ἀναστήσασα καὶ δῆμον τοσοῦτον, οὕτω πρὸς αὐτὸν ἤγαγε. Καὶ σκόπει πῶς συνετῶς λέγει. 'Δεῦτε, ἴδετε τὸν Χριστόν', ἀλλὰ καὶ αὐτὴ μετὰ συγκαταβάσεως, μεθ' ἧς καὶ ὁ Χριστὸς αὐτὴν ἐσαγήνευσεν, ἐπισπᾶται τοὺς ἄνδρας. «Δεῦτε γάρ, ἴδετε ἄνθρωπον», φησίν, «ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα». Καὶ οὐκ ᾐσχύνθη εἰπεῖν, ὅτι «Εἶπέ μοι πάντα ὅσα ἐποίησα». Καίτοι γε ἐνῆν εἰπεῖν ἑτέρως· Δεῦτε, ἴδετε προφητεύοντα· ἀλλ' ὅταν πυρωθῇ ψυχὴ τῷ πυρὶ τῷ θείῳ, πρὸς οὐδὲν τῶν ἐν τῇ γῇ λοιπὸν ὁρᾷ, οὐ πρὸς δόξαν, οὐ πρὸς αἰσχύνην, ἀλλ' ἑνός ἐστι μόνου, τῆς κατεχούσης αὐτὴν φλογός.

«Μήτι οὗτός ἐστιν ὁ Χριστός;». Ὅρα πάλιν σοφίαν πολλὴν γυναικός. Οὔτε ἀπεφήνατο σαφῶς, οὔτε ἐσίγησεν. Ἐβούλετο γὰρ οὐκ ἐκ τῆς οἰκείας ἀποφάσεως εἰσάγειν αὐτούς, ἀλλ' ἐκ τῆς ἀκροάσεως τῆς ἐκείνου τῆς ψήφου ταύτης ποιῆσαι κοινωνούς· ὃ μᾶλλον εὐπαράδεκτον ἐποίει τὸν λόγον. Καίτοι οὐ πάντα αὐτῆς τὸν βίον ἐξήγγειλεν, ἀλλὰ ἀπὸ τῶν εἰρημένων καὶ περὶ τῶν ἄλλων ἐπέπειστο. Καὶ οὐκ εἶπε, Δεῦτε, πιστεύσατε, ἀλλά, «Δεῦτε, ἴδετε», ὃ τούτων κουφότερον ἦν, καὶ μᾶλλον αὐτοὺς ἐφείλκετο.

Εἶδες τῆς γυναικὸς τὴν σοφίαν; Ἤδει γάρ, ᾔδει σαφῶς, ὅτι γευσάμενοι μόνον τῆς πηγῆς ἐκείνης, τὰ αὐτὰ πείσονται ἅπερ καὶ αὐτή. Καίτοι γε εἴ τις τῶν ἄλλων ἦν τῶν παχυτέρων, καὶ συνεσκίασεν ἂν τὸν ἔλεγχον· αὕτη δὲ ἐκπομπεύει τὸν ἑαυτῆς βίον καὶ εἰς μέσον προτίθησιν, ὥστε πάντας ἐπισπάσασθαι καὶ ἑλεῖν.

«Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέ-

ἀναλαμβάνει ἀποστολικὸν ἔργον, ἐπειδὴ ἡ χαρὰ τῆς ἔδωσε πτερά. Καὶ δὲν προσκαλεῖ ἕνα καὶ δύο, ὅπως ὁ Ἀνδρέας καὶ ὁ Φίλιππος, ἀλλ' ἀφοῦ ἀνεστάτωσε τὴν πόλιν καὶ ὅλον τὸν λαόν, τὸν ἔφερεν εἰς τὸν Χριστόν. Καὶ πρόσεχε μὲ πόσην σύνεσιν ὁμιλεῖ. Διότι δὲν εἶπεν, Ἐλᾶτε νὰ ἰδῆτε τὸν Χριστόν, ἀλλὰ προσελκύει τοὺς ἄνδρας τῆς πόλεως μὲ τὴν ἰδίαν συγκαταβατικότητα, μὲ τὴν ὁποίαν προσείλκυσεν αὐτὴν ὁ Χριστός. Διότι εἶπεν· «Ἐλᾶτε νὰ ἰδῆτε ἕναν ἄνθρωπον, ὁ ὁποῖος μοῦ εἶπεν ὅλα ὅσα ἔχω κάμει». Καὶ δὲν ἐντράπηκε νὰ εἰπῇ· «Μοῦ εἶπε ὅλα ὅσα ἔχω κάμει». Καὶ ὅμως ἠμποροῦσε νὰ ὁμιλήσῃ κατ' ἄλλον τρόπον· Ἐλᾶτε νὰ ἰδῆτε τὸν Προφήτην. Ἀλλ' ὅταν θερμανθῇ ἡ ψυχὴ μὲ τὸ θεῖον πῦρ, δὲν βλέπει τίποτε ἀπὸ τὰ γήϊνα, οὔτε δόξαν οὔτε ἐντροπήν.

«Μήπως αὐτὸς εἶναι ὁ Χριστός»; Βλέπεις πάλιν τὴν μεγάλην σοφίαν τῆς γυναικός; Διότι καθαρὰ ὡμίλησεν, οὔτε ἐσιώπησε. Διότι δὲν ἤθελε νὰ τοὺς παρασύρῃ μὲ τὴν ἰδικήν της γνώμην, ἀλλ' ἀφοῦ ἀκούσουν τὸν Χριστόν, νὰ γίνουν κοινωνοὶ μὲ ἰδικήν τους ἀπόφασιν. Αὐτὸ ἔκαμνε τὸν λόγον της περισσότερον εὐπρόσδεκτον. Καὶ ὅμως δὲν ἀπεκάλυψεν εἰς τὸν Χριστὸν ὁλόκληρον τὸν βίον της, ἀλλ' εἶχε πεισθεῖ ὅτι οὗτος ἐγνώριζε τὰ ὑπόλοιπα ἀπὸ ὅσα αὐτὸς εἶχεν εἰπεῖ. Καὶ δὲν εἶπεν· Ἐλᾶτε, πιστεύσατε, ἀλλὰ «Ἐλᾶτε νὰ ἰδῆτε», τὸ ὁποῖον ἦτο ἐλαφρότερον καὶ τοὺς προσείλκυε περισσότερον.

Εἶδες τὴν σοφίαν τῆς γυναικός; Διότι ἤξευρε καὶ ἤξευρε καλά, ὅτι, ἐὰν ἐδοκίμαζαν μόνον ἀπὸ ἐκείνην τὴν πηγὴν θὰ συνέβαινε καὶ εἰς αὐτοὺς ὅ,τι εἶχε συμβῇ καὶ εἰς ἐκείνην. Καὶ ὅμως, ἂν ἦτο κάποια ἄλλη μὲ μεγαλυτέραν ἀναισθησίαν, θ' ἄφηνεν εἰς τὸ σκότος τὸ παράπτωμά της. Αὐτὴ ὅμως ἀποκαλύπτει ὅλον τὸν βίον της καὶ τὸν φέρει εἰς τὸ μέσον ὥστε νὰ τοὺς προσελκύσῃ καὶ νὰ τοὺς αἰχμαλωτήσῃ ὅλους.

«Ἐν τῷ μεταξὺ τὸν παρεκάλουν οἱ μαθηταί του λέγον-

γοντες· Ραββί, φάγε». Τὸ «Ἠρώτων», ἐνταῦθα Παρεκάλουν ἐστί, τῇ ἐγχωρίῳ αὐτῶν φωνῇ. Ὁρῶντες γὰρ αὐτὸν κεκμηκότα ἀπὸ τῆς ὁδοιπορίας καὶ τῆς ἐπικειμένης φλογός, παρεκάλουν αὐτόν. Οὐ γὰρ ἦν προπετείας τὸ δεῖσθαι ὑπὲρ σιτίων, ἀλλὰ φιλοστοργίας τῆς περὶ τὸν διδάσκαλον. Τί οὖν ὁ Χριστός; «Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. Ἔλεγον οὖν πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;».

Τί τοίνυν θαυμάζεις εἰ ἡ γυνή, ὕδωρ ἀκούσασα, ἔτι ὕδωρ ἐφαντάζετο, ὅπου γε καὶ οἱ μαθηταὶ ἔτι ταῦτα πάσχουσι καὶ οὐδὲν οὔπω πνευματικὸν νοοῦσιν, ἀλλὰ ἀποροῦσι μέν, πάλιν δὲ τὴν αἰδὼ τὴν συνήθη καὶ τὴν τιμὴν τῷ διδασκάλῳ νέμουσι, πρὸς ἀλλήλους μὲν διαλεγόμενοι, αὐτῷ δὲ πεῦσιν οὐ τολμῶντες προσαγαγεῖν; Τοῦτο καὶ ἀλλαχοῦ ποιοῦσιν, ἐπιθυμοῦντες μὲν ἐρωτῆσαι, οὐκ ἐρωτῶντες δέ. Τί οὖν ὁ Χριστός; «Ἐμὸν βρῶμά ἐστι», φησίν, «ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον». Τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐνταῦθα βρῶσιν ἐκάλεσε, δεικνὺς ὅσην ἐπιθυμίαν ἔχει τῆς ἡμετέρας προνοίας. Ὥσπερ γὰρ ἡμῖν ποθεινὸν τὸ ἐσθίειν, οὕτως αὐτῷ τὸ σωθῆναι ἡμᾶς.

Ἄκουε δὲ πῶς πανταχοῦ οὐκ ἐκ τοῦ προχείρου πάντα ἀποκαλύπτει, ἀλλὰ πρῶτον εἰς ἀπορίαν ἐμβάλλει τὸν ἀκροατήν, ἵνα ἀρξάμενος ζητεῖν τί τὸ λεγόμενον, εἶτα ἀπορῶν καὶ κάμνων, μετὰ πλείονος ἀποδέξηται προθυμίας φανὲν τὸ ζητούμενον, καὶ μᾶλλον διαναστῇ πρὸς τὴν ἀκρόασιν. Διατί γὰρ μὴ εὐθέως εἶπε, «Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ Πατρός μου»; καίτοι οὐδὲ τοῦτο σαφὲς ἦν, ἀλλὰ τοῦ προτέρου σαφέστερον· ἀλλὰ τί; «Ἐγώ», φησί, «βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε». Πρότερον γὰρ αὐτούς, ὅπερ ἔφην, τῇ διαπορήσει προσεκτικωτέρους ἐργάσασθαι βούλεται, καὶ ἐθίσαι καὶ διὰ τοιούτων αἰνιγμάτων

τες. Διδάσκαλε, φάγε». Τὸ «ἠρώτων» ἐδῶ σημαίνει παρεκάλουν, κατὰ τὴν τοπικήν των διάλεκτον. Τὸν παρεκάλουν νὰ φάγῃ, ἐπειδὴ τὸν ἔβλεπαν κουρασμένον ἀπὸ τὴν ὁδοιπορίαν καὶ ἀπὸ τὸν καύσωνα. Τὸ ὅτι τὸν παρεκάλουν νὰ φάγη, δὲν ἦτο ἔνδειξις αὐθαδείας, ἀλλὰ φιλοστοργίας διὰ τὸν διδάσκαλον. Τί ἀπήντησεν ὁ Χριστός; «Ἐγὼ ἔχω φαγητὸν νὰ φάγω, τὸ ὁποῖον σεῖς δὲν ξεύρετε. Ἔλεγαν τότε οἱ μαθηταὶ μεταξύ των· «Μήπως τοῦ ἔφερε κανεὶς νὰ φάγῃ;».

Διατί λοιπὸν ἀπορεῖς, ποὺ ὅταν ἡ γυναίκα ἤκουσεν ὕδωρ, εἶχεν ἀκόμη εἰς τὸν νοῦν της ὕδωρ, ἀφοῦ καὶ οἱ μαθηταὶ ἀκόμη ἔπαθαν τὰ ἴδια καὶ δὲν ἐννοοῦν ἀκόμη τίποτε τὸ πνευματικόν, ἀλλ' ἀποροῦν μέν, ὅμως ἀποδίδουν εἰς τὸν διδάσκαλον τὴν ὀφειλομένην τιμὴν καὶ τὸν σεβασμόν, ἀλλὰ δὲν τολμοῦν νὰ τὸν ἐρωτήσουν; Τὸ ἴδιο ἔχουν κάμει καὶ ἄλλας φοράς, ἐπιθυμοῦν δηλαδὴ νὰ τὸν ἐρωτήσουν, ἀλλὰ δὲν τὸν ἐρωτοῦν. Τί ἀπήντησε λοιπὸν ὁ Χριστός; «Τὸ ἰδικόν μου φαγητὸν εἶναι νὰ κάμω τὸ θέλημα αὐτοῦ ποὺ μὲ ἔστειλε καὶ νὰ τελειώσω τὸ ἔργον του». Τὴν σωτηρίαν τῶν ἀνθρώπων ὠνόμασεν ἐδῶ φαγητόν, ἀποδεικνύων πόσην προθυμίαν ἔχει νὰ προβλέπῃ δι' ἡμᾶς. Διότι, ὅπως ἀκριβῶς φροντίζει διὰ τὴν τροφήν μας, ἔτσι φροντίζει καὶ διὰ τὴν σωτηρίαν μας.

Ἄκουε λοιπόν, μὲ ποῖον τρόπον ἀποκαλύπτει τὰ πάντα ὄχι ἀμέσως, ἀλλὰ πρῶτα προκαλεῖ εἰς τὸν ἀκροατὴν ἀπορίαν, διὰ ν' ἀρχίσῃ νὰ ἐρευνᾷ, τί σημαίνει αὐτὸ ποὺ λέγεται, ἔπειτα, ὅταν ἀρχίσῃ ν' ἀμφιβάλῃ καὶ νὰ κουράζεται, διὰ νὰ δεχθῇ μὲ μεγαλυτέραν προθυμίαν τὴν ἐξήγησιν αὐτοῦ ποὺ ἐρευνᾷ καὶ διὰ νὰ ἐντείνῃ περισσότερον τὴν προσοχήν του. Διατί λοιπὸν δὲν εἶπεν ἀμέσως «Ἰδικόν μου φαγητὸν εἶναι νὰ κάμω τὸ θέλημα τοῦ Πατρός μου», μολονότι καὶ αὐτὸ δὲν θὰ ἦτο σαφές, ἀλλ' ὁπωσδήποτε σαφέστερον ἀπὸ ἐκεῖνο ποὺ εἶπε προηγουμένως. Διότι ὅπως εἶπα, ἤθελε νὰ τοὺς κάμῃ προσεκτικωτέρους διὰ τῆς ἀπορίας καὶ νὰ τοὺς συνηθίσῃ ν' ἀκούουν τὰ λόγια του διὰ τοιούτων αἰνιγμά-

ἀκούειν τὰ λεγόμενα. Τί δέ ἐστι τὸ θέλημα τοῦ Πατρός; Λέγει λοιπὸν αὐτὸ καὶ ἑρμηνεύει· «Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνόν ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν».

2. Ἰδοὺ πάλιν τοῖς συντρόφοις ὀνόμασιν ἀνάγει πρὸς τὴν τῶν μεγίστων θεωρίαν αὐτούς. Καὶ γὰρ «Βρῶμα» εἰπών, οὐδὲν ἕτερον ἐδήλωσεν, ἢ τὴν τῶν μελλόντων παραγίνεσθαι σωτηρίαν ἀνθρώπων· καὶ ἡ χώρα δὲ καὶ ὁ θερισμὸς τὸ αὐτὸ δηλοῖ, τὸ πλῆθος τῶν ψυχῶν τῶν ἑτοίμων πρὸς τὴν ὑποδοχὴν τοῦ κηρύγματος. Ὀφθαλμοὺς δὲ ἐνταῦθα λέγει, καὶ τοὺς τῆς διανοίας, καὶ τοὺς τοῦ σώματος· καὶ γὰρ ἑώρων λοιπὸν τὸ πλῆθος ἐρχόμενον τῶν Σαμαρειτῶν τὴν δὲ τῆς προαιρέσεως αὐτῶν ἑτοιμότητα, τὰς χώρας τὰς λευκαινομένας φησίν. Ὥσπερ γὰρ οἱ ἀστάχυες ἐπειδὰν λευκανθῶσι πρὸς ἄμητόν εἰσιν ἕτοιμοι· οὕτω καὶ οὗτοι νῦν, φησί, πρὸς σωτηρίαν εἰσὶ παρεσκευασμένοι καὶ εὐτρεπεῖς.

Καὶ διατί μὴ εἶπε σαφῶς, ὅτι ἔρχονται πιστεῦσαι οἱ ἄνθρωποι καὶ ἕτοιμοί εἰσι πρὸς ἀποδοχὴν τοῦ λόγου, κατηχηθέντες μὲν παρὰ τῶν προφητῶν καὶ τὸν καρπὸν λοιπὸν ἀποδιδόντες, ἀλλὰ χώραν καὶ θερισμὸν ἐκάλεσε; τί βούλονται αὐτῷ αὗται αἱ τροπαί; Οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν παντὶ τῷ Εὐαγγελίῳ τοῦτο ποιεῖ· καὶ οἱ προφῆται δὲ τῷ αὐτῷ κέχρηνται τρόπῳ, μεταφορικῶς πολλὰ λέγοντες. Τί δήποτ' οὖν τὸ αἴτιον; οὐ γὰρ ἁπλῶς ταῦτα τοῦ Πνεύματος ἡ χάρις ἐνομοθέτησεν· ἀλλὰ τίνος ἕνεκεν, καὶ διατί; Δυοῖν ἕνεκεν προφάσεων· μιᾶς μέν, ὥστε ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ μᾶλλον ὑπ' ὄψιν ἄγειν τὰ λεγόμενα. Ἡ γὰρ διάνοια, τῆς συντρόφου τῶν πραγμάτων εἰκόνος ἐπιλαβομένη, διανίσταται μᾶλλον, καὶ ὥσπερ ἐν γραφῇ τὰ πράγματα ὁρῶσα, κατέχεται μειζόνως.

των. Ποῖο εἶναι τὸ θέλημα τοῦ Πατρός του; Τὸ λέγει καὶ τὸ ἑρμηνεύει· «Σεῖς δὲν λέγετε, Τέσσαρας μῆνας ἀκόμη καὶ ὁ θερισμὸς ἔρχεται; Σᾶς λέγω λοιπόν, σηκώσετε τοὺς ὀφθαλμούς σας καὶ κοιτάξετε τὰ χωράφια, ὅτι εἶναι λευκά, ἕτοιμα πρὸς θερισμόν».

2. Νὰ πάλιν, μὲ τὰ λόγια ποὺ τοῦ ἦσαν οἰκεῖα, ἀνυψώνει αὐτοὺς εἰς τὴν θεώρησιν τῶν ὑψίστων πραγμάτων. Διότι μὲ τὴν λέξιν «βρῶμα» δὲν σημαίνει τίποτε ἄλλο, παρὰ τὴν μέλλουσαν σωτηρίαν τῶν ἀνθρώπων. Ἀλλὰ καὶ τὸ χωράφι καὶ ὁ θερισμὸς τὸ ἴδιο σημαίνει, δηλαδὴ τὸ πλῆθος τῶν ψυχῶν, ποὺ εἶναι ἕτοιμοι νὰ δεχθοῦν τὸ κήρυγμα. Μὲ τὴν λέξιν ὀφθαλμοὺς ἐννοεῖ ἐπίσης τοὺς ὀφθαλμοὺς τοῦ πνεύματος καὶ τοῦ σώματος. Διότι ἔβλεπαν ἤδη τὸ πλῆθος τῶν Σαμαρειτῶν, ποὺ ἤρχετο. Καὶ τὴν ἑτοιμασίαν τῆς θελήσεως ἐκείνων ὀνομάζει λευκὰ χωράφια. Διότι ὅπως ἀκριβῶς οἱ στάχεις, ὅταν ἀσπρίσουν, εἶναι ἕτοιμοι πρὸς θερισμόν, ἔτσι καὶ οἱ Σαμαρεῖται τώρα εἶναι ἕτοιμοι καὶ πρόσφοροι διὰ τὴν σωτηρίαν.

Καὶ διατί δὲν εἶπε καθαρά, ὅτι οἱ ἄνθρωποι ἔρχονται διὰ νὰ πιστεύσουν καὶ εἶναι ἕτοιμοι νὰ δεχθοῦν τὸν λόγον, ἀφοῦ ἤδη ἐδιδάχθησαν ἀπὸ τοὺς Προφήτας καὶ πρόκειται ν' ἀποδώσουν τὸν καρπόν, ἀλλὰ τοὺς ὠνόμασε χωράφι καὶ θερισμόν; Τί ἐννοοῦν δι' αὐτὸν αὐταὶ αἱ μεταφοραί; Ὄχι μόνον εἰς τὴν προκειμένην περίπτωσιν, ἀλλ' εἰς ὁλόκληρον τὸ Εὐαγγέλιον κάμνει τοῦτο. Ἄλλωστε καὶ οἱ Προφῆται τὸν ἴδιον τρόπον μεταχειρίζονται λέγοντες πολλὰ μὲ μεταφορικὴν σημασίαν. Ποία εἶναι ἡ αἰτία; Διότι βεβαίως ἡ χάρις τοῦ Πνεύματος δὲν ἐτακτοποίησεν αὐτὰ χωρὶς κρίσιν. Ἀλλὰ διὰ ποῖον λόγον; Διὰ δύο αἰτίας: Ἡ μία εἶναι, ὅτι ἔτσι ὁ λόγος γίνεται ἐντονώτερος καὶ παραστατικώτερος. Διότι, ὅταν ἡ σκέψις συλλάβῃ τὴν εἰκόνα τῶν πραγμάτων ποὺ εἶναι σύμφωνος μὲ τὰ λόγια, κινεῖται περισσότερον καὶ αἰχμαλωτίζεται εὐκολώτερον, σὰν νὰ βλέπῃ τὰ πράγματα ζωγραφισμένα.

Ἑνὸς μὲν οὖν ἕνεκα τούτου· δευτέρου δέ, ὥστε καὶ γλυκαίνεσθαι τὴν διήγησιν, καὶ μονιμωτέραν εἶναι τῶν λεγομένων τὴν μνήμην. Οὐ γὰρ οὕτως ἀπόφασις χειροῦται καὶ ἐνάγει τὸν ἀκροατὴν τὸν πολύν, ὡς ἡ διὰ τῶν πραγμάτων διήγησις, καὶ ἡ ὑπογραφὴ πείρας. Ὁ διὰ τῆς παραβολῆς ἔστι μετὰ πολλῆς γινόμενον ἰδεῖν τῆς σοφίας.

«Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον». Ὁ μὲν γὰρ τοῦ ἀμήτου τούτου καρπός, οὐκ εἰς αἰώνιον ζωήν, ἀλλ' εἰς τὴν πρόσκαιρον ταύτην προχωρεῖ· ὁ δὲ πνευματικός, εἰς τὴν ἀγήρω καὶ ἀθάνατον. Ὁρᾷς πῶς αἰσθητὰ μὲ τὰ ῥήματα, πνευματικὰ δὲ τὰ νοήματα καὶ δι' αὐτῶν τῶν λέξεων διαιρεῖ τὰ γήινα ἀπὸ τῶν οὐρανίων; Ὅπερ γὰρ ἐπὶ τοῦ ὕδατος διαλεγόμενος ἐποίησε, τὸ ἰδιάζον αὐτοῦ θείς, ὅτι «Ὁ πίνων τὸ ὕδωρ τοῦτο οὐ μὴ διψήσει», τοῦτο καὶ ἐνταῦθα ποιεῖ, τὸ εἰς ζωὴν αἰώνιον λέγων τὸν καρπὸν συνάγεσθαι τοῦτον· «Ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων».

Τίς ἐστιν ὁ σπείρων καὶ τίς ὁ θερίζων; Οἱ προφῆταί εἰσιν οἱ σπείραντες· ἀλλ' οὐκ αὐτοὶ ἐθέρισαν, ἀλλ' οἱ ἀπόστολοι. Οὐ μὴν διὰ τοῦτο ἀπεστέρηνται τῆς ἡδονῆς καὶ τῆς ἀμοιβῆς τῶν πόνων, ἀλλὰ συνήδονται καὶ χαίρουσι σὺν ἡμῖν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσιν. Οὐδὲ γὰρ ὁ ἀμητὸς ἔργον τοῦ σπόρου. Ἔνθα οὖν ἐλάττων ἐστὶ μὲν ὁ πόνος, μείζων δὲ ἡ ἡδονή, ἐνταῦθα ὑμᾶς ἐτήρησα, οὐκ ἐν τῷ σπόρῳ. Πολλὴ γὰρ ἐκεῖ ἡ ταλαιπωρία καὶ ὁ πόνος. Ἐν γὰρ τῷ ἀμητῷ ἡ μὲν πρόσοδος πολλή, πόνος δὲ οὐ τοσοῦτος, ἀλλὰ καὶ πολλὴ ἡ εὐκολία. Ἐνταῦθα δὲ βούλεται κατασκευάσαι διὰ τούτων, ὅτι Καὶ προφητῶν θέλημα τοῦτό ἐστι, τὸ ἐμοὶ τοὺς ἀνθρώπους προσελθεῖν. Τοῦτο καὶ ὁ νόμος κατεσκεύα-

Αὐτὴ εἶναι ἡ μία αἰτία. Ἡ ἄλλη εἶναι, ὅτι μὲ αὐτὸν τὸν τρόπον ἡ διήγησις γίνεται περισσότερον εὐχάριστος καὶ ἡ ἀνάμνησις τῶν λόγων διαρκεῖ περισσότερον. Διότι δὲν εἶναι ἡ θέλησις ποὺ καθηλώνει καὶ πείθει τοὺς πολλοὺς ἀκροατὰς τόσον, ὅσον ἡ περιγραφὴ ἐκείνων τῶν πραγμάτων, διὰ τὰ ὁποῖα ἔχομεν ἰδίαν πεῖραν. Καὶ αὐτὸ ἠμπορεῖ νὰ ἰδῇ κανείς, ὅτι γίνεται διὰ τῆς παραβολῆς μὲ μεγάλην σοφίαν.

«Καὶ ὁ θεριστὴς παίρνει μισθὸν καὶ μαζεύει καρπὸν διὰ τὴν ζωὴν τὴν αἰώνιον». Δηλαδὴ ὁ καρπὸς αὐτοῦ τοῦ θερισμοῦ εἶναι ὠφέλιμος διὰ τὴν παροῦσαν ζωὴν καὶ ὄχι διὰ τὴν αἰώνιον, ὁ πνευματικὸς ὅμως καρπὸς εἶναι ὠφέλιμος διὰ τὴν ἀγήραστον καὶ ἀθάνατον ζωήν. Βλέπεις, πῶς τὰ μὲν λόγια εἶναι αἰσθητά, τὰ δὲ νοήματα πνευματικὰ καὶ πῶς μὲ τὰς λέξεις αὐτὰς χωρίζει τὰ γήϊνα ἀπὸ τὰ οὐράνια; Ἐκεῖνο δηλαδὴ ποὺ ἔκαμεν ὁμιλῶν περὶ τοῦ ὕδατος, ὅταν ἔδειξε τὴν ἰδιότητά του, λέγων, «Ἐκεῖνος ποὺ θὰ πιῇ αὐτὸ τὸ ὕδωρ, δὲν θὰ διψάσῃ ποτέ», τὸ ἴδιο κάμνει καὶ τώρα, ὅταν λέγῃ, ὅτι αὐτὸς ὁ καρπὸς θὰ μαζευθῇ εἰς τὴν αἰώνιον ζωήν, «Διὰ νὰ χαίρουν μαζὶ καὶ ὁ σπορεὺς καὶ ὁ θεριστής».

Ποῖος εἶναι ὁ σπορεὺς καὶ ποῖος ὁ θεριστής; Σπορεῖς ἦσαν οἱ Προφῆται, ἀλλὰ δὲν ἐθέρισαν ἐκεῖνοι, ἀλλ' οἱ Ἀπόστολοι. Ἀλλὰ δὲν ἐστερήθησαν ἀπὸ τὴν εὐχαρίστησιν καὶ ἀπὸ τὴν ἀμοιβὴν τῶν κόπων των, ἀλλὰ εὐχαριστοῦνται καὶ χαίρουν μαζί μας, ἂν καὶ θερίζουν μαζί μας. Διότι ὁ θερισμὸς δὲν εἶναι ἔργον τῆς σπορᾶς. Ὅπου λοιπὸν ὁ μὲν κόπος εἶναι μικρότερος, ἡ δὲ εὐχαρίστησις μεγαλυτέρα, ἐκεῖ σᾶς ἐτοποθέτησα καὶ ὄχι εἰς τὴν σποράν. Διότι εἰς αὐτὴν εἶναι μεγάλη ἡ ταλαιπωρία καὶ ὁ κόπος. Ἀλλ' εἰς τὸν θερισμὸν καὶ ἡ ὠφέλεια εἶναι μεγάλη, ὁ δὲ κόπος δὲν εἶναι τόσος ἀλλὰ καὶ ἡ εὐκολία μεγάλη. Μὲ αὐτὰ θέλει νὰ δείξῃ, ὅτι ἦτο θέλημα τῶν Προφητῶν τοῦτο, τὸ νὰ ἔλθω δηλαδὴ πρὸς τοὺς ἀνθρώπους. Ἄλλωστε αὐτὸ εἶχε προετοιμασθῆ καὶ ἀπὸ τὸν νόμον. Δι' αὐτὸ ἔσπειραν, διὰ νὰ παραγάγουν τὸν

ζεν. Διὰ τοῦτο καὶ ἔσπειραν, ἵνα τοῦτον τέκωσι τὸν καρπόν.

Δείκνυσι δὲ ὅτι κἀκείνους αὐτὸς ἀπέστειλε, καὶ ὅτι πολλὴ ἡ συγγένεια τῇ Καινῇ πρὸς τὴν Παλαιάν, καὶ πάντα ὁμοῦ διὰ τῆς παραβολῆς ταύτης κατασκευάζει. Μέμνηται δὲ καὶ λόγου περοιμιώδους περιφερομένου παρὰ πολλῶν. «Ἐν γὰρ τούτῳ», φησίν, «ὁ λόγος ἐστὶν ὁ ἀληθής, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων». Ταῦτα δὲ ἔλεγον οἱ πολλοί, εἴποτε ἄλλοι μὲν τοὺς πόνους ὑπέστησαν, ἄλλοι δὲ τοὺς καρποὺς ἐδρέποντο· καὶ λέγει, ὅτι οὗτος ὁ λόγος ἐνταῦθα μάλιστα τὴν ἀλήθειαν ἔχει. Ἐπόνησαν μὲν γὰρ οἱ προφῆται, ὑμεῖς δὲ τοὺς καρποὺς τοὺς ἐκ τῶν ἐκείνων πόνων ἀμᾶσθε.

Καὶ οὐκ εἶπε, τοὺς μισθούς· οὐδὲ γὰρ ἐκείνοις ἄμισθος ὁ πολὺς ἐκεῖνος πόνος· ἀλλά, τοὺς καρπούς. Τοῦτο καὶ Δανιὴλ ἐποίησε. Καὶ γὰρ καὶ αὐτὸς παροιμίας μέμνηται λεγούσης· «Ἐξῆλθεν ἐξ ἀνόμων πλημμέλεια». Καὶ ὁ Δαυϊδ ἐν τῷ θρηνεῖν μέμνηται τοιαύτης παροιμίας. Διὰ τοῦτο προλαβὼν εἶπε, «Ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων». Ἐπειδὴ γὰρ ἔμελλε λέγειν ὅτι ἄλλος ἔσπειρε καὶ ἄλλος θερίζει, ἵνα μή τις, ὅπερ ἔφην, ἀποστερῆσθαι τοὺς προφήτας νομίσῃ τοῦ μισθοῦ, ξένον τι λέγει καὶ παράδοξον καὶ τοῖς αἰσθητοῖς οὐ συμβαῖνον, ἀλλὰ τῶν πνευματικῶν ἐξαίρετον ὄν. Ἐν μὲν γὰρ τοῖς πράγμασι τοῖς αἰσθητοῖς ἐὰν συμβῇ ἕτερον σπεῖραι καὶ ἕτερον θερίσαι, οὐχ ὁμοῦ χαίρουσιν, ἀλλὰ ἀλγοῦσιν οἱ σπείραντες, ἅτε ἑτέροις καμόντες, χαίρουσι δὲ οἱ θερίζοντες μόνοι. Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ οἱ μὴ θερίζοντες ἅπερ ἔσπειραν, ὁμοίως τοῖς ἀμῶσι χαίρουσιν· ὅθεν δῆλον, ὅτι καὶ αὐτοὶ κοινωνοῦσι τῶν μισθῶν.

«Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν

---

4. Α' Βασ. 24, 14.

καρπὸν τοῦτον.

Δεικνύει ἐπίσης ὅτι καὶ ἐκείνους αὐτὸς τοὺς εἶχεν ἀποστείλει καὶ ὅτι ὑπάρχει μεγάλη συγγένεια μεταξὺ τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης καὶ ὅλα αὐτὰ τὰ ἐπιτυγχάνει συγχρόνως μὲ αὐτὴν τὴν παραβολήν. Ἐνθυμεῖται ἐπίσης καὶ μίαν παροιμίαν, ποὺ ἐλέγετο ἀπὸ πολλούς. «Ἐδῶ ἀληθεύει ἡ παροιμία, ὅτι ἄλλος σπέρνει καὶ ἄλλος θερίζει». Αὐτὰ τὰ ἔλεγαν πολλοί, διότι ἄλλοι ἐκοπίαζαν καὶ ἄλλοι ἐθέριζαν τοὺς καρπούς. Καὶ τονίζει, ὅτι αὐτὴ ἡ παροιμία ἀληθεύει ἐντελῶς εἰς αὐτὴν τὴν περίπτωσιν. Διότι ἐκοπίασαν οἱ Προφῆται ἐσεῖς ὅμως θερίζετε τοὺς καρποὺς ἀπὸ τοὺς κόπους ἐκείνων.

Δὲν εἶπε τὸν μισθόν, διότι καὶ ὁ κόπος ἐκείνων δὲν ἦτο χωρὶς μισθόν, ἀλλὰ τοὺς καρπούς. Τὸ ἴδιο ἔκαμε καὶ ὁ Δανιήλ. Διότι καὶ αὐτὸς ἐνεθυμήθη αὐτὴν τὴν παροιμίαν καὶ εἶπεν· «Ἀπὸ τοὺς ἀνόμους προῆλθε τὸ ἔγκλημα»[4]. Ἀλλὰ καὶ ὁ Δαυῒδ εἰς τὸν θρῆνον του ἐνεθυμήθη αὐτὴν τὴν παροιμίαν. Δι' αὐτὸ προηγουμένως ὁ Χριστὸς εἶχεν εἰπεῖ· «Διὰ νὰ χαίρουν μαζὶ καὶ ὁ σπορεὺς καὶ ὁ θεριστής». Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ εἰπῇ, ὅτι ἄλλος ἔσπειρε καὶ ἄλλος θερίζει, διὰ νὰ μὴ νομίσῃ κανείς, ὅπως εἶπα, ὅτι οἱ Προφῆται εἶχον στερηθῇ τοῦ μισθοῦ, λέγει κάτι παράξενον καὶ ἀπροσδόκητον, ποὺ δὲν συμβαίνει εἰς τὰ αἰσθητὰ πράγματα, ἀλλὰ κατ' ἐξαίρεσιν μόνον εἰς τὰ πνευματικά. Διότι εἰς τὰ πράγματα ποὺ ὑποπίπτουν εἰς τὰς αἰσθήσεις μας, ἐὰν συμβῇ ἄλλος νὰ σπείρῃ καὶ ἄλλος νὰ θερίσῃ, δὲν χαίρουν καὶ οἱ δύο μαζί, ἀλλὰ λυποῦνται ἐκεῖνοι ποὺ ἔσπειραν καὶ χαίρουν μόνον ἐκεῖνοι ποὺ θερίζουν, ἐπειδὴ ἄλλοι ἐκοπίασαν. Εἰς αὐτὴν ὅμως ἐδῶ τὴν περίπτωσιν δὲν συμβαίνει ἔτσι, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ δὲν θερίζουν, ὅσα ἔσπειραν, χαίρουν ἐξ ἴσου μ' ἐκείνους ποὺ θερίζουν. Εἶναι λοιπὸν φανερὸν ὅτι καὶ αὐτοὶ μετέχουν εἰς τὸν μισθόν.

«Ἐγὼ σᾶς ἔστειλα νὰ θερίσετε ἐκεῖνο, διὰ τὸ ὁποῖον δὲν ἐκοπιάσατε. Ἄλλοι ἔχουν κοπιάσει καὶ σεῖς εἰσήλθατε

εἰσεληλύθατε». Ταύτῃ προτρέπει μᾶλλον αὐτούς. Ἐπειδὴ γὰρ ἐδόκει ἐπίπονον εἶναι τὸ πρᾶγμα τὸ τὴν οἰκουμένην περιελθεῖν καὶ κηρῦξαι, δείκνυσιν ὅτι καὶ ῥᾶστόν ἐστι. Τὸ γὰρ σφόδρα ἐπίπονον ἐκεῖνο ἦν, ὃ πολλοῦ καμάτου ἐδεῖτο, τὸ καταβαλεῖν τὰ σπέρματα καὶ ψυχὴν ἀμύητον ἐναγαγεῖν εἰς θεογνωσίαν. Τίνος δὲ ἕνεκεν ταῦτα φθέγγεται; Ἵνα ὅταν αὐτοὺς ἀποστείλῃ εἰς τὸ κηρῦξαι, μὴ θορυβηθῶσιν, ὡς εἰς πρᾶγμα ἐπίπονον πεμπόμενοι. Τὸ γὰρ ἐπιπονώτερον τῶν προφητῶν ἦν, φησί, καὶ μαρτυρεῖ τὸ ἔργον τῷ λόγῳ, ὅτι ὑμεῖς ἐπὶ τὰ εὔκολα ἤλθετε. Ὥσπερ γὰρ ἐπὶ θερισμοῦ μετ' εὐκολίας μὲν ὁ καρπὸς συνάγεται καὶ ἐν μιᾷ ῥοπῇ ἡ ἅλως πληροῦται τῶν δραγμάτων, οὐκ ἀναμενόντων τὰς τῶν καιρῶν τροπάς, καὶ χειμῶνα καὶ ἔαρ καὶ ὄμβρον· οὕτω καὶ νῦν γίνεται· καὶ τὰ ἔργα βοᾷ.

Μεταξὺ οὖν λέγοντος αὐτοῦ ταῦτα, ἐξῄεσαν οἱ Σαμαρεῖται καὶ συνήγετο ἀθρόον ὁ καρπός. Διὰ τοῦτο εἶπεν· «Ἄρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ βλέπετε τὰς χώρας, ὅτι λευκαί εἰσιν». Εἶπε ταῦτα καὶ τὸ ἔργον ἐφάνη καὶ τὰ ῥήματα ἐκ τῶν πραγμάτων ἑωρᾶτο. «Ἐκ γὰρ τῆς πόλεως ἐκείνης πολλοί», φησίν, «ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης, ὅτι Εἶπέ μοι πάντα ὅσα ἐποίησα». Συνεώρων γὰρ ὅτι οὐκ ἂν ἐθαύμασε πρὸς χάριν ἡ γυνὴ τὸν διελέγξαντα αὐτῆς τὰ πλημμελήματα, οὐδ' ἂν ὑπὲρ τοῦ χαρίσασθαι ἑτέρῳ τὸν ἑαυτῆς ἐξεπόμπευσε βίον.

3. Μιμησώμεθα δὴ τὴν γυναῖκα καὶ ἡμεῖς καὶ ἐκ τοῖς οἰκείοις ἁμαρτήμασι μὴ αἰσχυνώμεθα ἀνθρώπους, ἀλλὰ φοβώμεθα ὡς χρὴ Θεὸν τὸν καὶ νῦν ὁρῶντα τὸ γινόμενον καὶ τότε κολάζοντα τοὺς μὴ μετανοήσαντας νῦν· ὡς νῦν γε τοὐναντίον ποιοῦμεν. Τὸν μὲν γὰρ μέλλοντα κρίνειν, οὐ δεδοίκαμεν, τοὺς δὲ οὐδὲν ἡμᾶς παραβλάπτοντας, τούτους φρίτ-

εἰς τὸν κόπον των». Μὲ αὐτὰ τὰ λόγια τοὺς προτρέπει. Ἐπειδὴ δηλαδὴ ἐφαίνετο ὅτι εἶναι πολὺ κοπιαστικὸν νὰ περιέλθουν τὴν οἰκουμένην καὶ νὰ κηρύξουν, ἀποδεικνύει ὅτι εἶναι συγχρόνως καὶ πολὺ εὔκολον. Διότι ἐκεῖνο ποὺ ἦτο πολὺ κοπιαστικὸν καὶ ἐχρειάζετο μεγάλον κόπον, ἦτο νὰ ρίψουν τοὺς σπόρους καὶ τὴν ἀμύητον ψυχὴν νὰ φέρουν εἰς θεογνωσίαν. Διὰ ποῖον λόγον λέγει ταῦτα; Διὰ νὰ μὴ φοβηθοῦν, ὅταν τοὺς στείλῃ νὰ κηρύξουν, σὰν νὰ πηγαίνουν εἰς κάτι τὸ πολὺ κοπιαστικόν. Διότι, λέγει, τὸ καθῆκον τῶν Προφητῶν ἦτο πολὺ κοπιαστικώτερον, ὅπως μαρτυρεῖ τὸ ἴδιο τὸ πρᾶγμα, ἐνῷ ἐσεῖς ἤλθατε εἰς τὰ εὐκολώτερα. Διότι, ὅπως εἰς τὸν θερισμὸν ὁ καρπὸς μαζεύεται μὲ εὐκολίαν καὶ ἐντὸς μικροῦ χρονικοῦ διαστήματος τὸ ἁλώνι γεμίζει ἀπὸ δεμάτια, ποὺ δὲν περιμένουν τὰς καιρικὰς μεταβολάς, τὸν χειμῶνα, τὴν ἄνοιξιν καὶ τὴν βροχήν, ἔτσι γίνεται καὶ τώρα καὶ τὰ ἴδια τὰ ἔργα φωνάζουν.

Ἐνῷ ὁ Χριστὸς ἔλεγεν αὐτά, εἰς τὸ μεταξὺ ἐξήρχοντο οἱ Σαμαρεῖται καὶ ἐμαζεύετο πυκνὰ ὁ καρπός. Δι' αὐτὸ εἶπε· «Σηκώσατε τοὺς ὀφθαλμούς σας καὶ βλέπετε τὰ χωράφια, ὅτι εἶναι λευκά». Αὐτὸ εἶπε καὶ τὸ πρᾶγμα ἀπεδείχθη, διότι τὰ λόγια ἐπεβεβαιώθησαν ἀπὸ τὰ ἔργα. «Διότι πολλοὶ ἀπὸ τοὺς Σαμαρείτας τῆς πόλεως ἐκείνης ἐπίστευσαν εἰς αὐτὸν ἐξ αἰτίας τῆς μαρτυρίας τῆς γυναικός. 'Μοῦ εἶπεν ὅλα ὅσα ἔκαμα'». Διότι ἔβλεπαν, ὅτι δὲν θὰ ἐπαινοῦσεν ἡ γυνὴ χαριστικῶς ἐκεῖνον, ὁ ὁποῖος τὴν ἤλεγξε διὰ τὰ ἁμαρτήματά της οὔτε καὶ θὰ διεπόμπευε τὸν βίον της διὰ νὰ φανῇ εὐχάριστος εἰς ἄλλον.

3. Ἂς μιμηθῶμεν λοιπὸν τὴν γυναῖκα καὶ ἡμεῖς καὶ ἂς μὴ ἐντρεπώμεθα διὰ τὰ ἁμαρτήματά μας τοὺς ἀνθρώπους, ἂς φοβώμεθα ὅπως πρέπει τὸν Θεόν, ὁ ὁποῖος καὶ τώρα βλέπει τὰ ἔργα μας καὶ τότε θὰ τιμωρήσῃ αὐτοὺς ποὺ τώρα δὲν μετανοοῦν. Ἀλλ' ἡμεῖς κάμνομεν τὸ ἀντίθετον. Διότι ἐκεῖνον ποὺ θὰ μᾶς κρίνῃ δὲν φοβούμεθα, ἀλλὰ φοβούμεθα αὐτοὺς ποὺ δὲν ἠμποροῦν νὰ μᾶς βλάψουν καὶ

τομεν, καὶ τὴν παρ' αὐτῶν αἰσχύνην τρέμομεν. Διὰ τοῦτο ἐν ᾧ δεδοίκαμεν, ἐν τούτῳ τὴν τιμωρίαν δίδομεν. Ὁ γὰρ αἰσχύνην ἀνθρώπων ὑφορώμενος νῦν μόνον, Θεοῦ δὲ ὁρῶντος μὴ αἰσχυνόμενος πρᾶξαί τι ἄτοπον, μὴ θέλων μετανοῆσαι καὶ μεταβαλέσθαι, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐνώπιον ἑνὸς καὶ δευτέρου, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης παραδειγματίζεται.

Ὅτι γὰρ καὶ τῶν ἀγαθῶν πράξεων καὶ τῶν οὐ τοιούτων μέγα θέατρον ἐκεῖ κάθηται, ἡ τῶν προβάτων καὶ τῶν ἐρίφων παραβολὴ παιδευέτω σε καὶ ὁ μακάριος Παῦλος, λέγων· «Δεῖ γὰρ ἡμᾶς», φησί, «παραστῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος ὅσα ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν». Καὶ πάλιν· «Ὃς φανερώσει τὰ κρυπτὰ τοῦ σκότους». Ἔπραξάς τι πονηρὸν ἢ ἐνενόησας καὶ κρύπτεις ἄνθρωπον; Ἀλλὰ τὸν Θεὸν οὐ κρύπτεις. Ἀλλ' οὐδὲν τούτων σοι μέλει· οἱ δὲ ὀφθαλμοὶ τῶν ἀνθρώπων, τοῦτό σοι φόβος. Οὐκοῦν ἐννόησον ὅτι οὐδὲ ἀνθρώπους λαθεῖν δυνήσῃ κατὰ τὴν ἡμέραν ἐκείνην. Πάντα γὰρ ὡς ἐν εἰκόνι τότε στήσεται κατ' ὀφθαλμοὺς ἡμῶν, ὡς αὐτοκατάκριτον ἕκαστον γενέσθαι.

Καὶ τοῦτο δῆλον καὶ ἀπὸ τοῦ πλουσίου. Καὶ γὰρ καὶ τὸν ὑπεροφθέντα πένητα, τὸν Λάζαρον λέγω, πρὸ ὀφθαλμῶν εἶδεν ἑστῶτα ὁ πλούσιος, καὶ ὃν πολλάκις ἐβδελύξατο δάκτυλον, τοῦτον παρακαλεῖ παραμυθίαν αὐτῷ γενέσθαι τότε. Παρακαλῶ τοίνυν, κἂν μηδεὶς ἴδῃ τὰ ἡμέτερα, ἕκαστον ἡμῶν εἰς τὸ ἑαυτοῦ συνειδὸς εἰσελθεῖν, καὶ καθίσαι ἑαυτῷ δικαστὴν τὸν λογισμόν, καὶ εἰς μέσον ἄγειν τὰ πεπλημμελημένα· καὶ εἰ μὴ βούλοιτο ἐκπομπευθῆναι ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, ἐπι-

---

5. Β' Κορ. 5, 10.
6. Α' Κορ. 4, 50.

τρέμομεν νὰ μὴ κακοχαρακτηρισθῶμεν ἀπὸ αὐτούς. Διὰ τοῦτο ὅποιον φοβούμεθα, αὐτὸν τιμωροῦμεν. Διότι ἐκεῖνος ποὺ φροντίζει νὰ μὴ φαίνεται αἰσχρὸς μόνον εἰς τοὺς ἀνθρώπους, δὲν ἐντρέπεται ὅμως νὰ κάμῃ κάτι τὸ κακόν, ἐπειδὴ μόνον ὁ Θεὸς τὸν βλέπει, ἂν δὲν θέλῃ νὰ μετανοήσῃ καὶ νὰ ἀλλάξῃ, κατὰ τὴν ἡμέραν ἐκείνην θὰ γίνῃ καταγέλαστος ὄχι ἐνώπιον ἑνὸς καὶ δύο, ἀλλ' ἐνώπιον τῆς οἰκουμένης ὁλοκλήρου.

Διότι, ὅτι ἐκεῖ ὑπάρχει μεγάλη συγκέντρωσις τῶν καλῶν καὶ τῶν κακῶν πράξεων, σὲ διδάσκει ἡ παραβολὴ τῶν προβάτων καὶ τῶν ἐριφίων καὶ ὁ μακάριος Παῦλος, ὁ ὁποῖος λέγει· «Διότι πρέπει ὅλοι ἡμεῖς νὰ φανερωθῶμεν ἐνώπιον τοῦ βήματος τοῦ Χριστοῦ, διὰ νὰ λάβῃ ὁ καθεὶς ὅ,τι τοῦ ἁρμόζει δι' ὅσα ἔκαμε μὲ τὸ σῶμα του, εἴτε καλὸν εἴτε κακόν»[5]. Καὶ πάλιν· «Ὁ ὁποῖος θὰ φέρῃ εἰς τὸ φῶς τὰ ὅσα κρύπτονται εἰς τὸ σκότος»[6]. Ἔκαμες ἢ ἐσκέφθης κάτι κακὸν καὶ προσπαθεῖς νὰ τὸ κρύψῃς ἀπὸ τοὺς ἀνθρώπους; Ἀλλ' ἀπὸ τὸν Θεὸν δὲν ἠμπορεῖς νὰ τὸ κρύψῃς. Ἀλλ' ἀπὸ αὐτὰ δὲν σ' ἐνδιαφέρει τίποτε. Ὁ μόνος φόβος σου εἶναι οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων. Πρέπει λοιπὸν νὰ καταλάβῃς, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην δὲν θὰ ἠμπορέσῃς οὔτε ἀπὸ τοὺς ἀνθρώπους νὰ κρυφθῇς. Διότι τότε θὰ παρουσιασθοῦν εἰς τοὺς ὀφθαλμούς μας ὅλα τὰ ἔργα μας σὰν εἰς εἰκόνα, ὥστε ὁ καθεὶς νὰ κρίνῃ τὸν ἑαυτόν του.

Τοῦτο εἶναι φανερὸν ἀπὸ τὴν παραβολὴν τοῦ πλουσίου. Διότι καὶ τὸν πτωχὸν ἐκεῖνον ποὺ εἶχε καταφρονήσει, τὸν Λάζαρον ἐννοῶ, τὸν εἶδεν ὁ πλούσιος νὰ στέκεται ἐνώπιον τῶν ὀφθαλμῶν του καὶ τὸν δάκτυλόν του, ποὺ πρῶτα ἐσιχαίνετο, τώρα τὸν παρακαλεῖ νὰ τὸν παρηγορήσῃ. Παρακαλῶ λοιπόν, καὶ ἂν δὲν βλέπῃ κανεὶς τὰ ἰδικά μας ἔργα, ὁ καθεὶς ἀπὸ ἡμᾶς νὰ εἰσχωρήσῃ εἰς τὴν συνείδησίν του καὶ νὰ κάμῃ τὴν λογικὴν δικαστὴν τοῦ ἑαυτοῦ του καὶ νὰ φέρῃ εἰς τὸ μέσον τὰ ἁμαρτήματά του. Καὶ ἂν δὲν θέλῃ νὰ διαπομπευθῇ κατὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν, ἂς

τιθέτω τὰ φάρμακα τῆς μετανοίας, καὶ ἰασάσθω τὰ τραύματα. Ἔξεστι γάρ, ἔξεστι μυρίων γέμοντα τραυμάτων, ἀπελθεῖν ὑγιαίνοντα. «Ἐὰν γὰρ ἀφῆτε», φησίν, «ἀφέωνται ὑμῶν αἱ ἁμαρτίαι· ἐὰν δὲ μὴ ἀφῆτε, οὐκ ἀφέωνται».

Ὥσπερ γὰρ ἐν τῷ βαπτίσματι καταχωννύμενα τὰ ἁμαρτήματα οὐκ ἔτι φαίνεται· οὕτω καὶ ταῦτα ἀφανισθήσεται, ἐὰν θελήσωμεν μετανοῆσαι. Ἔστι δὲ μετάνοια τὸ μηκέτι τὰ αὐτὰ ποιεῖν. «Ὁ γὰρ τοῖς αὐτοῖς ἐπιχειρῶν, ἔοικε τῷ κυνὶ τῷ πρὸς τὸν ἴδιον ἔμετον ἐπανιόντι», καὶ τῷ κατὰ τὴν παροιμίαν εἰς πῦρ ξαίνοντι καὶ εἰς τετρημένον ἀντλοῦντι πίθον. Δεῖ τοίνυν ἀφίστασθαι καὶ τῇ πράξει καὶ τῇ γνώμῃ τῶν τολμηθέντων καὶ ἀποστάντας φάρμακα ἐπιθεῖναι τοῖς τραύμασι τὰ ἐναντία τῶν ἁμαρτημάτων. Οἷόν τι λέγω· Ἥρπασας καὶ ἐπλεονέκτησας; Ἀπόστηθι τῆς ἁρπαγῆς, καὶ ἐπίθες ἐλεημοσύνην τῷ τραύματι. Ἐπόρνευσας; Ἀπόστηθι τῆς πορνείας καὶ ἐπίθες ἁγνείαν τῷ ἕλκει. Κακῶς εἶπες τὸν ἀδελφὸν καὶ ἔβλαψας; Παῦσαι κακηγορῶν καὶ ἐπίθες φιλοφροσύνην.

Καὶ καθ' ἕκαστον οὕτω ποιῶμεν τῶν πεπλημμελημένων ἡμῖν καὶ μὴ ἁπλῶς παρατρέχωμεν τὰ ἁμαρτήματα· ἐφέστηκε γὰρ λοιπόν, ἐφέστηκεν ὁ τῶν εὐθυνῶν καιρός. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε». Ἀλλ' ἡμῖν τάχα τοὐναντίον ἔστιν ἐπιλέγειν· Ὁ Κύριος ἐγγύς, μεριμνᾶτε. Ἐκεῖνοι μὲν γὰρ καλῶς ἤκουον, «Μηδὲν μεριμνᾶτε», ἐν θλίψει καὶ πόνοις καὶ ἀγῶσιν ὄντες· οἱ δὲ ἐν ἁρπαγαῖς ζῶντες καὶ ἐν τρυφῇ, οἱ χαλεπὰς εὐθύνας μέλλοντες διδόναι, οὐ τοῦτο, ἀλλ' ἐκεῖνο ἂν ἀκούσαιεν εἰκότως· Ὁ Κύριος ἐγγύς, μεριμνᾶτε.

7. Ματθ. 6, 14-15.
8. Β' Πέτρ. 2, 21-22.
9. Φιλιπ. 4, 5-6.

χρησιμοποιήση τὰ φάρμακα τῆς μετανοίας καὶ ἂς θεραπεύση τὰ τραύματα. Διότι εἶναι δυνατόν, καὶ ἂν κανεὶς εἶναι γεμᾶτος ἀπὸ τραύματα, νὰ φύγῃ ὑγιής. «Διότι, ἐὰν συγχωρήσετε εἰς τοὺς ἀνθρώπους ὅ,τι κακὸν ἔχουν κάμει, θὰ συγχωρὴθοῦν αἱ ἰδικαί σας ἁμαρτίαι. Ἐὰν ὅμως δὲν τοὺς συγχωρήσετε, τότε δὲν θὰ συγχωρηθοῦν αἱ ἰδικαί σας»[7].

Διότι ὅπως ἀκριβῶς τὰ ἁμαρτήματα ἀποπλυνόμενα μὲ τὸ βάπτισμα δὲν φαίνονται πλέον, ἔτσι καὶ αὐτὰ θὰ ἐξαφανισθοῦν, ἐὰν θέλωμεν νὰ μετανοήσωμεν. Ἡ δὲ μετάνοια συνίσταται εἰς τὸ νὰ μὴ κάμνῃ κανεὶς τὰ ἴδια. «Διότι ἐκεῖνος ποὺ ἐπιχειρεῖ τὰ ἴδια, ὁμοιάζει μὲ τὸν σκύλον ποὺ ἐπανέρχεται εἰς τὸν ἔμετόν του»[8] καὶ μὲ ἐκεῖνον ποὺ κατὰ τὴν παροιμίαν κτυπᾷ τὴν φωτιὰ καὶ προσπαθεῖ ν' ἀντλήσῃ ὕδωρ ἀπὸ τρύπιο πιθάρι. Πρέπει λοιπὸν καὶ μὲ τὰ ἔργα καὶ μὲ τὰ λόγια νὰ ἀπέχωμεν ἀπὸ τὰ κακὰ ἔργα καί, ἀφοῦ ἀπομακρυνθοῦμεν νὰ βάλωμεν φάρμακα ἐπάνω εἰς τὰ τραύματα, αὐτὰ ποὺ εἶναι ἀντίθετα τῶν ἁμαρτημάτων. Παραδείγματος χάριν. Ἤσουν ἅρπαξ καὶ πλεονέκτης; Ν' ἀπέχῃς ἀπὸ τὴν ἁρπαγὴν καὶ βάλε ἐπάνω εἰς τὸ τραῦμα τὴν ἐλεημοσύνην. Ἐπόρνευσες; Ἀπομακρύνσου ἀπὸ τὴν πορνείαν καὶ βάλε ἐπάνω εἰς τὴν πληγὴν τὸ φάρμακον τῆς ἁγνότητος. Ἐκακολόγησες καὶ ἔβλαψες τὸν ἀδελφόν σου; Παῦσε νὰ κατηγορῇς καὶ χρησιμοποίησε τὴν φιλοφροσύνην.

Καὶ διὰ τὸ καθὲν ἀπὸ τὰ ἁμαρτήματά μας ἂς κάμνωμεν τὸ ἴδιο καὶ ἂς μὴ τὰ παρατρέχωμεν ἁπλῶς. Διότι ἔχει φθάσει ὁ καιρὸς τῶν εὐθυνῶν. Δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ὁ Κύριος εἶναι πλησίον. Μὴ μεριμνᾶτε διὰ τίποτε»[9]. Ἀλλὰ δι' ἡμᾶς πρέπει νὰ λεχθῇ τὸ ἀντίθετον. Ὁ Κύριος εἶναι πλησίον, μεριμνᾶτε. Διότι ἐκεῖνοι μὲν καλῶς ἤκουον «Μὴ μεριμνᾶτε διὰ τίποτε», ἐπειδὴ εὑρίσκοντο εἰς θλῖψιν, εἰς κόπους καὶ εἰς ἀγῶνας. Ἀλλ' αὐτοὶ ποὺ ζοῦν ἀπὸ ἁρπαγὰς καὶ μὲ πολυτέλειαν, ποὺ θὰ λογοδοτήσουν βαρέως, ὄχι τοῦτο, ἀλλὰ τὸ ἑπόμενον θ' ἀκούσουν δικαίως· Ὁ Κύριος εἶναι πλησίον, μεριμνᾶτε.

Οὐ δὲ γὰρ πολὺς λείπεται τῆς συντελείας ὁ χρόνος, ἀλλὰ πρὸς τὸ τέλος λοιπὸν ὁ κόσμος ἐπείγεται. Τοῦτο οἱ πόλεμοι δηλοῦσι, τοῦτό αἱ θλίψεις, τοῦτο οἱ σεισμοί, τοῦτο ἡ ἀγάπη ψυγεῖσα. Καθάπερ γὰρ σῶμα ψυχορραγοῦν καὶ ἐγγὺς ὃν τῆς τελευτῆς, μυρίας ἐπισπᾶται κακώσεις· καὶ οἰκίας μελλούσης καταπίπτειν, πολλὰ προπίπτειν εἴωθε καὶ ἀπὸ τῆς ὀροφῆς καὶ ἀπὸ τῶν τοίχων· οὕτω καὶ τῆς οἰκουμένης ἐγγὺς καὶ ἐπὶ θύραις ἕστηκεν ἡ συντέλεια, καὶ διὰ τοῦτο τὰ μυρία διέσπαρται πανταχοῦ κακά. Εἰ γὰρ τότε ὁ Κύριος ἐγγύς, πολλῷ μᾶλλον νῦν ἐγγύς. Εἰ πρὸ τετρακοσίων ἐτῶν ὅτε ταῦτα ἐλέγετο καὶ πλήρωμα τῶν χρόνων τὸν καιρὸν ἐκεῖνον ὁ Παῦλος ἐκάλει, πολλῷ μᾶλλον τὸν παρόντα.

Ἀλλ' ἴσως δι' αὐτὸ τοῦτο ἀπιστοῦσί τινες. Καὶ μὴν διὰ τοῦτο πιστεύειν χρὴ μᾶλλον. Πόθεν γὰρ οἶδας, ἄνθρωπε, ὅτι οὐκ ἐγγὺς τὸ τέλος καὶ μετὰ βραχὺν χρόνον ἀπαντήσεται τὰ εἰρημένα; Ὥσπερ γὰρ τοῦ ἐνιαυτοῦ τέλος, οὐ τὴν ἐσχάτην ἡμέραν λέγομεν εἶναι, ἀλλὰ καὶ τὸν ἔσχατον μῆνα, καίτοι γε τριάκοντα ἡμέρας ἔχοντα, οὕτω καὶ τῶν τοσούτων ἐτῶν κἂν τετρακόσια ἔτη τέλος εἴπω, οὐχ ἁμαρτήσομαι. Ὥστε ἔκτοτε προανεφώνει τὸ τέλος. Συστείλωμεν οὖν ἑαυτούς, ἐντρυφήσωμεν τῷ φόβῳ τοῦ Θεοῦ. Καὶ γὰρ ἐν ἀδείᾳ διατριβόντων ἡμῶν, οὐ σφόδρα μεριμνώντων οὐδὲ προσδοκώντων, ἐπιστήσεται ἀθρόον ἡ παρουσία.

Καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· «Ὥσπερ γὰρ ἐν ταῖς ἡμέραις τοῦ Νῶε καὶ ἐν ταῖς ἡμέραις τοῦ Λώτ, οὕτως ἔσται καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου». Τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, καὶ ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ». Τί ἐστιν, «Ἡ ὠδὶν τῇ

---

10. Ματθ. 24, 57.
11. Α' Θεσσ. 5, 3.

Διότι δὲν εἶναι μακρὰν ὁ χρόνος τῆς συντελείας, ἀλλ' ὁ κόσμος βαδίζει ἤδη πρὸς τὸ τέλος του. Αὐτὸ φανερώνουν οἱ πόλεμοι, αἱ θλίψεις, οἱ σεισμοὶ καὶ ἡ ἀγάπη ποὺ ἔχει σβήσει. Διότι, ὅπως ὅταν ψυχορραγῇ τὸ σῶμα καὶ εὑρίσκεται πλησίον τοῦ θανάτου, ὑφίσταται ἀπείρους πόνους, καὶ ἡ οἰκία, ὅταν πρόκειται νὰ καταρρεύσῃ, καταρρέουν συνήθως ἐνωρίτερον τμήματα ἀπὸ τὴν ὀροφὴν καὶ ἀπὸ τοὺς τοίχους, ἔτσι πλησιάζει καὶ εὑρίσκεται εἰς τὰ πρόθυρα ἡ συντέλεια καὶ δι' αὐτὸ ἔχουν διασπαρεῖ παντοῦ τὰ κακά. Διότι, ἐὰν τότε ἦτο πλησίον ὁ Κύριος, τώρα εἶναι πολὺ περισσότερον. Διότι, ὅταν αὐτὰ ἐλέγοντο πρὸ τετρακοσίων ἐτῶν καὶ ὁ Παῦλος ὠνόμαζε τὸν καιρὸν ἐκεῖνο πλήρωμα τῶν χρόνων, πολὺ περισσότερον πρέπει νὰ ὀνομασθῇ ἔτσι ὁ σημερινὸς καιρός.

Ἀλλ' ἴσως δι' αὐτὸ δὲν πιστεύουν μερικοί. Καὶ ὅμως δι' αὐτὸ ἔπρεπε μᾶλλον νὰ πιστεύουν. Διότι, ἀπὸ ποῦ ξεύρεις, ἄνθρωπε, ὅτι δὲν πλησιάζει τὸ τέλος καὶ ὅτι δὲν θὰ πραγματοποιηθοῦν τὰ ἀνωτέρω μετ' ὀλίγον χρόνον; Διότι, ὅπως ἀκριβῶς τὸ τέλος τοῦ ἔτους δὲν λέγομεν ὅτι εἶναι ἡ τελευταία ἡμέρα, οὔτε ὁ τελευταῖος μήν, ἂν καὶ ἔχῃ τριάκοντα ἡμέρας, ἔτσι καὶ ἂν εἴπω τὸ τέλος τόσων ἐτῶν, μολονότι εἶναι τετρακόσια, δὲν θὰ πέσω ἔξω. Ὥστε ἀπὸ τότε προανήγγελε τὸ τέλος. Ἂς χαλιναγωγήσωμεν λοιπὸν τοὺς ἑαυτούς μας καὶ ἂς ἐντρυφήσωμεν εἰς τὸν φόβον τοῦ Θεοῦ. Διότι, ὅταν ἡμεῖς περνοῦμεν τὸν καιρόν μας ἐν ἀκολασίᾳ καὶ δὲν φροντίζωμεν καθόλου, οὔτε περιμένωμεν, ἡ παρουσία τοῦ Θεοῦ θὰ ἔλθῃ αἰφνιδίως.

Αὐτὸ θέλων νὰ τονίσῃ ὁ Χριστός, ἔλεγεν· «Ὅπως ἦσαν εἰς τὰς ἡμέρας τοῦ Νῶε καὶ εἰς τὰς ἡμέρας τοῦ Λώτ, ἔτσι θὰ εἶναι καὶ εἰς τὴν συντέλειαν τοῦ αἰῶνος τούτου»[10]. Τοῦτο θέλων νὰ δηλώσῃ καὶ ὁ Παῦλος ἔλεγεν· «Ὅταν λέγουν «Εἰρήνη καὶ ἀσφάλεια», τότε ἔρχεται ἐπάνω τους αἰφνιδία καταστροφή, ὅπως ὁ πόνος τοῦ τοκετοῦ εἰς τὴν κοιλίαν τῆς γυναικός»[11]. Καὶ τί εἶναι «Ὁ πόνος τοῦ τοκετοῦ

ἐν γαστρὶ ἐχούσῃ»; Πολλάκις αἱ κύουσαι γυναῖκες παίζουσαι ἢ ἀριστοποιοῦσαι ἢ ἐν βαλανείῳ ἢ ἐν ἀγορᾷ διάγουσαι, οὐδὲν τῶν μελλόντων προορώμεναι, ὑπὸ τῆς ὀδύνης κατεσχέθησαν ἀθρόον. Ἐπεὶ οὖν τοιαῦτα καὶ τὰ ἡμέτερα, ὦμεν ἀεὶ παρεσκευασμένοι. Οὐ γὰρ ἀεὶ ταῦτα ἀκουσόμεθα· οὐκ ἀεὶ τούτων ἐξουσίαν ἕξομεν. «Ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι;».

Οὐκοῦν ἐνταῦθα μετανοήσωμεν, ἵνα οὕτως ἵλεω τὸν Θεὸν ἔχωμεν κατὰ τὴν μέλλουσαν ἡμέραν, καὶ πολλῆς ἀπολαῦσαι δυνηθῶμεν συγγνώμης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

12. Ψαλμ. 6, 8.

εἰς τὴν κοιλίαν τῆς γυναικός»; Πολλὰς φορὰς αἱ γυναῖκες ποὺ κυοφοροῦν, ἐνῷ παίζουν ἢ γευματίζουν ἢ εὑρίσκονται εἰς τὸ λουτρόν ἢ χρονοτριβοῦν εἰς τὴν ἀγοράν, ἐπειδὴ δὲν προβλέπουν τίποτε ἀπὸ τὰ μέλλοντα, καταλαμβάνονται αἰφνιδίως ἀπὸ τὸν πόνον. Ἐπειδὴ λοιπὸν καὶ τὰ ἰδικά μας εἶναι τέτοια, πρέπει νὰ εἴμεθα ἕτοιμοι συνεχῶς. Διότι δὲν θὰ ἀκούωμεν συνεχῶς τὰ ἴδια, οὔτε θὰ ἔχωμεν πάντοτε αὐτὴν τὴν εὐκαιρίαν. Διότι λέγει ὁ Προφήτης, «Εἰς τὸν Ἅδην ποῖος θὰ ὁμολογήσῃ;»[12].

Ἂς μετανοήσωμεν λοιπόν, διὰ νὰ ἔχωμεν τὸν Θεὸν εὐμενῆ κατὰ τὴν ἡμέραν τῆς κρίσεως καὶ διὰ νὰ ἠμπορέσωμεν ν' ἀπολαύσωμεν πλήρη τὴν συγγνώμην. Εἴθε αὐτὴν ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΕ΄.

Ἰω. 4,40 - 53

«Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς. Καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. Καὶ πολλῷ πλείους ἐπίστευσαν εἰς αὐτὸν διὰ τὸν λόγον αὐτοῦ· τῇ τε γυναικὶ ἔλεγον, ὅτι Οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι αὐτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός. Καὶ μετὰ δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν».

1. Οὐδὲν φθόνου καὶ βασκανίας χεῖρον, οὐδὲν κενοδοξίας χαλεπώτερον· αὕτη τὰ μυρία εἴωθε διαφθείρειν ἀγαθά. Οἱ οὖν Ἰουδαῖοι πλείονα τῶν Σαμαρειτῶν γνῶσιν ἔχοντες καὶ τοῖς προφήταις συντραφέντες, ὕστεροι τούτων ἐφάνησαν ἐντεῦθεν. Οὗτοι μὲν γὰρ καὶ ἀπὸ τῆς μαρτυρίας ἐπίστευσαν τῆς γυναικὸς καὶ σημεῖον ἰδόντες οὐδέν, ἐξῆλθον παρακαλοῦντες τὸν Χριστὸν μεῖναι παρ' αὐτοῖς· οἱ δὲ Ἰουδαῖοι καὶ θαύματα θεασάμενοι, οὐ μόνον οὐ κατεῖχον αὐτὸν παρ' ἑαυτοῖς, ἀλλὰ καὶ ἀπήλαυνον, καὶ πάντα ἔπραττον, ὥστε καὶ τῆς χώρας αὐτὸν ἐκβαλεῖν, καίτοι γε αὕτη ἡ παρουσία δι' ἐκείνους ἐγεγόνει.

Ἀλλ' ἐκεῖνοι μὲν ἀπήλαυνον, οὗτοι δὲ καὶ μεῖναι ἠξίουν παρ' ἑαυτοῖς. Τούτους οὖν οὐκ ἐχρῆν προσίεσθαι παρακαλοῦντας, εἰπέ μοι, καὶ δεομένους, ἀλλὰ τοῖς μὲν ἐπιβουλεύσουσι καὶ διακρουομένοις προσεδρεύειν, τοῖς δὲ ἀγαπῶσι καὶ βουλομένοις αὐτὸν κατέχειν, μὴ διδόναι ἑαυτόν; Ἀλλ' οὐκ ἦν ἄξιον τῆς αὐτοῦ κηδεμονίας. Διὰ τοῦτο καὶ

1. Ἰω. 3, 40-44.

ΟΜΙΛΙΑ ΛΕ'.

'Ιω. 4,40 - 53

«Όταν λοιπὸν ἦλθαν οἱ Σαμαρεῖται πρὸς αὐτόν, τὸν παρεκάλουν νὰ παραμείνῃ πλησίον τους. Καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. Καὶ πολλοὶ περισσότεροι ἐπίστευσαν ἀπὸ ὅσα τοὺς εἶπεν, εἰς δὲ τὴν γυναῖκα ἔλεγαν· Ὁ λόγος διὰ τὸν ὁποῖον πιστεύομεν δὲν εἶναι πλέον τὰ ὅσα μᾶς εἶπες, ἀλλὰ διότι τὸν ἠκούσαμεν ἡμεῖς οἱ ἴδιοι καὶ ξεύρομεν ὅτι αὐτὸς εἶναι ἀληθινὰ ὁ Σωτὴρ τοῦ κόσμου, ὁ λεγόμενος Χριστός. Καὶ μετὰ δύο ἡμέρας ἔφυγεν ἀπὸ ἐκεῖ καὶ ἐπῆγεν εἰς τὴν Γαλιλαίαν»[1].

1. Δὲν ὑπάρχει χειρότερον ἐλάττωμα ἀπὸ τὸν φθόνον καὶ τὴν ζηλοτυπίαν, οὔτε βαρύτερον ἀπὸ τὴν κενοδοξίαν. Διότι αὐτὴ καταστρέφει συνήθως ἄπειρα ἀγαθά. Οἱ Ἰουδαῖοι λοιπὸν ἂν καὶ ἐγνώριζαν πολὺ περισσότερα ἀπὸ τοὺς Σαμαρείτας καὶ εἶχον διδαχθῆ ἀπὸ τοὺς Προφήτας, ἐφάνησαν εἰς τὴν προκειμένην περίπτωσιν κατώτεροι ἀπὸ αὐτούς. Διότι οἱ μὲν Σαμαρεῖται ἐπίστευσαν μόνον ἀπὸ τὴν μαρτυρίαν τῆς γυναικὸς καὶ μολονότι δὲν εἶχαν ἰδεῖ κανὲν θαῦμα, ἐβγῆκαν καὶ παρεκάλουν τὸν Χριστὸν νὰ μείνῃ πλησίον τους. Οἱ Ἰουδαῖοι ὅμως, ἂν καὶ εἶχαν ἰδεῖ θαύματα, ὄχι μόνον δὲν τὸν ἐκράτησαν πλησίον τους, ἀλλὰ καὶ τὸν ἐδίωχναν καὶ ἔκαμναν τὰ πάντα διὰ νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὴ χώραν, παρ' ὅλον ὅτι ἡ παρουσία του εἶχε γίνει πρὸς χάριν των.

Ἀλλ' οἱ μὲν Ἰουδαῖοι τὸν ἐξεδίωκαν, οἱ δὲ Σαμαρεῖται τὸν παρεκάλουν νὰ μείνῃ πλησίον τους. Δὲν ἔπρεπε λοιπὸν νὰ πλησιάσῃ αὐτοὺς ποὺ τὸν παρεκάλουν καὶ εἶχαν ἀνάγκην, ἀλλὰ νὰ παραμένῃ μὲν πλησίον ἐκείνων, οἱ ὁποῖοι τὸν ἐμίσουν καὶ τὸν ἐχθρεύοντο, νὰ ἐγκαταλείψῃ δὲ ἐκείνους, οἱ ὁποῖοι τὸν ἠγάπων καὶ ἤθελαν νὰ τὸν κρατοῦν πλησίον των; Ἀλλ' αὐτὸ δὲν ἦτο ἀντάξιον τῆς προνοίας του. Δι' αὐτὸ ἐδέχθη καὶ ἔμεινε πλησίον των δύο ἡμέρας.

ἐδέξατο καὶ ἔμεινε παρ' αὐτοῖς ἡμέρας δύο. Αὐτοὶ μὲν γὰρ ἐβούλοντο διηνεκῶς αὐτὸν κατέχειν (τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπών, ὅτι «Ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς»)· αὐτὸς δὲ οὐκ ἠνείχετο, ἀλλ' ἡμέρας δύο μόνον ἔμεινεν, καὶ ἐν ταύταις πολλῷ πλείους ἐπίστευσαν εἰς αὐτόν. Καίτοι γε τούτους εἰκὸς ἦν πιστεῦσαι, τῷ τε σημεῖον μηδὲν ἑωρακέναι, καὶ τῷ ἀπεχθῶς πρὸς Ἰουδαίους ἔχειν· ἀλλ' ὅμως ἐπειδὴ τοῖς λεγομένοις μετὰ ἀληθείας ἐδίκαζον, οὐ προσέστη τοῦτο αὐτοῖς, ἀλλ' ὑψηλοτέραν τῶν κωλυμάτων ἔλαβον ἔννοιαν, καὶ ἐφιλοτιμοῦντο ἐπὶ τὸ μειζόνως θαυμάζειν αὐτόν. «Τῇ γὰρ γυναικί», φησίν, «ἔλεγον· Οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν αὐτῷ· αὐτοὶ γὰρ ἡμεῖς ἠκούσαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός».

Οἱ μαθηταὶ τὸν διδάσκαλον ὑπερηκόντισαν. Οὗτοι γὰρ καὶ τῶν Ἰουδαίων κατηγορήσαιεν ἂν δικαίως καὶ τὸ πιστεῦσαι καὶ τῷ δέξασθαι. Ἐκεῖνοι μὲν γὰρ ὑπὲρ ὧν πᾶσαν τὴν πραγματείαν συνεστήσατο, συνεχῶς αὐτὸν ἐλίθαζον· οὗτοι δὲ οὐδὲ πρὸς αὐτοὺς ὁρμώμενον εἵλκυσαν πρὸς ἑαυτούς. Καὶ οἱ μὲν μετὰ σημείων ἀδιόρθωτοι μένουσιν· οὗτοι δὲ χωρὶς σημείων πολλὴν περὶ αὐτὸν τὴν πίστιν ἐπεδείξαντο, καὶ τούτῳ αὐτῷ φιλοτιμοῦνται, τῷ χωρὶς σημείων πιστεῦσαι· ἐκεῖνοι δὲ οὐ παύσονται καὶ σημεῖα ζητοῦντες καὶ πειράζοντες. Οὕτως εὐγνώμονος ψυχῆς πανταχοῦ χρεία. Κἂν ἐπιλάβηται τοιαύτης ἡ ἀλήθεια, κρατεῖ ῥαδίως· κἂν μὴ κρατήσῃ, οὐ παρὰ τὴν αὐτῆς ἀσθένειαν, ἀλλὰ παρὰ τὴν ταύτης ἀγνωμοσύνην τοῦτο γίνεται. Ἐπεὶ καὶ ὁ ἥλιος ὅταν λάβῃ καθαροὺς ὀφθαλμούς, φωτίζει ῥαδίως· ἂν δὲ μὴ φωτίσῃ, τῆς ἐκείνων ἀρρωστίας τὸ ἁμάρτημα, οὐ τῆς ἀσθενείας τούτου.

Διότι οἱ Σαμαρεῖται ἤθελαν νὰ τὸν ἔχουν διαρκῶς πλησίον τους (αὐτὸ ἄλλωστε ἐδήλωσε καὶ ὁ Εὐαγγελιστής, ὅταν εἶπε, «Παρεκάλουν αὐτὸν νὰ μείνῃ πλησίον τους). Ὁ Χριστὸς ὅμως δὲν ἠρνήθη, ἀλλ' ἔμεινε μόνον δύο ἡμέρας καὶ εἰς αὐτὸ τὸ διάστημα ἐπίστευσαν εἰς αὐτὸν πολὺ περισσότεροι. Καὶ ὅμως θὰ ἦτο φυσικὸν νὰ μὴ πιστεύσουν, ἀφοῦ δὲν εἶχαν ἰδεῖ κανένα θαῦμα καὶ ἐμίσουν τοὺς Ἰουδαίους. Ἐπειδὴ ὅμως ἔκριναν τὰ λόγια του σύμφωνα μὲ τὴν ἀλήθειαν, αὐτὸ δὲν τοὺς ἠμπόδισεν, ἀλλ' ἐσχημάτισαν ὑψηλοτέραν ἰδέαν περὶ τῶν προσκομμάτων καὶ ἐφιλοτιμοῦντο νὰ τὸν θαυμάζουν περισσότερον. Καὶ ἔλεγαν εἰς τὴν γυναῖκα· «Ὁ λόγος διὰ τὸν ὁποῖον πιστεύομεν δὲν εἶναι τὰ ὅσα μᾶς εἶπες, ἀλλὰ διότι τὸν ἠκούσαμεν ἡμεῖς οἱ ἴδιοι καὶ ξεύρομεν, ὅτι αὐτὸς εἶναι ἀληθινὰ ὁ Σωτὴρ τοῦ κόσμου, ὁ λεγόμενος Χριστός».

Οἱ μαθηταὶ ὑπερέβαλαν τὸν διδάσκαλον. Διότι οὗτοι δικαίως θὰ ἠμποροῦσαν νὰ κατηγορήσουν τοὺς Ἰουδαίους καὶ ἐπειδὴ ἐπίστευσαν καὶ ἐπειδὴ ἐδέχθησαν τὸν Χριστόν. Διότι οἱ τελευταῖοι, χάριν τῶν ὁποίων εἶχεν ἀναλάβει ὅλο τὸ ἔργον, συνεχῶς τὸν ἐλιθοβόλουν. Ἀλλ' οἱ Σαμαρεῖται τὸν προσείλκυσαν μὲ τὸ μέρος τους, χωρὶς νὰ σκοπεύῃ νὰ τοὺς ἐπισκεφθῇ. Οἱ μὲν Ἰουδαῖοι μένουν ἰσχυρογνώμονες παρὰ τὰ θαύματα, οἱ δὲ Σαμαρεῖται ἔδειξαν μεγάλην πίστιν πρὸς αὐτὸν χωρὶς θαύματα καὶ ἕνεκα τούτου δοξάζονται, διότι ἐπίστευσαν χωρὶς νὰ ἰδοῦν θαύματα, ἐνῷ οἱ πρῶτοι δὲν παύουν νὰ ζητοῦν θαύματα καὶ νὰ τὸν πειράζουν. Ὑπάρχει πάντοτε ἀνάγκη ἀπὸ τόσον εὐσεβῆ ψυχήν. Ἂν ἡ ἀλήθεια εἰσέλθῃ εἰς τοιαύτην ψυχήν, τότε τὴν κυριεύει εὐκόλως. Καὶ ἂν δὲν τὴν κυριεύσῃ, αὐτὸ δὲν ὀφείλεται εἰς τὴν ἀδυναμίαν της, ἀλλὰ ἕνεκα τῆς ἀγνωμοσύνης της. Ἐπειδὴ καὶ ὁ ἥλιος φωτίζει εὐκόλως, ὅταν ἔχῃ κανεὶς ὑγιεῖς ὀφθαλμούς. Ἂν πάλιν δὲν φωτίσῃ, τὸ σφάλμα δὲν ὀφείλεται εἰς τὴν ἀδυναμίαν του, ἀλλὰ εἰς τὴν ἀσθένειαν τῶν ὀφθαλμῶν.

Ἄκουσον γοῦν οὗτοι τί λέγουσιν. «Οἴδαμεν», φησίν, «ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός». Ὁρᾷς πῶς εὐθέως ἐνόησαν ὅτι τὴν οἰκουμένην ἐπισπᾶσθαι ἤμελλεν καὶ ἐπὶ διορθώσει τῆς κοινῆς ἦλθε σωτηρίας, ὅτι οὐκ ἐν Ἰουδαίοις ἤμελλεν ἀποκλείειν αὐτοῦ τὴν πρόνοιαν, ἀλλὰ πανταχοῦ σπείρειν αὐτοῦ τὸν λόγον; Ἀλλ' οὐκ Ἰουδαῖοι οὕτως· ἀλλὰ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. Οὗτοι δὲ ὁμολογοῦσιν ἅπαντας ἐν ἐπιτιμίοις εἶναι, ἐκεῖνο τὸ ἀποστολικὸν δηλοῦντες, ὅτι «Πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι». Εἰπόντες γὰρ ὅτι Σωτήρ ἐστι τοῦ κόσμου, ἔδειξαν ὅτι τοῦ ἀπολωλότος· καὶ οὐχ ἁπλῶς Σωτήρ, ἀλλ' ἐν σφόδρα μεγάλοις.

Ἦλθον μὲν γὰρ πολλοὶ σῶσαι, καὶ προφῆται καὶ ἄγγελοι· ἀλλ' ὁ ἀληθινὸς Σωτὴρ οὗτός ἐστι, φησί, ὁ τὴν ἀληθῆ σωτηρίαν παρέχων, οὐ τὴν πρόσκαιρον μόνον. Τοῦτο πίστεως εἰλικρινοῦς. Καὶ γάρ εἰσιν ἀμφοτέρωθεν θαυμαστοὶ καὶ ὅτι ἐπίστευσαν καὶ ὅτι χωρὶς σημείων· οὓς καὶ ὁ Χριστὸς μακαρίζει λέγων· «Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες»· καὶ ὅτι εἰλικρινῶς τοῦτο. Καίτοι τῆς γυναικὸς ἀμφιβόλως λεγούσης ἀκούσαντες, «Μήτι οὗτός ἐστιν ὁ Χριστός;», οὐκ εἶπον καὶ αὐτοί, ὅτι Καὶ ἡμεῖς ὑποπτεύομεν, οὐδ' ὅτι Νομίζομεν, ἀλλ' ὅτι «Οἴδαμεν»· καὶ οὐχ ἁπλῶς, ἀλλ' ὅτι «Οὗτός ἐστιν ἀληθῶς τοῦ κόσμου ὁ Σωτήρ». Οὐ γὰρ ὡς ἕνα τῶν πολλῶν τὸν Χριστὸν ὡμολόγουν, ἀλλὰ τὸν ὄντως Σωτῆρα.

Καίτοι τίνα εἶδον σωθέντα; Τῶν ῥημάτων ἤκουσαν μόνον καὶ εἶπον ἅπερ ἄν, εἰ καὶ θαύματα ἐθεάσαντο πολλὰ

---

2. Ρωμ. 3, 23.
3. Ἰω. 20, 29.

"Ακουσε λοιπόν, τί λέγουν οἱ Σαμαρεῖται· «Ξεύρομεν, ὅτι αὐτὸς εἶναι ἀληθινὰ ὁ Σωτὴρ τοῦ κόσμου, ὁ λεγόμενος Χριστός». Βλέπεις, πῶς ἐκατάλαβαν ἀμέσως, ὅτι θὰ προσείλκυε τὴν οἰκουμένην καὶ ὅτι ἦλθε διὰ νὰ ἐργασθῇ χάριν τῆς κοινῆς σωτηρίας, ὅτι δὲν ἦτο μέλημα τῶν Ἰουδαίων νὰ ἀποκλείσουν τὴν πρόνοιάν του, ἀλλ' ὅτι θὰ διεσπείρετο παντοῦ ὁ λόγος του. Ἀλλ' οἱ Ἰουδαῖοι δὲν ἔπραξαν τοῦτο καὶ ἐνῷ ἐζήτουν ν' ἀποκαταστήσουν τὴν ἰδικήν τους δικαίωσιν, δὲν ὑπετάγησαν εἰς τὴν δικαίωσιν, ποὺ προέρχεται ἀπὸ τὸν Θεόν. Οἱ Σαμαρεῖται ὅμως ὁμολογοῦν ὅτι ὅλοι εἶναι ἁμαρτωλοί, ἐπιβεβαιώνοντες τὰ λόγια τοῦ Ἀποστόλου· «Ὅλοι ἡμάρτησαν καὶ ὅλοι στεροῦνται τῆς δόξης τοῦ Θεοῦ καὶ παίρνουν τὴν δικαίωσιν δωρεὰν μὲ τὴν χάριν ποὺ προέρχεται ἀπὸ αὐτόν»[2]. Διότι, ὅταν εἶπαν ὅτι εἶναι Σωτὴρ τοῦ κόσμου, ἠθέλησαν νὰ δηλώσουν τοῦ κόσμου ποὺ ἐχάθη καὶ ὄχι μόνον ὅτι ἦτο Σωτήρ, ἀλλὰ εἰς τὰ μέγιστα πράγματα.

Διότι ἦλθαν πολλοὶ διὰ νὰ σώσουν τὸν κόσμον καὶ Προφῆται καὶ ἄγγελοι. Ἀλλ' ὁ ἀληθινὸς Σωτήρ, ποὺ παρέχει τὴν ἀληθινὴν σωτηρίαν καὶ ὄχι τὴν πρόσκαιρον, εἶναι αὐτός. Αὐτὴ εἶναι ἀπόδειξις εἰλικρινοῦς πίστεως. Διότι καὶ ἀπὸ ἄλλην πλευρὰν οἱ Σαμαρεῖται εἶναι ἀξιοθαύμαστοι, ἀπὸ τὸ ὅτι δηλαδὴ καὶ ἐπίστευσαν καὶ μάλιστα ὅτι ἐπίστευσαν χωρὶς θαύματα. Αὐτοὺς μακαρίζει καὶ ὁ Χριστός, ὅταν λέγῃ, «Μακάριοι αὐτοὶ ποὺ δὲν εἶδαν καὶ ὅμως ἐπίστευσαν»[3], καὶ μάλιστα ἐπίστευσαν εἰλικρινῶς. Καὶ ὅταν ἤκουσαν τὴν γυναῖκα νὰ ὁμιλῇ μὲ ἀμφιβολίαν, «Μήπως αὐτὸς εἶναι ὁ Χριστός;», δὲν εἶπαν καὶ αὐτοί· Καὶ ἡμεῖς ἀμφιβάλλομεν, οὔτε νομίζομεν, ἀλλὰ «Ξεύρομεν»· καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ ὅτι, «Αὐτὸς εἶναι ἀληθινὰ ὁ Σωτὴρ τοῦ κόσμου». Διότι δὲν ὡμολόγουν τὸν Χριστὸν σὰν ἕναν ἀπὸ τοὺς πολλούς, ἀλλὰ σὰν πραγματικὸν Σωτῆρα.

Καὶ ὅμως, ποῖον εἶδαν ὅτι ἐσώθη ἀπὸ αὐτόν; Μόνον τὰ λόγια του ἤκουσαν καὶ εἶπαν ἐκεῖνα ποὺ θὰ ἔλεγαν, ἂν

καὶ μεγάλα, εἶπον. Καὶ τίνος ἕνεκεν ταῦτα οὐ λέγουσιν ἡμῖν οἱ εὐαγγελισταὶ τὰ ῥήματα καὶ ὅτι θαυμαστῶς διελέχθη; Ἵνα μάθῃς ὅτι πολλὰ τῶν μεγάλων παραιρέχουσιν, ἀπὸ δὲ τοῦ τέλους τὸ πᾶν ἐδήλωσαν. Ἔπεισε γὰρ δῆμον ὁλόκληρον καὶ πόλιν ὅλην διὰ τῶν εἰρημένων. Ἔνθα δὲ μὴ πείθονται, τότε ἀναγκάζονται λέγειν τὰ εἰρημένα, ἵνα μὴ ἀπὸ τῆς ἀγνωμοσύνης τῶν ἀκουόντων καταψηφίζηταί τις τοῦ δημηγοροῦντος.

«Καὶ μετὰ δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. Αὐτὸς γὰρ ὁ Χριστὸς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει». Διατί τοῦτο πρόσκειται; Ὅτι εἰς Καπερναοὺμ οὐκ ἀπῆλθεν, ἀλλ' εἰς τὴν Γαλιλαίαν, κἀκεῖθεν εἰς τὴν Κανᾶ; Ἵνα γὰρ μὴ ἐξετάσῃς, διατί παρὰ μὲν τοῖς αὐτοῦ οὐκ ἔμεινε, παρὰ δὲ τοῖς Σαμαρείταις ἔμεινε, τίθησι τὴν αἰτίαν, λέγων, ὅτι οὐ προσέσχον αὐτῷ. Διὰ τοῦτο οὐκ ἀπῆλθεν ἐκεῖ, ὥστε μὴ μεῖζον αὐτοῖς γενέσθαι τὸ κρῖμα.

2. Καὶ γὰρ πατρίδα αὐτὸν ἐνταῦθα ἡγοῦμαι λέγειν τὴν Καπερναούμ. Ὅτι δὲ οὐκ ἀπήλαυσεν ἐκεῖ τιμῆς, ἄκουσον αὐτοῦ λέγοντος· «Καὶ σύ, Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψώθης, ἕως ᾅδου καταβιβασθήσῃ». Πατρίδα δὲ ἰδίαν καλεῖ, τὸν τῆς οἰκονομίας δηλῶν λόγον, καὶ τούτῳ τὸ πλέον ἐνδιατρίβων. Τί οὖν; οὐχ ὁρῶμεν, φησί, καὶ παρὰ τοῖς οἰκείοις πολλοὺς θαυμαζομένους; Μάλιστα δὲν οὐκ ἀπὸ τῶν σπανιζόντων τὰ τοιαῦτα δεῖ ψηφίζεσθαι. Εἰ δέ τινες ἐν τῇ αὐτῶν ἐτιμῶντο, πολλῷ μᾶλλον ἐν τῇ ἀλλοτρίᾳ· ἡ γὰρ συνήθεια εὐκαταφρονήτους ποιεῖν εἴωθεν.

«Ὡς δὲ ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες, ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις

---

4. Λουκᾶ 10, 15.

τὸν ἔβλεπαν νὰ κάμνη πολλὰ καὶ μεγάλα θαύματα. Καὶ διὰ ποίαν αἰτίαν οἱ Εὐαγγελισταὶ δὲν μᾶς λέγουν αὐτὰ τὰ λόγια καὶ ὅτι ὡμίλησε πρὸς τοὺς Σαμαρείτας κατὰ τρόπον, ποὺ ἐπροκάλεσε τὸν θαυμασμόν των; Διὰ νὰ μάθῃς, ὅτι ἀφήνουν κατὰ μέρος πολλὰ ἀπὸ τὰ ἀξιόλογα, διὰ ν' ἀποδείξουν τὸ πᾶν ἀπὸ τὴν ἔκβασιν. Διότι ἔπεισε μὲ τὰ λόγια του τὸν λαὸν καὶ ὁλόκληρον τὴν πόλιν. Ὅπου ὅμως οἱ ἀκροαταὶ δὲν πείθονται, τότε οἱ Εὐαγγελισταὶ ἀναγκάζονται νὰ ἐπαναλαμβάνουν τὰ λόγια τοῦ Χριστοῦ, διὰ νὰ μὴ ἀποδώσῃ κανεὶς κατηγορίαν εἰς τὸν ὁμιλητὴν ἕνεκα τῆς ἀδιαφορίας τῶν ἀκροατῶν.

«Καὶ μετὰ δύο ἡμέρας ἔφυγεν ἀπὸ ἐκεῖ καὶ ἐπῆγεν εἰς τὴν Γαλιλαίαν. Διότι ὁ ἴδιος ὁ Χριστὸς ἐβεβαίωσεν, ὅτι προφήτης δὲν τιμᾶται εἰς τὴν ἰδιαιτέραν πατρίδα του». Διατί προστίθεται τοῦτο; ὅτι δηλαδὴ δὲν ἐπῆγεν εἰς τὴν Καπερναούμ, ἀλλ' εἰς τὴν Γαλιλαίαν καὶ ἀπὸ ἐκεῖ εἰς τὴν Κανᾶ; Διὰ νὰ μὴ ἐρευνᾷς, διατί δὲν ἔμεινεν εἰς τοὺς ἰδικούς του, ἔμεινεν ὅμως εἰς τοὺς Σαμαρείτας, προβάλλει τὴν αἰτίαν καὶ λέγει, ὅτι δὲν τὸν ἐπρόσεχαν. Δι' αὐτὸ δὲν ἐπῆγεν ἐκεῖ, διὰ νὰ μὴ ὑποστοῦν τὴν κρίσιν βαρυτέραν.

2. Διότι νομίζω, ὅτι πατρίδα του ἐννοεῖ τὴν Καπερναούμ. Ἀλλ' ὅτι ἐκεῖ δὲν ἀπήλαυε τιμῆς, ἄκουσε αὐτόν, ὅταν λέγῃ· «Καὶ σύ, Καπερναούμ, ποὺ ὑψώθης ὥς τὸν οὐρανόν, θὰ κατεβῇς ὥς τὸν Ἅδην»[4]. Ὀνομάζει δὲ αὐτὴν ἰδικήν του πατρίδα λόγῳ τῆς σαρκώσεώς του καὶ διότι ἔμεινεν ἐκεῖ πολὺν χρόνον. Τί λοιπόν; θὰ ἐρωτήσῃς. Δὲν βλέπομεν, ὅτι πολλὰ τιμῶνται ἀπὸ τοὺς συμπολίτας των; Βεβαίως βλέπομεν, ἀλλ' αὐτὰ τὰ σπάνια παραδείγματα δὲν ἀρκοῦν διὰ νὰ ἐκφράσωμεν γενικὴν γνώμην. Ἀλλ' ἂν μερικοὶ ἐτιμῶντο εἰς τὴν πατρίδα των, πολὺ περισσότερον ἐτιμῶντο εἰς τὴν ξένην. Διότι ἡ συνήθεια δημιουργεῖ κατὰ κανόνα τὴν περιφρόνησιν.

«Ὅταν ἔφθασεν εἰς τὴν Γαλιλαίαν, τὸν ἐδέχθησαν οἱ Γαλιλαῖοι, ἐπειδὴ εἶχαν ἰδεῖ ὅλα, ὅσα ἔκαμεν εἰς τὰ Ἱερο-

ἐν τῇ ἑορτῇ· καὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν». Ὁρᾷς ὅτι οἱ κακιζόμενοι, οὗτοι μάλιστα αὐτῷ προσιόντες εὑρίσκονται; Ὁ μὲν γὰρ ἔλεγεν, «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;», ἄλλος δέ, «Ἐρώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται». Ταῦτα δὲ καὶ αὐτὸν ὑβρίζοντες ἔλεγον, ἐπειδὴ ἐκ Ναζαρὲτ ἐδόκει τοῖς πολλοῖς εἶναι· καὶ τὸ Σαμαρείτην δὲ εἶναι ὠνείδιζον. «Σαμαρείτης γὰρ εἶ καὶ δαιμόνιον ἔχεις», φησίν.

Ἀλλ' ἰδοὺ καὶ Σαμαρεῖται καὶ Γαλιλαῖοι, φησί, πιστεύουσιν εἰς αἰσχύνην τῶν Ἰουδαίων. Εὑρίσκονται δὲ καὶ Γαλιλαίων οἱ Σαμαρεῖται βελτίους. Ἐκεῖνοι μὲν γὰρ ἀπὸ τῶν τῆς γυναικὸς ἐδέξαντο ῥημάτων· οὗτοι δὲ ἑωρακότες τὰ σημεῖα ἃ ἐποίησεν. «Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον». Ἀναμιμνήσκει τοῦ θαύματος τὸν ἀκροατήν, τὸ ἐγκώμιον τῶν Σαμαρειτῶν ἐπαίρων. Οὗτοι μὲν γὰρ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις καὶ ἀπὸ τῶν ἐκεῖ γενομένων σημείων αὐτὸν ἐδέξαντο· οἱ Σαμαρεῖται δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ διδασκαλίας μόνης. Ὅτι μὲν οὖν ἦλθεν ἐκεῖ, εἶπε· τὴν δὲ αἰτίαν οὐ προσέθηκε, δι' ἣν ἦλθεν. Εἰς μὲν γὰρ τὴν Γαλιλαίαν διὰ τὸν φθόνον τὸν Ἰουδαϊκὸν παρεγένετο· εἰς δὲ Κανᾶ τίνος ἕνεκεν; Παρὰ μὲν γὰρ τὴν ἀρχὴν καλούμενος εἰς γάμον· νῦν δὲ τίνος ἕνεκεν, καὶ διατί; Ἐμοὶ δοκεῖ τὴν ἀπὸ τοῦ θαύματος πίστιν ἐγγινομένην ἰσχυροτέραν ποιῶν διὰ τῆς παρουσίας, καὶ μᾶλλον αὐτοὺς ἐφελκόμενος τῷ αὐτόκλητος παραγενέσθαι καὶ τὴν μὲν ἰδίαν ἀφεῖναι πατρίδα, προτιμῆσαι δὲ ἐκείνους.

«Ἦν δέ τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. Οὗτος ἀκούσας, ὅτι Ἰησοῦς ἥκει ἀπὸ τῆς Ἰουδαίας

---

5. Ἰω. 1, 47.
6. Αὐτόθι 7, 52.

σόλυμα κατὰ τὴν ἑορτήν. Διότι εἶχαν μεταβῇ καὶ αὐτοὶ εἰς τὴν ἑορτήν». Βλέπεις μὲ ποῖον τρόπον ἐκεῖνοι ποὺ τὸν ἐκάκιζαν, αὐτοὶ οἱ ἴδιοι προσέρχονται εἰς αὐτόν; Διότι ὁ ἕνας ἔλεγεν· «Εἶναι δυνατὸν νὰ προέλθῃ κάτι καλὸν ἀπὸ τὴν Γαλιλαίαν;»[5], καὶ ὁ ἄλλος· «Ἐρεύνησε καὶ θὰ ἰδῇς, ὅτι δὲν ἔχει ἔλθει Προφήτης ἀπὸ τὴν Γαλιλαίαν»[6]. Καὶ ἔλεγον ταῦτα διὰ νὰ τὸν ἐμπαίξουν, ἐπειδὴ πολλοὶ ἐνόμιζαν ὅτι ἦτο ἀπὸ τὴν Ναζαρέτ. Μερικοὶ μάλιστα τὸν κατηγόρουν ὡς Σαμαρείτην καὶ τοῦ ἔλεγαν· «Εἶσαι Σαμαρείτης καὶ εἶσαι δαιμονισμένος».

Ἀλλὰ νὰ ποὺ πιστεύουν εἰς αὐτὸν Σαμαρεῖται καὶ Γαλιλαῖοι πρὸς καταισχύνην τῶν Ἰουδαίων. Καὶ μάλιστα οἱ Σαμαρεῖται ἀπεδείχθησαν καλύτεροι ἀπὸ τοὺς Γαλιλαίους. Διότι οἱ μὲν Σαμαρεῖται ἐπίστευσαν ἀπὸ τὰ λόγια τῆς γυναικός, ἐνῷ οἱ Γαλιλαῖοι εἶχαν ἰδεῖ τὰ θαύματα ποὺ ἔκαμεν. «Ἐπῆγε λοιπὸν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἔκαμε τὸ ὕδωρ οἶνον». Ὑπενθυμίζει εἰς τὸν ἀκροατὴν τὸ θαῦμα, διὰ νὰ ἐξάρῃ τὸν ἔπαινον τῶν Σαμαρειτῶν. Διότι οἱ μὲν Γαλιλαῖοι ἐπίστευσαν εἰς αὐτὸν ἀπὸ τὰ θαύματα ποὺ ἔγιναν εἰς τὰ Ἱεροσόλυμα καὶ εἰς τὴν Γαλιλαίαν, οἱ Σαμαρεῖται ὅμως μόνον ἀπὸ τὴν διδασκαλίαν. Καὶ εἶπε μὲν ὁ Εὐαγγελιστής, ὅτι ὁ Χριστὸς ἐπῆγεν ἐκεῖ, ἀλλὰ δὲν ἐπρόσθεσε τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐπῆγεν. Εἰς τὴν Γαλιλαίαν δηλαδὴ ἐπῆγεν ἕνεκα τοῦ φθόνου τῶν Ἰουδαίων. Ἀλλ' εἰς τὴν Κανᾶ, διατί; Τὴν πρώτην φορὰν βέβαια, διότι προσεκλήθη εἰς τὸν γάμον. Τώρα ὅμως διὰ ποῖον λόγον; Ἐγὼ νομίζω διὰ νὰ κάμῃ μὲ τὴν παρουσίαν του ἰσχυροτέραν τὴν πίστιν, ποὺ προῆλθεν ἀπὸ τὸ θαῦμα καὶ διὰ νὰ προσελκύσῃ αὐτοὺς περισσότερον μὲ τὸ ὅτι ἐπῆγε χωρὶς νὰ τὸν καλέσουν καὶ μὲ τὸ ὅτι ἄφησε τὴν πατρίδα του, ἐπειδὴ ἐπροτίμησεν ἐκείνους.

«Ἦτο ἐκεῖ κάποιος ἀξιωματοῦχος τοῦ βασιλέως, τοῦ ὁποίου ὁ υἱὸς ἦτο ἀσθενὴς εἰς τὴν Καπερναούμ. Ὅταν αὐτὸς ἤκουσεν, ὅτι ὁ Ἰησοῦς εἶχεν ἔλθει ἀπὸ τὴν Ἰουδαίαν

εἰς τὴν Γαλιλαίαν, ἦλθε πρὸς αὐτὸν καὶ ἠρώτα ἵνα ἔλθῃ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν»· ἤτοι τοῦ γένους ὢν τοῦ βασιλικοῦ ἢ ἀξίωμά τι ἀρχῆς ἕτερον οὕτω καλούμενον ἔχων. Τινὲς μὲν οὖν τοῦτον εἶναι νομίζουσι τὸν παρὰ τῷ Ματθαίῳ· δείκνυται δὲ ἕτερος ὢν παρ' ἐκεῖνον, οὐκ ἀπὸ τοῦ ἀξιώματος δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πίστεως. Ἐκεῖνος μὲν γὰρ καὶ βουλόμενον τὸν Χριστὸν ἐλθεῖν, ἀξιοῖ μένειν· οὗτος δὲ καὶ μηδὲν τοιοῦτον ἐπαγγελλόμενον, εἰς τὴν οἰκίαν ἕλκει. Κἀκεῖνος μέν φησιν· «Οὐκ εἰμὶ ἄξιος ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς»· οὗτος δὲ καὶ ἐπείγει· «Κατάβηθι», λέγων, «πρὶν ἀποθανεῖν τὸν υἱόν μου». Κἀκεῖ μὲν ἀπὸ τοῦ ὄρους καταβὰς εἰς Καπερναοὺμ εἰσῄει· ἐνταῦθα δὲ ἀπὸ Σαμαρείας καὶ οὐκ εἰς Καπερναούμ, ἀλλ' εἰς Κανᾶ ἐλθόντος παρεγένετο οὗτος.

Κἀκείνου μὲν ὁ παῖς παρέσει κατέκειτο· ὁ δὲ τούτου υἱὸς πυρετῷ. «Καὶ ἐλθὼν ἠρώτα ἵνα ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνήσκειν». Τί οὖν ὁ Χριστός; «Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε». Καὶ μὴν τοῦτο πίστεως ἦν, καὶ τὸ ἐλθεῖν καὶ τὸ παρακαλέσαι· καὶ μετὰ ταῦτα δὲ αὐτὸ μαρτυρεῖ ὁ εὐαγγελιστὴς λέγων, ὅτι εἰπόντος τοῦ Ἰησοῦ. «Πορεύου, ὁ υἱός σου ζῇ, ἐπίστευσε τῷ λόγῳ αὐτοῦ καὶ ἐπορεύετο». Τί οὖν ἐστιν ὅ φησιν ἐνταῦθα; Ἤτοι τοὺς Σαμαρείτας θαυμάζων ἔλεγε ταῦτα, ὅτι σημείων χωρὶς ἐπίστευσαν· ἢ τῆς δοκούσης αὐτοῦ πόλεως εἶναι καθαπτόμενος τῆς Καπερναούμ, ὅθεν οὗτος ἦν. Ἐπεὶ καὶ ἕτερός τις ἐν τῷ Λουκᾷ λέγων, «Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ», ἔλεγε πάλιν.

Ὥστε εἰ καὶ οὗτος ἐπίστευσεν, ἀλλ' οὐχ ὁλοκλήρως, οὐδὲ ὑγιῶς. Καὶ τοῦτο δηλοῖ ἐκ τοῦ πυνθάνεσθαι ποίᾳ ὥρᾳ

---

7. Ματθ. 8, 8.
8. Μάρκου 9, 23.

εἰς τὴν Γαλιλαίαν, ἐπῆγεν εἰς αὐτὸν καὶ τὸν παρεκάλει νὰ μεταβῇ μαζί του καὶ νὰ θεραπεύσῃ τὸν υἱόν του». Αὐτὸς ὠνομάζετο βασιλικὸς ἢ διότι κατήγετο ἀπὸ βασιλικὴν γενιάν, ἢ διότι εἶχε κάποιο ἀξίωμα ἐξουσίας. Μερικοὶ ἑρμηνευταὶ νομίζουν, ὅτι αὐτὸς εἶναι ὁ ἴδιος μ' ἐκεῖνον ποὺ ἀναφέρει ὁ Ματθαῖος. Ἀποδεικνύεται ὅμως ὅτι εἶναι διάφορος ἀπὸ ἐκεῖνον ὄχι μόνον ἀπὸ τὸ ἀξίωμα ἀλλὰ καὶ ἀπὸ τὴν πίστιν. Διότι ἐκεῖνος, μολονότι ὁ Χριστὸς ἤθελε νὰ εἰσέλθῃ εἰς τὴν οἰκίαν του, δὲν τὸν ἄφησε νὰ τὸ κάμῃ. Αὐτὸς ἐδῶ ὅμως καὶ χωρὶς ὁ Χριστὸς νὰ τὸ ὑποσχεθῇ τίποτε, τὸν σύρει εἰς τὴν οἰκίαν του. Καὶ ὁ μὲν πρῶτος εἶπε· «Δὲν εἶμαι ἄξιος διὰ νὰ εἰσέλθῃς κάτω ἀπὸ τὴν στέγην μου»[7], αὐτὸς ἐδῶ ὅμως ἐπείγεται λέγων, «Κατέβα, πρὶν πεθάνῃ τὸ παιδί μου». Καὶ εἰς τὴν πρώτην μὲν περίπτωσιν, ἀφοῦ κατῆλθεν ἀπὸ τὸ ὄρος, εἰσῆλθεν εἰς τὴν Καπερναούμ. Εἰς τὴν προκειμένην ὅμως περίπτωσιν, οὗτος ἔφθασεν, ὅταν ὁ Χριστὸς ἦλθεν εἰς τὴν Κανᾶ.

Τοῦ πρώτου ὁ δοῦλος ἦτο κατάκοιτος ἀπὸ παράλυσιν. Τοῦ δευτέρου ἀπὸ πυρετόν. «Καὶ ἀφοῦ ἐπῆγε, τὸν παρεκάλει νὰ θεραπεύσῃ τὸν υἱόν του. Διότι ἐκινδύνευε ν' ἀποθάνῃ». Τί ἀπήντησεν ὁ Χριστός; «Ἐὰν δὲν ἰδῆτε θαύματα καὶ τέρατα, δὲν θὰ πιστεύσετε». Καὶ τὸ ὅτι ἦλθε καὶ τὸν παρεκάλεσεν, ἦτο καὶ αὐτὸ ἀπόδειξις πίστεως. Καὶ μετὰ ἀπὸ αὐτὸ ὁ Εὐαγγελιστὴς μαρτυρεῖ τὸ ἑξῆς· Ὅταν δηλαδὴ ὁ Ἰησοῦς εἶπε, «Πήγαινε, ὁ υἱός σου ζῇ, ἐπίστευσεν εἰς τὸν λόγον του καὶ ἔφυγε». Τί σημαίνει αὐτό, ποὺ λέγει ἐδῶ; Ἢ ὅτι ἔλεγεν αὐτὸ πρὸς ἔπαινον τῶν Σαμαρειτῶν, ἐπειδὴ ἐπίστευσαν χωρὶς θαύματα, ἢ ἐπειδὴ ἤθελε νὰ διασύρῃ τὴν πόλιν Καπερναούμ, ποὺ ἐνομίζετο ὅτι ἦτο πατρίς του, ἀπὸ τὴν ὁποίαν κατήγετο. Ὅταν ἕνας ἄλλος εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ παρεκάλει λέγων, «Πιστεύω, Κύριε, βοήθησε τὴν ἀπιστίαν μου»[8], ὁ Χριστὸς ἀπήντησε μὲ τὰ ἴδια λόγια.

Ὥστε, παρ' ὅλον ὅτι ἐπίστευσε καὶ αὐτός, δὲν ἐπίστευσεν ὅμως πλήρως, οὔτε τελείως. Καὶ αὐτὸ ἀποδεικνύε-

ἀφῆκεν αὐτὸν ὁ πυρετός. Ἐβούλετο γὰρ μαθεῖν, εἴτε αὐτομάτως, εἴτε ἐκ τῆς ἐπιταγῆς τοῦ Χριστοῦ τοῦτο γέγονεν. «Ὡς οὖν ἔγνω ὅτι χθὲς ὥραν ἑβδόμην, ἐπίστευσε καὶ αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη». Ὁρᾷς ὅτι τότε ἐπίστευσεν, ὅτε οἱ παῖδες εἶπον, οὐχ ὅτε ὁ Χριστός; Τὴν διάνοιαν τοίνυν ἐλέγχει αὐτοῦ, μεθ' ἧς προσελθών, ταῦτα ἔλεγεν· οὕτω γὰρ μᾶλλον καὶ εἰς πίστιν ἀφείλκετο· πρὸ γὰρ τοῦ σημείου οὐ σφόδρα ἦν πεπιστευκώς. Εἰ δὲ καὶ ἦλθε καὶ παρεκάλεσε, θαυμαστὸν οὐδέν. Εἰώθασι γὰρ οἱ πατέρες ὑπὸ πολλῆς φιλίας οὐ μόνον οἷς θαρροῦσιν ἰατροῖς προσιέναι, ἀλλὰ καὶ οἷς μὴ θαρροῦσι διαλέγεσθαι, μηδὲν ὅλως παραλιπεῖν βουλόμενοι. Ἐπεὶ ὅτι ἐκ παρέργου προσῆλθεν, ὅτε ἦλθεν εἰς Γαλιλαίαν, τότε αὐτὸν εἶδεν· ὡς εἴ γε ἦν σφόδρα αὐτῷ πεπιστευκώς, οὐκ ἂν ὤκνησε, τοῦ παιδὸς μέλλοντος τελευτᾶν, εἰς τὴν Ἰουδαίαν ἐλθεῖν. Εἰ δὲ ἐδεδοίκει, οὐδὲ τοῦτο ἀνεκτόν.

Ὅρα γοῦν καὶ αὐτὰ τὰ ῥήματα πῶς ἐμφαίνει τὴν ἀσθένειαν τοῦ ἀνδρός. Δέον γὰρ εἰ καὶ μὴ πρότερον, ἀλλ' ὅμως μετὰ τὸ τὴν διάνοιαν ἐλέγξαι, μέγα τι φαντασθῆναι περὶ αὐτοῦ, ἄκουσον πῶς ἔτι χαμαὶ σύρεται. «Κατάβηθι», γάρ, φησί, «πρὶν ἢ ἀποθανεῖν τὸ παιδίον μου», ὡς οὐ δυναμένου μετὰ τὸν θάνατον αὐτὸν ἀναστῆσαι, καὶ ὡς οὐκ εἰδότος οἷα τὰ τοῦ παιδὸς πράγματα ἕστηκε. Διὰ τοῦτο αὐτὸν ἐλέγχει καὶ τοῦ συνειδότος καθάπτει· δεικνὺς ὅτι τὰ σημεῖα προηγουμένως τῆς ψυχῆς ἕνεκεν ἐγένετο. Ἐνταῦθα γὰρ οὐχ ἧττον τοῦ παιδὸς τὸν πατέρα ἀσθενοῦντα περὶ τὴν διάνοιαν

ται ἀπὸ τὸ ὅτι ἐζήτησε νὰ μάθη τὴν ὥραν κατὰ τὴν ὁποίαν ἄφησεν ὁ πυρετὸς τὸν υἱόν του. Διότι ἤθελε νὰ μάθῃ, ἂν αὐτὸ εἶχε γίνει ἀπὸ μόνο του ἢ κατόπιν τῆς διαταγῆς τοῦ Χριστοῦ. «Ὅταν λοιπὸν ἔμαθεν, ὅτι χθὲς περὶ τὴν ἑβδόμην ὥραν, ἐπίστευσε καὶ αὐτὸς καὶ ὅλη ἡ οἰκογένειά του». Βλέπεις, ὅτι ἐπίστευσε τότε ποὺ τὸν ἐβεβαίωσαν οἱ ὑπηρέται καὶ ὄχι ὅταν τοῦ εἶπεν ὁ Χριστός; Ἐλέγχει λοιπὸν τὴν σκέψιν του, μὲ τὴν ὁποίαν εἶχε προσέλθει λέγων ταῦτα. Διότι ἔτσι ἔφερεν αὐτὸν περισσότερον εἰς τὴν πίστιν. Διότι πρὶν ἀπὸ τὸ θαῦμα δὲν εἶχε πιστεύσει καὶ τόσον πολύ. Τὸ ὅτι ἦλθε καὶ παρεκάλεσε, δὲν εἶναι παράδοξον. Διότι οἱ γονεῖς συνηθίζουν νὰ πηγαίνουν ὄχι μόνον εἰς τοὺς ἰατρούς, μὲ τοὺς ὁποίους ἔχουν θάρρος ἕνεκα μεγάλης φιλίας, ἀλλὰ νὰ συζητοῦν καὶ μὲ ἐκείνους ποὺ δὲν ἔχουν θάρρος, ἐπειδὴ θέλουν νὰ μὴ παραλείψουν τίποτε. Ἐπὶ πλέον μὲ τὴν εὐκαιρίαν τῆς ἀφίξεως τοῦ Χριστοῦ εἰς τὴν Γαλιλαίαν, οὗτος ἦλθε πρὸς αὐτόν, μόλις τὸν εἶδεν. Ἐὰν ὅμως εἶχε πιστεύσει πολὺ εἰς αὐτόν, δὲν θὰ ἐδίσταζεν, ἀφοῦ τὸ παιδί του ἐκινδύνευε ν' ἀποθάνῃ, νὰ μεταβῇ εἰς τὴν Ἰουδαίαν. Ἐὰν τὸ ἐφοβεῖτο, οὔτε αὐτὸ ἠμπορεῖ νὰ συγχωρηθῇ.

Πρόσεχε καὶ τὰ ἴδια τὰ λόγια του, πῶς προδίδουν τὴν ἀδυναμίαν αὐτοῦ τοῦ ἀνθρώπου. Διότι ἐνῷ ἔπρεπεν, ἂν ὄχι προηγουμένως, τουλάχιστον μετὰ ἀπὸ ἔλεγχον τῆς σκέψεώς του, νὰ σκεφθῇ κάτι τὸ μεγάλο περὶ τοῦ Χριστοῦ, ἄκουσε πῶς ἀκόμη σύρεται χαμηλά. Διότι λέγει εἰς αὐτόν· «Κατέβα πρὶν ἀποθάνῃ τὸ παιδί μου», ἐπειδὴ ἐπίστευεν ὅτι ὁ Χριστὸς δὲν θὰ ἠμποροῦσε νὰ τὸ ἀναστήσῃ καὶ ἐπειδὴ ἐκεῖνος δὲν ἐγνώριζεν εἰς ποίαν κατάστασιν εὑρίσκετο τὸ παιδί. Διὰ τοῦτο ἐλέγχει αὐτὸν καὶ ἐπιπλήττει τὴν συνείδησίν του, ἀποδεικνύων ὅτι τὰ θαύματα γίνονται μάλιστα ἕνεκα τῆς ψυχῆς. Διότι ἐδῶ ἐκτὸς ἀπὸ τὸ παιδὶ θεραπεύει τὸν πατέρα, ποὺ ἦτο ἀσθενὴς κατὰ τὸν νοῦν, θέλων νὰ μᾶς πείσῃ ὅτι πρέπει νὰ προσέχωμεν εἰς αὐτὸν ὄχι μόνον ἀπὸ

θεραπεύει, πείθων ἡμᾶς μὴ ἀπὸ σημείων, ἀλλὰ ἀπὸ διδασκαλίας προσέχειν αὐτῷ. Τὰ σημεῖα γὰρ οὐ τοῖς πιστοῖς, ἀλλὰ τοῖς ἀπίστοις καὶ παχυτέροις.

3. Τότε μὲν οὖν ἀπὸ τοῦ πάθους οὐ σφόδρα προσεῖχε τοῖς λεγομένοις, ἢ μόνοις τοῖς περὶ τοῦ παιδός. Ὕστερον δὲ ἤμελλε τὸ λεχθὲν ἀναλαμβάνειν, καὶ τὰ μέγιστα ἐντεῦθεν κερδαίνειν· ὃ δὴ καὶ γέγονε. Τί δήποτε δὲ ἐπὶ μὲν τοῦ ἑκατοντάρχου αὐτεπάγγελτος ὑπέσχετο παραγίνεσθαι· ἐνταῦθα δὲ οὐδὲ καλούμενος ἄπεισιν; Ὅτι ἐκεῖ μὲν ἡ πίστις ἀπήρτιστο. Διὸ καὶ ὑπέσχετο ἀπιέναι, ἵνα μάθωμεν τοῦ ἀνδρὸς τὴν εὐγνωμοσύνην· ἐνταῦθα δὲ ὅτι οὗτος ἀτελὴς ἦν.

Ἐπεὶ οὖν ἄνω καὶ κάτω ἤπειγεν αὐτὸν λέγων, «Κατάβηθι», καὶ οὔπω ᾔδει σαφῶς ὅτι καὶ ἀπὼν δύναται θεραπεῦσαι, δείκνυσιν ὅτι καὶ τοῦτο δυνατὸν αὐτῷ, ἵν' ὅπερ οἴκοθεν ὁ ἑκατόνταρχος ἔσχε, τοῦτο οὗτος ἐκ τοῦ μὴ παραγενέσθαι τὸν Ἰησοῦν μάθῃ. Ὅταν οὖν εἴπῃ, «Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε», τοῦτο λέγει· ὅτι τὴν προσήκουσαν πίστιν οὐδέπω ἔχετε, ἀλλ' ἔτι ὡς περὶ προφήτου διάκεισθε. Ἐκκαλύπτων οὖν ἑαυτὸν καὶ δεικνὺς ὅτι καὶ χωρὶς σημείων ἔδει πιστευθῆναι αὐτόν, ἔλεγεν ἅπερ καὶ τῷ Φιλίππῳ φησίν· «Πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί; Εἰ δὲ μή, διὰ τὰ ἔργα πιστεύσατέ μοι».

«Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, ἀπήντησαν οἱ δοῦλοι αὐτοῦ λέγοντες, ὅτι ὁ παῖς σου ζῇ. Ἐπυνθάνετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχεν. Καὶ εἶπον αὐτῷ, ὅτι Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. Ἔγνω

9. Ἰω. 14, 10.

τὰ θαύματα, ἀλλὰ καὶ ἀπὸ τὴν διδασκαλίαν. Διότι τὰ θαύματα γίνονται ὄχι διὰ τοὺς πιστούς, ἀλλὰ διὰ τοὺς ἀπίστους καὶ ἀμαθεστέρους.

3. Τότε λοιπόν, ἐπειδὴ ὁ ἀξιωματοῦχος τοῦ βασιλέως κατείχετο ἀπὸ μεγάλην λύπην, δὲν ἐπρόσεχε πολὺ εἰς τὰ λόγια τοῦ Χριστοῦ, παρὰ μόνον εἰς ἐκεῖνα ποὺ ἀνεφέροντο εἰς τὸ παιδί του. Ἀργότερα ἐπρόκειτο νὰ καταλάβῃ τὰ λόγια του καὶ ὡς ἐκ τούτου νὰ ὠφεληθῇ. Τοῦτο, ὡς γνωστόν, εἶχεν ἤδη συμβῇ. Διατί λοιπὸν εἰς τὴν περίπτωσιν μὲν τοῦ ἑκατοντάρχου ὁ Χριστὸς ὑπεσχέθη νὰ μεταβῇ εἰς τὴν οἰκίαν του, τώρα ὅμως ἂν καὶ καλεῖται δὲν πηγαίνει; Διότι εἰς ἐκείνην μὲν τὴν περίπτωσιν ἡ πίστις εἶχεν ἤδη ἀπαρτισθῇ. Δι' αὐτὸ καὶ ὑπεσχέθη εἰς τὸν ἑκατόνταρχον, ὅτι θὰ μεταβῇ εἰς τὴν οἰκίαν του, διὰ νὰ μάθωμεν τὴν εὐσέβειαν τοῦ ἀνδρός. Ἐδῶ ὅμως, διότι ἡ πίστις δὲν ἦτο τελεία.

Ἐπειδὴ λοιπὸν ὁ ἀξιωματοῦχος τοῦ βασιλέως ἐπέμενε τόσον πολὺ λέγων εἰς τὸν Χριστὸν «Κατέβα» καὶ δὲν ἐγνώριζεν ἀκόμη καλά, ὅτι ἐκεῖνος ἠμπορεῖ ἀκόμη καὶ ἀπὼν νὰ θεραπεύσῃ, ἀποδεικνύει ὅτι καὶ αὐτὸ ἠμποροῦσε νὰ κάμῃ, ἵνα ἐκεῖνο ποὺ ὁ ἑκατόνταρχος ἤξευρεν ἀφ' ἑαυτοῦ, αὐτὸς θὰ τὸ μάθῃ ἀπὸ τὴν μὴ μετάβασιν τοῦ Ἰησοῦ εἰς τὴν οἰκίαν του. Ὅταν λοιπὸν ὁ Ἰησοῦς λέγῃ, «Ἐὰν δὲν ἰδῆτε θαύματα καὶ τέρατα, μὴ πιστεύετε» ἐννοεῖ τοῦτο, ὅτι δηλαδὴ δὲν ἔχετε ἀκόμη τὴν πρέπουσαν πίστιν, ἀλλὰ μὲ θεωρεῖτε ἀκόμη σὰν Προφήτην. Ἀποκαλύπτων λοιπὸν τὸν ἑαυτόν του καὶ δεικνύων, ὅτι ἔπρεπε νὰ γίνῃ πιστευτὸς χωρὶς θαύματα, ἔλεγεν ὅσα εἶχεν εἰπεῖ καὶ εἰς τὸν Φίλιππον· «Δὲν πιστεύεις, ὅτι ἐγὼ εἶμαι ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ εἶναι ἐν ἐμοί; Ἀλλοιῶς ἕνεκα αὐτῶν τῶν ἔργων πιστεύετέ με».

«Ἐνῷ δὲ αὐτὸς κατέβαινεν ἤδη, τὸν συνήντησαν οἱ δοῦλοι του καὶ τοῦ εἶπαν· Τὸ παιδί σου ζῇ. Ἐζήτησε λοιπὸν νὰ μάθῃ ἀπὸ αὐτοὺς τὴν ὥραν, ποὺ ἄφησεν ὁ πυρετὸς τὸ παιδί. Καὶ ἀπήντησαν εἰς αὐτόν, ὅτι χθὲς κατὰ τὴν ἑβδόμην ὥραν ἄφησεν ὁ πυρετὸς τὸ παιδί. Κατάλαβε λοι-

οὖν ὁ πατὴρ ὅτι ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι 'ὁ παῖς σου ζῇ'. Καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη». Ὁρᾷς πῶς τὸ θαῦμα δῆλον ἐγένετο; Οὐ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀπηλλάγη τοῦ κινδύνου, ἀλλὰ ἀθρόον, ὡς φαίνεσθαι μηκέτι φύσεως ἀκολουθίαν εἶναι τὸ γινόμενον, ἀλλὰ τῆς ἐνεργείας τοῦ Χριστοῦ. Πρὸς γὰρ αὐτὰς ἐλθὼν τοῦ θανάτου τὰς πύλας, ὡς καὶ ὁ πατὴρ ἐδήλωσεν εἰπών. «Κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον», ἀθρόον ἀπηλλάγη τῆς νόσου· ὅπερ οὖν καὶ τοὺς οἰκέτας διανέστησεν.

Ἐκεῖνοι μὲν γὰρ ἴσως οὐχ ὡς εὐαγγελιζόμενοι μόνον, ἀλλὰ καὶ ὡς περιττὴν λοιπὸν τοῦ Ἰησοῦ τὴν παρουσίαν εἶναι νομίσαντες, ἀπήντησαν· καὶ γὰρ ᾔδεσαν αὐτὸν ἐκεῖ παραγενόμενον· ὅθεν καὶ κατ' αὐτὴν αὐτῷ τὴν ὁδὸν περιέτυχον. Ὁ δὲ ἄνθρωπος, ἀνεθεὶς τοῦ φόβου, λοιπὸν πρὸς τὴν πίστιν διέκυψε, θέλων δεῖξαι ὅτι τῆς ὁδοῦ αὐτοῦ τὸ ἔργον γέγονε, καὶ φιλοτιμεῖται λοιπὸν ὥστε μὴ δόξαι εἰκῇ διεγηγέρθαι· ὅθεν μετὰ ἀκριβείας πάντα ἐμάνθανεν. «Καὶ ἐπίστευσεν αὐτός, καὶ ἡ οἰκία αὐτοῦ ὅλη». Καὶ γὰρ ἦν ἀναμφισβήτητος ἡ μαρτυρία λοιπόν. Οὐ γὰρ μὴ παρόντες, μηδὲ ἀκούσαντες τοῦ Χριστοῦ διαλεγομένου, μηδὲ τὸν καιρὸν εἰδότες, οὗτοι παρὰ τοῦ δεσπότου μαθόντες, ὅτι οὗτος ἦν ὁ καιρός, ἀναμφισβήτητον ἔσχον τὴν ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως· διὰ τοῦτο καὶ αὐτοὶ ἐπίστευσαν.

Τί τοίνυν ἀπὸ τούτων παιδευόμεθα; Μὴ θαύματα περιμένειν, μηδὲ ἐνέχυρα ζητεῖν τῆς τοῦ Θεοῦ δυνάμεως. Ὁρῶ γὰρ καὶ νῦν πολλοὺς τότε εὐλαβεστέρους γινομένους, ὅταν ἢ τοῦ παιδὸς κακουμένου ἢ γυναικὸς ἀρρωστούσης, παραμυθίας τινὸς ἀπολαύσωσι. Χρὴ δὲ καὶ μὴ τυγχάνοντας παραμένειν ὁμοίως εὐχαριστοῦντας, δοξάζοντας. Τοῦτο γὰρ οἰκετῶν εὐγνωμόνων ἐστί· τοῦτο στερρῶν τε καὶ φιλούντων, ὡς

πὸν ὁ πατήρ, ὅτι κατὰ τὴν ὥραν ἐκείνην, ποὺ τοῦ εἶπεν ὁ Ἰησοῦς, Τὸ παιδί σου ζῇ, ἐθεραπεύθη. Καὶ ἐπίστευσεν αὐτὸς καὶ ὅλη ἡ οἰκογένειά του». Βλέπεις κατὰ ποῖον τρόπον ἔγινε φανερὸν τὸ θαῦμα; Δὲν ἐγλύτωσε τὸ παιδὶ ἀπὸ τὸν κίνδυνον κατὰ κοινὸν τρόπον, οὔτε τυχαῖα, ἀλλ' ἀμέσως, ὥστε νὰ φανῇ ὅτι αὐτὸ ποὺ ἔγινε δὲν ἦτο ἀποτέλεσμα τῆς φύσεως, ἀλλὰ τῆς ἐνεργείας τοῦ Χριστοῦ. Διότι ἐνῷ τὸ παιδὶ εἶχε φθάσει εἰς τὰ πρόθυρα τοῦ θανάτου, ὅπως ἐδήλωσε καὶ ὁ πατήρ, ὅταν εἶπεν εἰς τὸν Χριστόν, «Κατέβα, πρὶν ἀποθάνῃ τὸ παιδί», ἐγλύτωσεν ἀμέσως ἀπὸ τὴν νόσον, πρᾶγμα τὸ ὁποῖον ἔκαμεν ἐντύπωσιν καὶ εἰς τοὺς δούλους.

Διότι οἱ μὲν δοῦλοι ἦλθον εἰς προϋπάντησιν τοῦ κυρίου των ὄχι μόνον διὰ νὰ τοῦ δώσουν τὴν εὐχάριστον εἴδησιν ἀλλὰ καὶ διότι ἴσως ἐθεώρησαν περιττὴν τὴν παρουσίαν τοῦ Χριστοῦ. Διότι ἐγνώριζαν, ὅτι αὐτὸς θὰ ἔφθανεν ἐκεῖ. Δι' αὐτὸ καὶ συνήντησαν τὸν κύριόν των καθ' ὁδόν. Αὐτὸς ὅμως, ἀφοῦ ἀπέβαλε τὸν φόβον, προσῆλθεν εἰς τὴν πίστιν, ἐπειδὴ ἤθελε ν' ἀποδείξῃ ὅτι αὐτὸ τὸ ἔργον εἶχεν ἐπιτελεσθῆ δι' αὐτῆς τῆς ὁδοῦ καὶ προσπαθεῖ μὲ κάθε τρόπον νὰ μὴ φανῇ ὅτι ματαίως εἶχε κάμει τόσην πορείαν. Δι' αὐτὸ ἐζήτει νὰ τὰ μάθῃ ὅλα λεπτομερῶς. «Καὶ ἐπίστευσεν αὐτὸς καὶ ὅλη ἡ οἰκογένειά του». Διότι ἡ μαρτυρία ἦτο ἀναμφισβήτητος. Διότι ἐκεῖνοι ποὺ δὲν ἦσαν παρόντες, οὔτε ἤκουσαν τὸν Χριστὸν νὰ ὁμιλῇ, οὔτε ἐγνώριζαν τὸν χρόνον, ὅταν ἔμαθαν ἀπὸ τὸν κύριόν τους ὅτι αὐτὸς ἦτο ὁ χρόνος, εἶχαν ἀναμφισβήτητον ἀπόδειξιν τῆς δυνάμεως τοῦ Χριστοῦ. Διὰ τοῦτο ἐπίστευσαν καὶ αὐτοί.

Τί διδασκόμεθα λοιπὸν ἀπὸ αὐτά; Νὰ μὴ ζητῶμεν θαύματα οὔτε τεκμήρια τῆς δυνάμεως τοῦ Θεοῦ. Διότι βλέπω ὅτι καὶ τώρα πολλοὶ διὰ νὰ ἐπιτύχουν κάποιαν παρηγορίαν, τότε γίνονται εὐσεβέστεροι, ὅταν ἢ τὸ παιδί των κακοπαθαίνῃ ἢ ἡ γυναίκα των εἶναι ἄρρωστη. Πρέπει ὅμως καὶ ἐκεῖνοι ποὺ δὲν ἐπιτυγχάνουν, ἐξ ἴσου νὰ μένουν σταθεροὶ εὐχαριστοῦντες καὶ δοξάζοντες τὸν Θεόν. Διότι αὐτὸ εἶναι

χρή, τὸν Δεσπότην, μὴ μόνον ἀνιεμένους, ἀλλὰ καὶ μαστιζομένους προστρέχειν αὐτῷ.

Καὶ γὰρ καὶ ταῦτα τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργα. «Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν», φησίν, «ὃν παραδέχεται». Ὅταν δὲ ἐν ἀνέσει τις αὐτὸν θεραπεύῃ μόνον, οὐ πολλῆς ἐπιδείκνυται ἀγάπης σημεῖα, οὐδὲ καθαρῶς φιλεῖ τὸν Χριστόν. Καὶ τί λέγω ὑγίειαν καὶ χρημάτων ἀφθονίαν, ἢ πενίαν ἢ νόσον; Κἂν γὰρ γέενναν ἀκούσῃς κἂν ἕτερον χαλεπὸν οὐδὲ οὕτως ἀφίστασθαι χρὴ τῆς περὶ τὸν Δεσπότην εὐφημίας· ἀλλὰ πάντα πάσχειν καὶ φέρειν ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης. Τοῦτο γὰρ καὶ οἰκετῶν εὐγνωμόνων καὶ ψυχῆς ἀκλινοῦς· καὶ ὁ τοῦτον διακείμενος τὸν τρόπον, καὶ τὰ παρόντα διοίσει ῥᾳδίως, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν καὶ πολλῆς ἀπολαύσεται παρὰ τῷ Θεῷ παρρησίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀπόδειξις τῶν πιστῶν ὑπηρετῶν. Αὐτὸ εἶναι ἀπόδειξις ἐκείνων ποὺ εἶναι σταθεροὶ καὶ ἀγαποῦν, ὅπως πρέπει, τὸν Θεόν, τὸ νὰ προστρέχουν δηλαδὴ εἰς αὐτὸν ὄχι μόνον, ὅταν εὐτυχοῦν, ἀλλὰ καὶ ὅταν δυστυχοῦν.

Διότι καὶ αὐτὰ εἶναι ἔργα τῆς φροντίδος τοῦ Θεοῦ. Δι' αὐτὸ λέγει ὁ Ἀπόστολος· «Διότι ἐκεῖνον ποὺ ἀγαπᾷ ὁ Κύριος τὸν παιδαγωγεῖ καὶ μαστιγώνει κάθε υἱὸν τὸν ὁποῖον δέχεται»[10]. Ὅταν λοιπὸν λατρεύῃ κανεὶς τὸν Χριστὸν μόνον ὅταν εὐτυχῇ, δὲν παρέχει πολλὰ σημεῖα ἀγάπης, οὔτε τὸν ἀγαπᾷ καθαρά. Καὶ τί νὰ εἰπῶ διὰ τὴν ὑγείαν, διὰ τὸν πλοῦτον ἢ διὰ τὴν πενίαν ἢ διὰ τὴν νόσον; Διότι καὶ ἂν ἀκούσῃς διὰ τὴν γέενναν ἢ διὰ κάτι φοβερώτερον, οὔτε τότε δὲν πρέπει νὰ παύσῃς νὰ δοξάζῃς τὸν Κύριον, ἀλλὰ ὅλα νὰ τὰ πάσχῃς καὶ νὰ τὰ ὑποφέρῃς ἕνεκα τῆς ἀγάπης σου πρὸς αὐτόν. Διότι αὐτὸ εἶναι ἀπόδειξις καὶ τῶν πιστῶν δούλων καὶ τῆς ἀκάμπτου ψυχῆς. Καὶ ἐκεῖνος ποὺ ἔχει τέτοιαν διάθεσιν καὶ τὰ παρόντα θὰ τακτοποιήσῃ εὐκόλως καὶ θὰ ἐπιτύχῃ τὰ μέλλοντα ἀγαθὰ καὶ θ' ἀπολαύσῃ τῆς μεγάλης ἐμπιστοσύνης τοῦ Θεοῦ. Ταύτην εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΣΤ΄.

'Ιω. 4,54 - 5,6

«Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ 'Ιησοῦς, ἐλθὼν ἐκ τῆς 'Ιουδαίας εἰς τὴν Γαλιλαίαν. Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν 'Ιουδαίων καὶ ἀνέβη ὁ 'Ιησοῦς εἰς 'Ιεροσόλυμα».

1. Καθάπερ ἐν τοῖς μετάλλοις τοῦ χρυσίου οὐδὲ τὴν βραχυτάτην φλέβα παριδεῖν ἄν τις ἀνάσχοιτο τῶν περὶ ταῦτα δεινῶν, ἅτε πολὺν ἐργαζομένην πλοῦτον, οὕτω καὶ ἐν τοῖς θείαις Γραφαῖς ἰῶτα ἓν ἢ μίαν κεραίαν οὐκ ἀζήμιον παραδραμεῖν, ἀλλὰ πάντα διερευνᾶσθαι χρή. Πνεύματι γὰρ ἁγίῳ πάντα εἴρηται καὶ οὐδὲν παρέλκον ἐν αὐταῖς. Σκόπει γοῦν καὶ ἐνταῦθα τί φησιν ὁ εὐαγγελιστής· «Τοῦτο πάλιν δεύτερον ἐποίησε σημεῖον ὁ 'Ιησοῦς, ἐλθὼν ἐκ τῆς 'Ιουδαίας εἰς τὴν Γαλιλαίαν». Οὐδὲ γὰρ τό· «Δεύτερον», ἁπλῶς προσέθηκεν, ἀλλ' ἔτι τὸ θαῦμα τῶν Σαμαρειτῶν ἐπαίρει, δεικνὺς ὅτι καὶ δευτέρου σημείου γενομένου, οὐδέπω πρὸς τὸ ὕψος ἐκείνων ἔφθασαν οὗτοι οἱ τεθεαμένοι τῶν οὐδὲν ἑωρακότων.

«Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν 'Ιουδαίων». Ποία ἑορτή; 'Εμοὶ δοκεῖ, ἡ τῆς Πεντηκοστῆς. «Καὶ ἀνέβη ὁ 'Ιησοῦς εἰς 'Ιεροσόλυμα». Συνεχῶς ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τῇ πόλει· τοῦτο μέν, ἵνα δόξῃ μετ' αὐτῶν ἑορτάζειν, τοῦτο δέ, ἵνα τὸ πλῆθος ἐπισπάσηται τὰ ἄδολον. Μάλιστα γὰρ ἐν ταῖς ἡμέραις ταύταις οἱ ἀφελέστερον διακείμενοι συνέτρεχον.

«Ἔστι δὲ ἐν τοῖς 'Ιεροσολύμοις προβατικὴ κολυμβήθρα, ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. 'Εν ταύταις κατέκειτο πολὺ πλῆθος τῶν ἀσθενούντων, χωλῶν, τυφλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Τίς

---

1. 'Ιω. 4, 54.

ΟΜΙΛΙΑ ΛΣΤ΄.

'Ιω. 4,54 - 5,6

«Αὐτὸ εἶναι τὸ δεύτερον θαῦμα ποὺ ἔκαμεν ὁ 'Ιησοῦς, ὅταν ἦλθεν ἀπὸ τὴν 'Ιουδαίαν εἰς τὴν Γαλιλαίαν. Ὕστερ' ἀπὸ αὐτὰ ἦτο ἑορτὴ τῶν 'Ιουδαίων καὶ ἀνέβη ὁ 'Ιησοῦς εἰς τὰ 'Ιεροσόλυμα»[1].

1. Ὅπως ἀκριβῶς εἰς τὰ μέταλλα τοῦ χρυσοῦ δὲν ἠμπορεῖ νὰ παραμελήσῃ κανεὶς οὔτε τὴν μικροτέραν φλέβαν, ἐπειδὴ καὶ ἀπὸ αὐτὴν ἀκόμη ἠμπορεῖ ν' ἀντλήσῃ πολὺν πλοῦτον, ἔτσι καὶ ἀπὸ τὰς θείας Γραφὰς δὲν ἠμπορεῖς νὰ παραλείψῃς χωρὶς ζημίαν οὔτε ἕνα ἰῶτα ἢ μίαν κεραίαν, ἀλλὰ πρέπει νὰ διερευνᾷς τὰ πάντα. Διότι ὅλα ἔχουν λεχθῆ ἀπὸ τὸ ἅγιον Πνεῦμα καὶ δὲν ὑπάρχει εἰς αὐτὰς τίποτε τὸ περιττόν. Πρόσεξε λοιπόν, τί λέγει ἐδῶ ὁ Εὐαγγελιστής· «Αὐτὸ εἶναι τὸ δεύτερον θαῦμα ποὺ ἔκαμεν ὁ 'Ιησοῦς, ὅταν ἦλθεν ἀπὸ τὴν 'Ιουδαίαν εἰς τὴν Γαλιλαίαν». Δὲν ἐπρόσθεσε τυχαίως τὴν λέξιν «δεύτερον», ἀλλ' ἐξαίρει ἀκόμη τὸ θαῦμα τῶν Σαμαρειτῶν, διὰ ν' ἀποδείξῃ ὅτι, ἂν καὶ ἔγινε δεύτερον θαῦμα, αὐτοὶ ἐδῶ ποὺ τὸ εἶδαν, δὲν ἔφθασαν ποτὲ εἰς τὸ ὕψος ἐκείνων, παρ' ὅλον ὅτι δὲν εἶχαν ἰδεῖ τίποτε.

«Ὕστερα ἀπὸ αὐτὰ ἦτο ἡ ἑορτὴ τῶν 'Ιουδαίων». Ποία ἑορτή; Ἐγὼ νομίζω ἡ ἑορτὴ τῆς Πεντηκοστῆς. «Καὶ ἀνέβη ὁ 'Ιησοῦς εἰς τὰ 'Ιεροσόλυμα». Κατὰ τὰς ἑορτὰς ἔμενε συνήθως εἰς τὴν πόλιν, ἀφ' ἑνὸς μὲν διὰ νὰ φαίνεται ὅτι ἑορτάζει μαζί των, ἀφ' ἑτέρου δὲ διὰ νὰ προσελκύῃ εἰς τὴν πίστιν τὸν ἁπλοῦν λαόν. Καὶ μάλιστα κατ' ἐκείνας τὰς ἡμέρας συνέρρεαν εἰς τὴν πόλιν οἱ ἀφελέστεροι.

«Ὑπάρχει δὲ εἰς τὰ 'Ιεροσόλυμα πλησίον τῆς πύλης τῶν Προβάτων μιὰ δεξαμενή, ἡ ὁποία ὀνομάζεται ἑβραϊστὶ Βηθεσδὰ καὶ ἡ ὁποία ἔχει πέντε στοάς. Εἰς αὐτὰς ἦτο ἐξαπλωμένος μεγάλος ἀριθμὸς ἀσθενῶν, τυφλῶν, χωλῶν, παραλυτικῶν, οἱ ὁποῖοι ἐπερίμεναν νὰ κινηθῇ τὸ ὕδωρ». Ποῖος

ὁ τῆς θεραπείας τρόπος οὗτος; ποῖον ἡμῖν μυστήριον αἰνίττεται; Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ἀναγέγραπται, ἀλλὰ τὰ μέλλοντα ἡμῖν ὡς ἐν εἰκόνι καὶ τύπῳ ὑπογράφει, ὥστε μὴ τὸ σφόδρα παράδοξον, ἀπροσδόκητον παραγενόμενον, λυμήνασθαι παρὰ τοῖς πολλοῖς τῇ τῆς πίστεως δυνάμει.

Τί οὖν ἐστιν ὃ ὑπογράφει; Ἔμελλε βάπτισμα δίδοσθαι, πολλὴν δύναμιν ἔχον καὶ δωρεὰν μεγίστην, βάπτισμα πάσας ἁμαρτίας καθαῖρον καὶ ἀντὶ νεκρῶν ζῶντας ποιοῦν. Καθάπερ οὖν ἐν εἰκόνι προγράφεται ταῦτα τῇ κολυμβήθρᾳ καὶ ἑτέροις πλείοσι. Καὶ πρῶτον μὲν δέδωκεν ὕδωρ, καθαῖρον σωμάτων κηλῖδας, καὶ μολυσμοὺς οὐκ ὄντας, ἀλλὰ δοκοῦντας εἶναι, οἷον τοὺς ἀπὸ κηδείας, τοὺς ἀπὸ λέπρας, τοὺς ἀπὸ τοιούτων ἑτέρων· καὶ πολλὰ ἄν τις ἴδοι δι' ὕδατος γεγονότα ἐπὶ τῆς Παλαιᾶς, ταύτης ἕνεκεν τῆς προφάσεως.

Πλὴν ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἴωμεν νῦν. Πρῶτον μὲν οὖν, ὡς ἔφθην εἰπών, μολυσμοὺς σωμάτων, ἔπειτα δὲ καὶ ἀρρωστήματα διάφορα δι' ὕδατος ποιεῖ λύεσθαι. Βουλόμενος γὰρ ἡμᾶς ὁ Θεὸς ἐγγύτερον ἀγαγεῖν τῆς τοῦ βαπτίσματος δωρεᾶς, οὐκ ἔτι μολυσμοὺς ἁπλῶς μόνον, ἀλλὰ καὶ νόσους ἰᾶται. Αἱ γὰρ ἐγγύτεραι τῆς ἀληθείας εἰκόνες, καὶ ἐπὶ τοῦ βαπτίσματος καὶ ἐπὶ τοῦ πάθους καὶ ἐπὶ τῶν ἄλλων, τρανότεραι τῶν ἀρχαιοτέρων ἦσαν. Καθάπερ γὰρ οἱ τοῦ βασιλέως ἐγγὺς τῶν πόρρωθέν εἰσι λαμπρότεροι δορυφόρων· οὕτω δὴ καὶ ἐπὶ τῶν τύπων ἐγίνετο.

Καὶ ἄγγελος καταβαίνων ἐτάραττε τὸ ὕδωρ καὶ ἰαματικὴν ἐνετίθει δύναμιν, ἵνα μάθωσιν Ἰουδαῖοι, ὅτι πολλῷ μᾶλλον ὁ τῶν ἀγγέλων Δεσπότης πάντα τὰ νοσήματα τῆς ψυχῆς ἰᾶσθαι δύναται. Ἀλλ' ὥσπερ ἐνταῦθα οὐχ ἁπλῶς ἰᾶτο τῶν ὑδάτων ἡ φύσις (ἢ γὰρ ἂν διαπαντὸς τοῦτο ἐγί-

τρόπος θεραπείας εἶναι αὐτός; Ποῖον μυστήριον ὑπαινίσσεται; Διότι αὐτὰ δὲν ἐγράφησαν χωρὶς αἰτίαν καὶ τυχαίως, ἀλλὰ περιγράφει τὰ μέλλοντα σὰν μίαν ἀπεικόνισιν καὶ ἀναπαράστασιν, διὰ νὰ μὴ βλάψῃ τὴν δύναμιν τῆς πίστεως τῶν πολλῶν αὐτὸ τὸ πολὺ παράδοξον καὶ ἀπροσδόκητον ποὺ συνέβαινεν.

Τί εἶναι λοιπὸν αὐτὸ ποὺ περιγράφει; Ἐπρόκειτο νὰ δοθῇ βάπτισμα, τὸ ὁποῖον ἦτο πλῆρες δυνάμεως καὶ χάριτος, βάπτισμα τὸ ὁποῖον ἐκαθάρισεν ὅλας τὰς ἁμαρτίας καὶ ἀπὸ νεκροὺς τοὺς ἔκαμνε ζωντανούς. Αὐτὰ περιγράφονται ὅπως εἰς μίαν ἀπεικόνισιν καὶ διὰ τὴν δεξαμενὴν καὶ δι' ἄλλα πολλά. Καὶ κατὰ πρῶτον ἔδωσε τὸ ὕδωρ, τὸ ὁποῖον καθαρίζει τὰς κηλῖδας τῶν σωμάτων καὶ τοὺς μὴ ἀληθινοὺς μολυσμούς, ὅπως ἐκείνους ποὺ προέρχονται ἀπὸ τὴν κηδείαν, ἀπὸ τὴν λέπραν καὶ ἀπὸ ἄλλα παρόμοια. Καὶ ἠμπορεῖ νὰ ἰδῇ κανεὶς εἰς τὴν Παλαιὰν Διαθήκην ὅτι ἔχουν γίνει πολλὰ θαύματα ἕνεκα αὐτῆς τῆς αἰτίας.

Ἀλλ' ἂς ἐπανέλθωμεν εἰς τὸ προκείμενον. Κατὰ πρῶτον, ὅπως εἶπα μόλις, ἀπὸ μολυσμοὺς σωμάτων καὶ ἀπὸ διαφόρους ἀσθενείας μᾶς ἀπαλλάσσει διὰ τοῦ ὕδατος. Ἐπειδὴ δηλαδὴ ὁ Θεὸς ἤθελε νὰ μᾶς φέρῃ πλησιέστερον πρὸς τὴν χάριν τοῦ βαπτίσματος θεραπεύει ὄχι πλέον μόνον μολυσμοὺς ἀλλὰ καὶ νοσήματα. Διότι αἱ ἀπεικονίσεις ποὺ πλησιάζουν περισσότερον τὴν ἀλήθειαν φαίνονται καθαρώτερα εἰς τὸ βάπτισμα, εἰς τὸ πάθος καὶ εἰς τὰ ἄλλα ἀπὸ τὰς παλαιοτέρας. Ὅπως δηλαδὴ ἀπὸ τοὺς δορυφόρους τοῦ βασιλέως εἶναι ἐμφανέστεροι αὐτοὶ ποὺ εὑρίσκονται πλησίον του ἀπὸ ἐκείνους ποὺ εὑρίσκονται μακράν, ἔτσι συμβαίνει καὶ εἰς τὰς εἰκόνας.

Καὶ ἕνας ἄγγελος ποὺ κατέβαινε, ἐτάρασσε τὸ ὕδωρ καὶ τοῦ ἔδιδε θεραπευτικὴν δύναμιν, διὰ νὰ μάθουν οἱ Ἰουδαῖοι, ὅτι ὁ Κύριος τῶν ἀγγέλων ἠμποροῦσε πολὺ περισσότερον νὰ θεραπεύῃ τὰ νοσήματα τῆς ψυχῆς. Ἀλλ' ὅπως ἐδῶ δὲν ἐθεράπευε μόνον ἡ ἰδιότης τῶν ὑδάτων (διότι

νετο), ἀλλ' ἐπὶ τῇ τοῦ ἀγγέλου ἐνεργείᾳ, οὕτω καὶ ἐφ' ἡμῶν οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τὴν τοῦ Πνεύματος δέξηται χάριν, τότε ἅπαντα λύει τὰ ἁμαρτήματα.

Περὶ ταύτην τὴν κολυμβήθραν «Κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν ἐκ τοῦ ὕδατος κίνησιν». Ἀλλὰ τότε μὲν ἡ ἀσθένεια κώλυμα τῷ βουλομένῳ θεραπευθῆναι ἐγίνετο· νῦν δὲ κύριος ἕκαστός ἐστι προσελθεῖν. Οὐ γὰρ ἄγγελός ἐστιν ὁ ταράσσων, ἀλλὰ ὁ τῶν ἀγγέλων Δεσπότης ὁ τὸ πᾶν ἐργαζόμενος. Καὶ οὐκ ἔστιν εἰπεῖν· (Νῦν τὸν κάμνοντα ἄνθρωπον οὐκ ἔχω· οὐκ ἔστιν εἰπεῖν). Ἐν ᾧ ἔρχομαι κατελθεῖν, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Ἀλλὰ κἂν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐκ ἀναλίσκεται, οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὁμοία μένει καὶ τοιαύτη, οἵα καὶ πρὸ τούτου. Καὶ καθάπερ αἱ ἡλιακαὶ ἀκτῖνες καθ' ἑκάστην φωτίζουσι τὴν ἡμέραν καὶ οὐ δαπανῶνται, οὐδὲ ἀπὸ τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τὸ φῶς· οὕτω καὶ πολλῷ μᾶλλον ἡ τοῦ Πνεύματος ἐνέργεια οὐδὲν ἐλαττοῦται παρὰ τὸ πλῆθος τῶν ἀπολαυόντων αὐτῆς. Τοῦτο δὲ ἐγίνετο ἵνα οἱ μαθόντες ὅτι ἐν ὕδατι νοσήματα σώματος ἔνι θεραπεῦσαι, καὶ τούτῳ πολὺν ἐγγυμνασθέντες χρόνον, ῥᾳδίως πιστεύσωσιν, ὅτι καὶ νοσήματα ψυχῆς ἰᾶσθαι δύναται.

Καὶ τί δήποτε πάντας ἀφεὶς ὁ Ἰησοῦς, ἐπὶ τὸν τριακονταοκτὼ ἔτη ἔχοντα ἦλθε; τί δὲ καὶ ἐρωτᾷ, «Θέλεις ὑγιὴς γενέσθαι;». Οὐχ ἵνα μάθῃ (τοῦτο γὰρ παρέλκον ἦν), ἀλλ' ἵνα δείξῃ τοῦ τοιούτου τὴν καρτερίαν καὶ ἵνα γνῶμεν ὅτι διὰ τοῦτο τοὺς ἄλλους ἀφείς, ἐπὶ τοῦτον ἦλθε. Τί οὖν ὁ ἀσθενῶν; «Ἀπεκρίθη αὐτῷ καὶ λέγει, Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει».

τοῦτο πάντοτε τὸ ἔκαμνεν), ἀλλ' ἡ ἐνέργεια τοῦ ἀγγέλου, ἔτσι καὶ εἰς ἡμᾶς δὲν ἐνεργεῖ μόνον τὸ ὕδωρ, ἀλλ' ὅταν δεχθῇ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, τότε συγχωρεῖ ὅλας τὰς ἁμαρτίας μας.

Πλησίον αὐτῆς τῆς δεξαμενῆς «ἦτο ξαπλωμένος μεγάλος ἀριθμὸς ἀσθενῶν, τυφλῶν, χωλῶν, παραλυτικῶν, οἱ ὁποῖοι ἐπερίμεναν νὰ κινηθῇ τὸ ὕδωρ». Ἀλλὰ τότε μὲν ἡ ἀσθένεια ἦτο ἐμπόδιον δι' ἐκεῖνον ποὺ ἤθελε νὰ θεραπευθῇ. Τώρα ὅμως ὁ καθεὶς ἔχει τὴν ἐξουσίαν νὰ προσέλθῃ. Διότι δὲν εἶναι ὁ ἄγγελος ποὺ ταράσσει τὸ ὕδωρ, ἀλλ' ὁ Κύριος τῶν ἀγγέλων ὁ ὁποῖος κατορθώνει τὰ πάντα. Καὶ δὲν ἠμπορεῖ νὰ ἰσχυρισθῇ· Τώρα δὲν ἔχω τὸν ἀσθενῆ. Δὲν ἠμπορεῖ νὰ ἰσχυρισθῇ αὐτό. Ἐνῷ ἐγὼ ἑτοιμάζομαι νὰ κατεβῶ, μὲ προλαμβάνει καὶ κατεβαίνει ἄλλος. Ἀλλὰ καὶ ἂν ἔλθῃ ὁλόκληρος ἡ οἰκουμένη, ἡ χάρις δὲν τελειώνει οὔτε ἡ ἐνέργεια ἐξοδεύεται, ἀλλὰ μένει ἡ ἰδία καὶ μάλιστα ὅπως ἦτο προηγουμένως. Καὶ ὅπως αἱ ἀκτῖνες τοῦ ἡλίου φωτίζουν κάθε ἡμέραν καὶ δὲν ἐξοδεύονται οὔτε ἀπὸ τὴν μεγάλην παροχὴν ἐλαττώνεται τὸ φῶς των, ἔτσι καὶ πολὺ περισσότερον δὲν ἐλαττώνεται ἡ ἐνέργεια τοῦ ἁγίου Πνεύματος ἕνεκα τοῦ πλήθους ποὺ τὴν ἀπολαύει. Αὐτὸ δὲ ἔγινε, διὰ νὰ πιστεύσουν εὐκόλως ἐκεῖνοι ποὺ ἤξευραν ὅτι ἠμποροῦσαν νὰ θεραπεύσουν τὰ νοσήματα τοῦ σώματος καὶ οἱ ὁποῖοι ἐπὶ πολὺν χρόνον ἠσκοῦντο δι' αὐτό, ὅτι εἶναι δυνατὸν νὰ θεραπεύσουν καὶ τὰ νοσήματα τῆς ψυχῆς.

Καὶ διατί ὁ Ἰησοῦς ἀφοῦ ἄφησε τοὺς ἄλλους ἐπλησίασε τὸν ἀσθενῆ τῶν τριάκοντα ὀκτὼ ἐτῶν καὶ διατί τὸν ἠρώτησε, «Θέλεις νὰ γίνῃς ὑγιής;». Ὄχι διὰ νὰ μάθῃ (διότι τοῦτο ἦτο περιττόν), ἀλλὰ διὰ νὰ δείξῃ τὴν καρτερίαν του καὶ διὰ νὰ καταλάβωμεν, ὅτι δι' αὐτὸ ἄφησε τοὺς ἄλλους καὶ ἐπῆγεν εἰς αὐτόν. Τί ἔκαμεν ὁ ἀσθενής; «Ἀπεκρίθη εἰς αὐτὸν καὶ εἶπε· Κύριε, δὲν ἔχω ἄνθρωπον νὰ μὲ βάλῃ εἰς τὴν δεξαμενήν, ὅταν ταραχθῇ τὸ ὕδωρ, καὶ ἐνῷ ἔρχομαι, κατεβαίνει ἄλλος πρὶν ἀπὸ ἐμέ». Δι' αὐτὸ ὁ Χριστὸς

Διὰ τοῦτο ἠρώτησε· «Θέλεις ὑγιὴς γενέσθαι;», ἵνα ταῦτα μάθωμεν. Καὶ οὐκ εἶπεν αὐτῷ, Θέλεις σε θεραπεύσω; οὐδὲν γὰρ οὐδέπω μέγα ἐφαντάζετο περὶ αὐτοῦ· ἀλλά, «Θέλεις ὑγιὴς γενέσθαι;».

Ἔκπληκτος ἡ καρτερία τοῦ παραλύτου· ἔτη τριακονταοκτὼ ἔχων καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος προσδοκῶν προσήδρευέ τε καὶ οὐκ ἀφίστατο. Εἰ γὰρ μὴ τὰ παρελθόντα, τὰ γοῦν μέλλοντα οὐχ ἱκανὰ ἦν αὐτόν, εἰ μὴ καρτερικὸς ἦν, ἀπαγαγεῖν τοῦ τόπου; Ἐννόησον δέ μοι, πῶς εἰκὸς ἦν ἐκεῖ καὶ τοὺς λοιποὺς τοὺς κάμνοντας νήφειν. Οὐδὲ γὰρ δῆλος ἦν ὁ καιρὸς καθ' ὃν ἐτινάσσετο τὸ ὕδωρ· ἀλλ' οἱ μὲν χωλοὶ καὶ κυλλοὶ ἠδύναντο παρατηρεῖν· οἱ δὲ τυφλοὶ πῶς ἑώρων; ἀπὸ τοῦ γινομένου θορύβου τοῦτο ἴσως ἐμάνθανον.

2. Αἰσχυνθῶμεν τοίνυν, αἰσχυνθῶμεν, ἀγαπητοί, καὶ στενάξωμεν ἐπὶ τῇ πολλῇ ῥαθυμίᾳ. Τριακονταοκτὼ ἔτη εἶχε προσεδρεύων ἐκεῖνος, καὶ οὐκ ἐτύγχανεν ὧν ἐβούλετο, καὶ οὐκ ἀφίστατο· καὶ οὐκ ἐτύγχανεν, οὐ παρὰ τὴν οἰκείαν ἀμέλειαν, ἀλλ' ἐπηρεαζόμενος παρ' ἑτέρων καὶ βίαν πάσχων, καὶ οὐδὲ οὕτως ἐνάρκα· ἡμεῖς δὲ ἐὰν δέκα ἡμέρας προσεδρεύσωμεν σπουδαίως ὑπέρ τινος παρακαλοῦντες, καὶ μὴ τύχωμεν, ὀκνοῦμεν λοιπὸν τῇ αὐτῇ κεχρῆσθαι σπουδῇ. Καὶ ἀνθρώποις μὲν τοσοῦτον προσεδρεύομεν χρόνον, στρατευόμενοι καὶ ταλαιπωρούμενοι, καὶ διακονοῦντες δουλοπρεπεῖς διακονίας, καὶ πρὸς τῷ τέλει πολλάκις καὶ αὐτῆς τῆς ἐλπίδος ἐκπίπτοντες· τῷ δὲ Δεσπότῃ τῷ ἡμετέρῳ, ἔνθα πάντως ἐστὶν ἀπολαβεῖν τὴν ἀμοιβὴν πολλῷ μείζω τῶν πόνων («Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει», φησίν), οὐκ ἀνεχόμεθα προσεδρεύειν μετὰ τῆς προσηκούσης σπουδῆς.

Καὶ πόσης ταῦτα κολάσεως ἄξια; Εἰ γὰρ καὶ μηδὲν

---

2. Ρωμ. 5, 5.

τὸν ἠρώτησε· «Θέλεις νὰ γίνῃς ὑγιής;», δια νὰ μάθωμεν αὐτά. Καὶ δὲν τὸν ἠρώτησε, Θέλεις νὰ σὲ θεραπεύσω; Διότι ὁ ἀσθενὴς δὲν εἶχεν ἀκόμη μεγάλην ἰδέαν περὶ αὐτοῦ. Ἀλλὰ τὸν ἠρώτησε· «Θέλεις νὰ γίνῃς ὑγιής;».

Ἦτο ἐκπληκτικὴ ἡ ὑπομονὴ τοῦ παραλυτικοῦ. Ἐπειδὴ ἦτο παράλυτος ἐπὶ τριάκοντα ὀκτὼ ἔτη καὶ ἤλπιζε κάθε ἔτος, ὅτι θὰ γλυτώσῃ ἀπὸ τὴν ἀρρώστιαν, ἔμενεν ἐκεῖ καὶ δὲν ἀπεμακρύνετο. Διότι, ἂν ὄχι τὰ παρελθόντα, τουλάχιστον τὰ μέλλοντα δὲν θὰ τὸν ἔκαμναν νὰ φύγῃ ἀπὸ ἐκεῖ, ἂν δὲν εἶχε τόσον μεγάλην ὑπομονήν; Σκέψου, σὲ παρακαλῶ, πόσον ἔπρεπε ν' ἀγρυπνοῦν καὶ οἱ ἄλλοι ἀσθενεῖς. Διότι δὲν ἦτο φανερὸς ὁ καιρός, κατὰ τὸν ὁποῖον ἐταράσσετο τὸ ὕδωρ. Καὶ οἱ μὲν χωλοὶ καὶ οἱ ἀνάπηροι ἠμποροῦσαν νὰ παρατηροῦν. Οἱ τυφλοὶ ὅμως πῶς ἔβλεπαν; Ἴσως ἐκαταλάβαιναν ἀπὸ τὸν θόρυβον ποὺ ἐγίνετο.

2. Ἂς ἐντραπῶμεν λοιπόν, ἀγαπητοί, ἂς ἐντραπῶμεν καὶ ἂς στενάξωμεν διὰ τὴν τόσον μεγάλην ραθυμίαν μας. Διότι ἐπὶ τριάντα ὀκτὼ ἔτη ἐπέμενεν ὁ παραλυτικὸς καὶ μολονότι δὲν ἐπετύγχανεν αὐτὸ ποὺ ἤθελεν, ἐν τούτοις δὲν ἀπεμακρύνετο. Καὶ δὲν ἐπετύγχανεν ὄχι ἀπὸ τὴν ἰδικήν του ἀμέλειαν, ἀλλ' ἐπειδὴ ἠμποδίζετο καὶ ὑφίστατο τὴν βίαν τῶν ἄλων, ἀλλὰ καὶ πάλιν δὲν ἀπεγοητεύετο ἐξ αὐτοῦ. Ἡμεῖς ὅμως, ἐὰν ἐπὶ δέκα ἡμέρας μόνον ἐπιμένωμεν νὰ παρακαλοῦμεν διὰ κάτι καὶ δὲν ἐπιτύχωμεν, τοῦ λοιποῦ ἀδιαφοροῦμεν νὰ δείξωμεν τὴν ἰδίαν προθυμίαν. Καὶ πλησίον μὲν τῶν συνανθρώπων μας ἐπιμένομεν τόσον πολὺν χρόνον, στρατευόμενοι, ταλαιπωρούμενοι καὶ προσφέροντες δουλικῶς τὰς ὑπηρεσίας μας, κάνοντες πολλὰς φορὰς εἰς τὸ τέλος καὶ αὐτὴν τὴν ἐλπίδα, πλησίον ὅμως τοῦ Κυρίου μας, ἀπὸ ὅπου ἠμποροῦμεν νὰ ἐπιτύχωμεν ἀμοιβὴν πολὺ μεγαλυτέραν ἀπὸ τοὺς κόπους μας (διότι λέγει ὁ Ἀπόστολος, «Ἡ ἐλπὶς δὲν ἐντροπιάζει»[2]) δὲν ἀνεχόμεθα νὰ ἐπιμένωμεν μὲ τὴν πρέπουσαν προθυμίαν.

Καὶ πόσην τιμωρίαν ἀξίζουν ὅλα αὐτά; Διότι καὶ ἂν

λαβεῖν ἦν, αὐτὸ τοῦτο τὸ συνεχῶς αὐτῷ διαλέγεσθαι, οὐχὶ μυρίων ἄξιον ἀγαθῶν ἦν ἡγεῖσθαι; Ἀλλ' ἐπίπονον ἡ διηνεκὴς εὐχή; Καὶ τί, εἰπέ, οὐκ ἐπίπονον τῶν τῆς ἀρετῆς; Αὐτὸ γοῦν τοῦτο, φησί, πολλῆς ἀπορίας ἐστὶ μεστόν, ὅτι τῇ μὲν κακίᾳ ἡδονή, τῇ δὲ ἀρετῇ συγκεκλήρωται πόνος. Καὶ πολλοὺς εἶμαι τοῦτο ζητεῖν. Τί δήποτε' οὖν ἐστι τὸ αἴτιον; Ἔδωκεν ἡμῖν ἐξ ἀρχῆς ὁ Θεὸς ἐλεύθερον φροντίδων βίον καὶ πόνων ἀπηλλαγμένον· οὐκ ἐχρησάμεθα εἰς δέον τῷ δώρῳ, ἀλλὰ διεστράφημεν ὑπὸ τῆς ἀργίας, καὶ ἐξεπέσομεν τοῦ παραδείσου. Διὰ τοῦτο ἐπίπονον ἐποίησεν ἡμῶν τὴν ζωὴν λοιπόν, ὥσπερ ἀπολογούμενος τῷ γένει τῶν ἀνθρώπων, καὶ λέγων· Ἔδωκα τρυφᾶν ὑμῖν ἐξ ἀρχῆς, ἀλλ' ἐγένεσθε χείρους τῇ ἀνέσει· διὰ τοῦτο ἐκέλευσα λοιπὸν πόνους ὑμῖν ἐπιτεθῆναι καὶ ἱδρῶτας.

Ἐπειδὴ δὲ οὐδὲ ἐκεῖνος κατεῖχεν ὁ πόνος, ἔδωκε πάλιν νόμον πολλὰς ἔχοντα ἐντολάς, καθάπερ τινὶ ἵππῳ δυσηνίῳ ψέλλια καὶ πέδας ἐπιτιθείς, ὥστε αὐτοῦ τὰ σκιρτήματα ἐπισχεῖν· οὕτω καὶ οἱ πωλοδάμναι ποιοῦσι. Διὰ τοῦτο ἐπίπονος ὁ βίος, ἐπειδὴ τὸ μὴ πονεῖν διαφθείρειν ἡμᾶς εἴωθεν. Ἡ γὰρ φύσις ἡμῶν ἀργεῖν οὐκ ἀνέχεται, ἀλλὰ πρὸς κακίαν ὑποκλίνει ῥᾳδίως. Θῶμεν γὰρ μὴ δεῖσθαι πόνων τὸν σωφρονοῦντα, μηδὲ τὸν τὴν ἄλλην ἀρετὴν κατορθοῦντα, ἀλλὰ καθεύδοντας πάντα ἀνύειν, ποῦ ἂν ἐχρησάμεθα τῇ ἀνέσει; ἆρα οὐκ ἂν πρὸς ἀπόνοιαν καὶ ἀλαζονείαν;

3. Ἀλλὰ διατί, φησί, πολλὴ μὲν ἡ ἡδονὴ τῇ κακίᾳ, πολὺς δὲ τῇ ἀρετῇ συνέζευκται ὁ πόνος καὶ ὁ ἱδρώς; Καὶ ποία σοι χάρις ἂν ἦν ἢ τίνος δ' ἂν ἔλαβες μισθόν, εἰ μὴ ἐπίπονον τὸ πρᾶγμα ἦν; Καὶ γὰρ νῦν πολλοὺς ἔχω δεῖξαι φύσει τὸ μίγνυσθαι γυναιξὶ μισοῦντας καὶ φεύγοντας ὡς βδελυρὰν

ἀκόμη δὲν ἐπρόκειτο νὰ λάβωμεν τίποτε, αὐτὴ ἡ συνεχὴς μὲ αὐτὸν συνομιλία δὲν ἔπρεπε νὰ θεωρῆται ἀνταξία ἀπείρων ἀγαθῶν; Μήπως ἡ διαρκὴς προσευχὴ εἶναι ἔργον κοπιαστικόν; Ἀλλά, εἰπέ μου, ποῖο δὲν εἶναι κοπιαστικὸν ἀπὸ τὰ ἔργα τῆς ἀρετῆς; Θὰ εἰπῇς, ὅτι σοῦ προκαλεῖ μεγάλην ἀπορίαν τὸ ἑξῆς, ὅτι δηλαδὴ εἰς μὲν τὴν κακίαν ἔχει πέσει ὁ κλῆρος τῆς εὐχαριστήσεως, εἰς δὲ τὴν ἀρετὴν τοῦ κόπου. Ποία λοιπὸν εἶναι ἡ αἰτία; Εἰς τὴν ἀρχὴν ὁ Θεὸς μᾶς ἔδωσεν ἐλεύθερον βίον καὶ ἀπηλλαγμένον ἀπὸ φροντίδας καὶ κόπους. Δὲν ἐχρησιμοποιήσαμεν ὅπως ἔπρεπε τὸ δῶρον, ἀλλὰ διεφθάρημεν ἀπὸ τὴν ἀργίαν καὶ ἐχάσαμεν τὸν παράδεισον. Δι' αὐτὸ ἔκαμε γεμάτην κόπους τὴν ὑπόλοιπον ζωήν μας, σὰν νὰ δικαιολογῆται εἰς τὸ ἀνθρώπινον γένος καὶ νὰ λέγῃ· Σᾶς ἔδωσα ἀπὸ τὴν ἀρχὴν εὐχάριστον βίον, ἀλλὰ ἐσεῖς ἐγίνατε χειρότεροι ἕνεκα τῆς πραότητός μου. Δι' αὐτὸ διέταξα νὰ σᾶς δοθοῦν τοῦ λοιποῦ κόποι καὶ ἱδρῶτες.

Ἐπειδὴ ὅμως οὔτε ἐκεῖνος ὁ κόπος μᾶς συνεκράτησεν, ἔδωσε πάλιν νόμον μὲ πολλὰς ἐντολάς, ὅπως βάζει κανεὶς εἰς τὸν ἀχαλίνωτον ἵππον χαλινοὺς καὶ πέδικλα διὰ νὰ συγκρατῇ τὴν ὁρμητικότητά του. Ἔτσι κάμνουν καὶ οἱ ἱπποδαμασταί. Διὰ τοῦτο εἶναι ἐπίπονος ὁ βίος μας, ἐπειδὴ ἡ ἀνάπαυσις συνήθως μᾶς διαφθείρει. Διότι ἡ φύσις μας δὲν ἀνέχεται τὴν ἀργίαν, ἀλλ' εὐκόλως ἀποκλίνει πρὸς τὴν κακίαν. Διότι, ἂν ὑποθέσωμεν ὅτι ὁ σώφρων ἄνθρωπος δὲν ἔχει ἀνάγκην ἀπὸ κόπους, οὔτε ὁ ἄλλος ποὺ ἀσκεῖ τὴν ἀρετήν, ἀλλ' ὅτι ἐπιτυγχάνομεν τὰ πάντα ἡσυχάζοντες, μὲ ποῖον τρόπον θὰ ἐχρησιμοποιούσαμεν τὴν ἀνάπαυσιν; Ἆρα ὄχι διὰ τὴν μωρίαν καὶ ἀλαζονείαν;

3. Ἀλλά, θὰ ἐρωτήσῃς· διατί ἔχει συνδεθῇ μεγάλη εὐχαρίστησις μὲ τὴν κακίαν καὶ μὲ τὴν ἀρετὴν πολὺς κόπος καὶ ἱδρώς; Καὶ ποίαν εὐχαρίστησιν θὰ εἶχες ἢ διὰ ποῖον λόγον θὰ ἔπαιρνες ἀμοιβήν, ἂν ἡ ἀρετὴ δὲν ἦτο κοπιαστική; Διότι ἠμπορῶ νὰ σοῦ δείξω πολλούς, ποὺ ἀπὸ τὴν φύσιν

τὴν πρὸς ἐκείνας ὁμιλίαν· τούτους οὖν σώφρονας καλέσομεν, ἢ στεφανώσομεν, εἰπέ μοι, καὶ ἀνακηρύξομεν; Οὐδαμῶς. Σωφροσύνη γάρ ἐστιν ἐγκράτεια καὶ τὸ μαχομένων περιγενέσθαι τῶν ἡδονῶν. Καὶ ἐν τοῖς πολέμοις δέ, ὅταν σφοδροὶ ὦσιν οἱ ἀγῶνες, τότε τὰ τρόπαια λαμπρότερα γίνεται, οὐχ ὅταν μηδεὶς ἀνταίρῃ τὰς χεῖρας.

Εἰσὶ πολλοὶ καὶ νωθεὶς ἀπὸ φύσεως· τούτους οὖν ἐπιεικεῖς προσεροῦμεν; Οὐδαμῶς. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τρεῖς τρόπους εὐνουχισμοῦ λέγων, τοὺς μὲν δύο ἀφίησιν ἀστεφανώτους, τὸν δὲ ἕνα εἰς τὴν βασιλείαν εἰσάγει. Καὶ τί ἔδει κακίας, φησί; Καὶ ἐγὼ τοῦτο λέγω. Τίς οὖν ὁ τῆς κακίας δημιουργός; Τίς δὲ ἄλλος, ἀλλ' ἢ ἡ ῥαθυμία ἡ ἐκ τῆς προαιρέσεως; Ἀλλ' ἔδει, φησίν, ἀγαθοὺς εἶναι μόνους. Καὶ τί ἴδιον ἀγαθοῦ; νήφειν καὶ ἐγρηγορέναι, ἢ καθεύδειν καὶ ῥέγχειν; Καὶ διατί, φησί, μὴ τοῦτο ἐδόκει εἶναι ἀγαθόν, τὸ μὴ πονοῦντα κατορθοῦν;

Βοσκημάτων μοι ῥήματα λέγεις καὶ γαστριζομένων, καὶ θεὸν τὴν κοιλίαν ἡγουμένων. Ὅτι γὰρ νωθείας ταῦτα τὰ ῥήματα, ἀπόκριναί μοι· Εἰ βασιλέως ὄντος καὶ στρατηγοῦ, εἶτα τοῦ βασιλέως καὶ καθεύδοντος καὶ μεθύοντος, ταλαιπωρούμενος ὁ στρατηγὸς τὰ τρόπαια ἔστησε, τίνι ἂν ἐλογίσω τὴν νίκην; τίς δὲ ἐκαρπώσατο τῶν γινομένων τὴν ἡδονήν; Ὁρᾷς ὅτι περὶ ἐκεῖνα μᾶλλον ἡ ψυχὴ διάκειται, ὑπὲρ ὧν ἔκαμε; Διὰ τοῦτο καὶ πόνους ἀνέμιξε τῇ ἀρετῇ, οἰκειῶσαι αὐτῇ ταύτην βουλόμενος. Διὰ δὴ τοῦτο τὴν μὲν ἀρετήν, κἂν μὴ κατορθώσωμεν, θαυμάζομεν· τῆς δὲ κακίας, καὶ ἡ-

τους ἀποφεύγουν νὰ ἔρχωνται εἰς ἐπιμιξίαν μὲ γυναῖκας καὶ ἀποφεύγουν τὴν συναναστροφὴν μὲ αὐτὰς ὡς πρᾶξιν βδελυράν. Αὐτοὺς λοιπὸν θὰ τοὺς ὀνομάσωμεν σώφρονας, ἢ θὰ τοὺς δώσωμεν τὸν στέφανον καὶ θὰ τοὺς τιμήσωμεν; Καθόλου. Διότι ἡ σωφροσύνη εἶναι ἐγκράτεια καὶ μάχη πρὸς κατανίκησιν τῶν ἡδονῶν. Καὶ εἰς τοὺς πολέμους, ὅταν οἱ ἀγῶνες εἶναι ὀξεῖς, τότε τὰ τρόπαια γίνονται λαμπρότερα καὶ ὄχι ὅταν δὲν ἀντιστέκεται κανείς.

Ὑπάρχουν πολλοὶ ἀμβλύνοες ἐκ φύσεως. Θὰ τοὺς ὀνομάσωμεν λοιπὸν ἠπίους; Καθόλου. Διὰ τοῦτο ὁ Χριστὸς ἀναφέρει τρεῖς κατηγορίας εὐνούχων καὶ τὰς μὲν δύο πρώτας ἀφήνει χωρὶς στέφανον, τὴν δὲ τρίτην εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλά, θὰ ἐρωτήσῃς· ποία ἡ ἀνάγκη τῆς κακίας; Τὸ ἴδιο λέγω καὶ ἐγώ. Ποῖος εἶναι ὁ δημιουργὸς τῆς ἀργίας; Ποῖος ἄλλος εἶναι ἐκτὸς ἀπὸ τὴν ραθυμίαν τῆς θελήσεώς μας; Ἀλλά, θὰ εἴπῃς, ἔπρεπε νὰ εἴμεθα ἀπὸ μόνοι μας ἀγαθοί. Καὶ ποῖο εἶναι τὸ χαρακτηριστικὸν τοῦ ἀγαθοῦ; Νὰ εἶναι κανεὶς νηφάλιος καὶ ν' ἀγρυπνῇ ἢ νὰ κοιμᾶται καὶ νὰ ραθυμῇ; Καὶ διατί; θὰ παρατηρήσῃς, δὲν ἐρρυθμίσθη νὰ εἶναι κανεὶς ἀγαθός, ὥστε νὰ ἐνεργῇ ὀρθῶς χωρὶς νὰ κοπιάζῃ;

Λέγεις λόγια ἀντάξια διὰ κτήνη καὶ διὰ λαιμάργους καὶ δι' ἐκείνους ποὺ θεωροῦν ὡς θεὸν τὴν κοιλίαν των. Διὰ νὰ μάθῃς δηλαδή, ὅτι αὐτὰ εἶναι λόγια ἀνόητα ἀπάντησέ μου εἰς τὸ ἑξῆς· Ἂς ὑποθέσωμεν ὅτι ὑπάρχει ἕνας βασιλεὺς καὶ ἕνας στρατηγὸς καὶ ἐνῷ ὁ βασιλεὺς κοιμᾶται καὶ μεθοκοπᾷ, ὁ στρατηγὸς μὲ μεγάλας ταλαιπωρίας στήνει τρόπαια. Εἰς ποῖον θὰ ἀποδώσῃς τὴν νίκην; καὶ ποῖος ἐκαρπώθη τὴν εὐχαρίστησιν αὐτῶν τῶν γεγονότων; Βλέπεις ὅτι ἡ ψυχὴ στρέφεται μᾶλλον πρὸς ἐκεῖνα, διὰ τὰ ὁποῖα ἐκοπίασεν; Δι' αὐτὸ ὁ Θεὸς ἀνέμιξε τοὺς κόπους μὲ τὴν ἀρετήν, ἐπειδὴ ἤθελε νὰ ἐξοικιώσῃ τὴν ψυχὴν μὲ τὴν ἀρετήν. Δι' αὐτὸ τὴν μὲν ἀρετὴν θαυμάζομεν, ἔστω καὶ ἂν δὲν τὴν ἐπιτυγχάνωμεν, κατηγοροῦμεν ὅμως τὴν κακίαν, ἔστω καὶ

δίστης οὔσης, καταγινώσκομεν. Εἰ δὲ λέγεις· Διατί τοὺς φύσει καλοὺς μὴ θαυμάζομεν μᾶλλον τῶν προαιρέσει τοῦτο ὄντων; Ὅτι δίκαιον τὸν πονοῦντα τοῦ μὴ πονοῦντος προτιθέναι.

Καὶ τίνος, φησίν, ἕνεκεν νῦν πονοῦμεν; Ἐπειδὴ τὸ μὴ πονεῖν οὐκ ἤνεγκας μετρίως· μᾶλλον δὲ εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, καὶ ἄλλως ἡ ἀργία διαφθείρειν ἡμᾶς εἴωθε, καὶ πολὺν παρέχειν τὸν πόνον. Καὶ εἰ βούλει, συγκλείσωμεν ἄνδρα, τρέφοντες αὐτὸν μόνον καὶ γαστρίζοντες, μήτε βαδίζειν αὐτὸν ἐῶντες, μηδὲ εἰς ἔργον ἐξάγοντες· ἀλλ' ἀπολαυέτω τραπέζης καὶ κλίνης καὶ τρυφάτω διηνεκῶς· καὶ τί ταύτης τῆς ζωῆς ἀθλιώτερον γένοιτ' ἄν; Ἀλλ' ἕτερον τὸ ἐργάζεσθαι, φησί, καὶ ἕτερον τὸ πονεῖν. Ἀλλ' ἦν τότε ἐργάζεσθαι χωρὶς πόνων. Καὶ ἔνι, φησί, τοῦτο; Ναί, ἔνι· τοῦτο καὶ ὁ Θεὸς ἠθέλησεν, ἀλλὰ σὺ οὐκ ἠνέσχου. Διὰ τοῦτο ἔθηκε γοῦν σε ἐργάζεσθαι τὸν παράδεισον, ἐργασίαν μὲν ὁρίσας, πόνον δὲ οὐκ ἀναμίξας. Οὐ γὰρ ἄν, εἴπερ ἐπόνει παρὰ τὴν ἀρχὴν ὁ ἄνθρωπος, τοῦτο ἐν ἐπιτιμίου μέρει μετὰ ταῦτα ἔθηκεν.

Ἔστι γὰρ καὶ ἐργάζεσθαι καὶ μὴ ταλαιπωρεῖσθαι, ὥσπερ οἱ ἄγγελοι. Ὅτι γὰρ ἐργάζονται, ἄκουσον τί φησι· «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ». Νῦν μὲν γὰρ ἡ τῆς ἰσχύος ἔνδεια πολὺν τὸν πόνον ποιεῖ· τότε δὲ οὐκέτι τοῦτο ἦν. Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, «Κατέπαυσε», φησί, «ὡς ἀπὸ τῶν ἔργων αὐτοῦ», ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός· οὐκ ἀργίαν λέγων ἐνταῦθα, ἀλλὰ τὸ μὴ πονεῖν. Ὁ γὰρ Θεὸς ἔτι καὶ νῦν ἐργάζεται, καθὼς ὁ Χριστός φησιν· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι».

---

3. Ψαλμ. 102, 20.
4. Ἑβρ. 4, 4.

ἂν εἶναι πολὺ εὐχάριστος. Ἐὰν πάλιν ἀπορῇς, διατί δὲν θαυμάζομεν τοὺς ἐκ φύσεως καλοὺς περισσότερον ἀπὸ ἐκείνους ποὺ εἶναι τέτοιοι ἐκ θελήσεως; Αὐτὸ γίνεται, διότι εἶναι δίκαιον νὰ προτιμῶμεν ἐκεῖνον ποὺ κοπιάζει ἀπὸ ἐκεῖνον ποὺ δὲν κοπιάζει.

Καὶ θὰ ἐρωτήσῃς: διὰ ποῖον λόγον τώρα κοπιάζομεν; Ἐπειδὴ ἂν δὲν κοπιάσωμεν, δὲν θὰ ὑπεμέναμεν ἡσύχως τὴν ἀργίαν. Ἐὰν μάλιστα ἐξετάσῃ κανεὶς τὸ πρᾶγμα μὲ ἀκρίβειαν, ἡ ἀργία μᾶς διαφθείρει κατ' ἄλλον τρόπον συνήθως καὶ μᾶς κουράζει πολύ. Καὶ ἂν θέλῃς, ἂς κλείσωμεν ἕναν ἄνθρωπον κάπου, τρέφοντες αὐτὸν μόνον καὶ παρέχοντες ὅσα ἐπιθυμεῖ ἡ κοιλία του, χωρὶς ν' ἀφήνωμεν αὐτὸν οὔτε νὰ βαδίζῃ, οὔτε νὰ ἐργάζεται, ἀλλὰ νὰ τρώγῃ καὶ νὰ κοιμᾶται καὶ νὰ ζῇ τρυφηλὴν ζωὴν συνεχῶς. Τί θὰ ἠμποροῦσε νὰ εἶναι χειρότερον ἀπὸ αὐτὴν τὴν ζωήν; Ἀλλά, θὰ παρατηρήσῃς, ἄλλο νὰ ἐργάζεσαι καὶ ἄλλο νὰ κοπιάζῃς. Ἦτο ὅμως κάποτε ἡ ἐργασία χωρὶς κόπους. Ἦτο δυνατὸν αὐτό; Ναί, ἦτο. Αὐτὸ τὸ ἤθελεν ὁ Θεός, ἀλλὰ ἐσὺ δὲν τὸ ἠνέχθης. Δι' αὐτὸ σὲ ἐτοποθέτησεν εἰς τὸν παράδεισον διὰ νὰ ἐργάζεσαι καὶ ὥρισε μὲν τὴν ἐργασίαν, ἀλλὰ δὲν τὴν ἀνέμιξε μὲ κόπον. Διότι, ἂν ὁ ἄνθρωπος ἐκοπίαζεν ἀπὸ τὴν ἀρχήν, δὲν θὰ ὥριζεν ἔπειτα ὡς τιμωρίαν τὸν κόπον.

Ἦτο λοιπὸν δυνατὸν νὰ ἐργάζεται κανεὶς καὶ συγχρόνως νὰ μὴ ταλαιπωρῆται, ὅπως οἱ ἄγγελοι. Διότι καὶ οἱ ἄγγελοι ἐργάζονται. Καὶ ἤκουσε τί λέγει· «Εἶναι δυνατοὶ κατὰ τὴν ἀρετὴν ἐκεῖνοι ποὺ ἐκτελοῦν τὸν λόγον του»[3]. Διότι τώρα μὲν ἡ ἔλλειψις τῆς δυνάμεως προξενεῖ πολὺν κόπον. Τότε ὅμως δὲν ἦτο ἔτσι. Διότι ὅποιος εἰσῆλθεν εἰς τὴν ἀνάπαυσίν του, «Ἀνεπαύθη ἀπὸ τὰ ἔργα του»[4], ὅπως ἀνεπαύθη ὁ Θεὸς ἀπὸ τὰ ἰδικά του ἔργα. Διότι ὁ Θεὸς ἀκόμη καὶ τώρα ἐργάζεται, ὅπως βεβαιώνει ὁ Χριστός· «Ὁ Πατήρ μου πάντοτε ἐργάζεται καὶ ἐγὼ ἐπίσης ἐργάζομαι»[5].

---

5. Ἰω. 5, 17.

Διὰ τοῦτο παραινῶ, πάντα ἀποθεμένους τὰ τῆς ὀλιγωρίας, ζηλοῦν τὴν ἀρετήν. Τῆς μὲν γὰρ κακίας ἡ ἡδονὴ βραχεῖα, ἡ δὲ λύπη διηνεκής· τῆς δὲ ἀρετῆς τοὐναντίον ἀγήρως ἡ χαρά, καὶ πρόσκαιρος ὁ πόνος. Κἀκείνη μὲν καὶ πρὸ τῶν στεφάνων τὸν ἐργάτην ἀνίησι τὸν ἑαυτῆς, ταῖς ἐλπίσι τρέφουσα· αὕτη δὲ καὶ πρὸ τῆς κολάσεως τιμωρεῖται τὸν ἑαυτῆς ἐργάτην, τὸ συνειδὸς ἄγχουσα καὶ ἐκδειματοῦσα, καὶ πάντα ὑποπτεύειν παρασκευάζουσα.

Καίτοι πόσων ταῦτα πόνων, πόσων ἱδρώτων χείρονα! Εἰ δὲ μὴ ταῦτα ἦν, ἡδονὴ δὲ ἦν· τί τῆς ἡδονῆς ἐκείνης εὐτελέστερον; Ὁμοῦ τε γὰρ φαίνεται καὶ ἀφίπταται μαραινομένη καὶ φεύγουσα πρὸ τοῦ κατασχεθῆναι, κἂν τὴν τῶν σωμάτων εἴπῃς κἂν τὴν τῆς τρυφῆς κἂν τὴν τῶν χρημάτων· οὐ παύονται γὰρ καθ' ἡμέραν γηρῶσαι. Ὅταν δὲ καὶ κόλασις ᾖ καὶ τιμωρία, τί γένοιτ' ἂν ἀθλιώτερον τῶν ταύτης μετιόντων;

Ταῦτα οὖν εἰδότες, ἅπαντα ὑπὲρ τῆς ἀρετῆς ὑπομένωμεν. Οὕτω γὰρ καὶ τῆς ἀληθοῦς ἡδονῆς ἀπολαύσομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δι' αὐτὸ σᾶς συμβουλεύω ἀφοῦ ἀφήσετε τὴν ἀμέλειαν, νὰ ἀκολουθήσετε τὴν ἀρετήν. Διότι ἡ ἐκ τῆς κακίας εὐχαρίστησις διαρκεῖ ὀλίγον, ἐνῷ ἡ ἐξ αὐτῆς λύπη εἶναι διαρκής. Ἀντιθέτως ἡ ἐκ τῆς ἀρετῆς χαρὰ εἶναι αἰωνία καὶ ὁ ἐξ αὐτῆς κόπος προσωρινός. Καὶ ἡ μὲν ἀρετὴ ἀνυψώνει τὸν ἐργάτην της καὶ πρὶν ἀπὸ τοὺς στεφάνους τρέφουσα αὐτὸν μὲ ἐλπίδας. Ἡ κακία ὅμως τιμωρεῖ τὸν ἐργάτην της καὶ πρὸ τῆς τιμωρίας, δημιουργοῦσα ἄγχος καὶ φόβον εἰς τὴν συνείδησίν του καὶ κάμνουσα τὰ πάντα ὕποπτα.

Καὶ ὅμως πόσον χειρότερα εἶναι αὐτὰ ἀπὸ τοὺς κόπους καὶ τοὺς ἱδρῶτας! Ἂν δὲν ὑπῆρχον αὐτά, θὰ ὑπῆρχεν ἡ ἡδονή. Καὶ τί ὑπάρχει εὐτελέστερον ἀπὸ ἐκείνην τὴν ἡδονήν; Διότι συγχρόνως ἐμφανίζεται, πετᾷ, μαραίνεται καὶ φεύγει πρὶν κατακτηθῇ, ἔστω καὶ ἂν εἰπῆς διὰ τὴν σωματικὴν ἡδονὴν ἢ τὴν τρυφηλότητα ἢ τὴν ἡδονὴν τῶν χρημάτων. Ὅλα αὐτὰ δὲν παύουν νὰ γηράσκουν κάθε ἡμέραν. Ὅταν δὲ ὑπάρχῃ κόλασις καὶ τιμωρία, τί χειρότερον ἠμπορεῖ νὰ γίνῃ δι' αὐτοὺς ποὺ τὴν μετέρχονται;

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν ταῦτα, ἂς ὑπομένωμεν τὰ πάντα χάριν τῆς ἀρετῆς. Διότι ἔτσι θ' ἀπολαύσωμεν καὶ τὴν ἀληθινὴν ἀρετήν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τε τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΖ΄.

'Ιω. 5,6 - 13

«Λέγει αὐτῷ ὁ 'Ιησοῦς· Θέλεις ὑγιὴς γενέσθαι; 'Απεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Ναί, Κύριε· ἄνθρωπον δὲ οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν».

1. Μέγα τῶν θείων Γραφῶν τὸ κέρδος, καὶ διαρκὴς ἡ ἐξ αὐτῶν ὠφέλεια. Καὶ τοῦτο δεικνὺς ὁ Παῦλος ἔλεγεν· «Ὅσα γὰρ προεγράφη, εἰς νουθεσίαν ἡμῶν προεγράφη, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν». Παντοδαπῶν γάρ ἐστι φαρμάκων θησαυρὸς τὰ θεῖα λόγια· ὥστε κἂν ἀπόνοιαν σβέσαι δέῃ κἂν ἐπιθυμίαν κοιμίσαι κἂν τὸν τῶν χρημάτων καταπατῆσαι ἔρωτα κἂν ὀδύνην ὑπεριδεῖν κἂν εὐθυμίαν ἐνθεῖναι καὶ ὑπομονὴν κατασκευάσαι, πολλὴν ἐντεῦθεν ἄν τις εὕροι τὴν ἀφορμήν.

Τίς γὰρ ἢ τῶν πενίᾳ μακρᾷ παλαιόντων ἢ τῶν νόσῳ χαλεπῇ κεκρατημένων, ἀναγνοὺς τὸ προκείμενον χωρίον, οὐ πολλὴν δέξεται τὴν παράκλησιν; Τριάκοντα γὰρ καὶ ὀκτὼ ἔτη παράλυτος μένων οὗτος καὶ καθ' ἕκαστον ἔτος ἑτέρους μὲν ἀπαλλαττομένους ὁρῶν, ἑαυτὸν δὲ κατεχόμενον τῷ νοσήματι, οὐδὲ οὕτως ἀνέπεσε καὶ ἀπέγνω. Καίτοι γε οὐ μόνον ἡ τῶν παρελθόντων ἀθυμία, ἀλλὰ καὶ ἡ τῶν μελλόντων ἀνελπιστία ἱκανὴ ἦν αὐτὸν κατατεῖναι.

Ἄκουσον γοῦν οἷά φησι καὶ μάθε τῆς τραγῳδίας τὸ μέγεθος. 'Επειδὴ γὰρ εἶπεν ὁ Χριστός, «Θέλεις ὑγιὴς γενέσθαι; Ναί, Κύριε, ἀπεκρίθη· ἀλλ' ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν». Τί τούτων τῶν ῥημάτων ἐλεεινότερον γένοιτ' ἄν; τί τῶν πραγμάτων περιπαθέστερον; Εἶδες καρδίαν συντετριμμένην ὑπὸ τῆς μακρᾶς ἀρρωστίας; εἶδες πᾶσαν φλεγμονὴν

1. 'Ιω. 5, 7-8.
2. Ρωμ. 15, 4.

ΟΜΙΛΙΑ ΛΖ΄.

Ἰω. 5,6 - 13

«Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· «Θέλεις νὰ γίνῃς ὑγιής;». Ἀπεκρίθη εἰς αὐτὸν ὁ ἀσθενής· Ναί, Κύριε· δὲν ἔχω ἄνθρωπον νὰ μὲ βάλῃ εἰς τὴν δεξαμενήν, ὅταν ταραχθῇ τὸ ὕδωρ»[1].

Μεγάλο κέρδος ἔχομεν ἀπὸ τὰς ἁγίας Γραφὰς καὶ μεγάλην ὠφέλειαν. Καὶ αὐτὸ θέλων νὰ δείξῃ ὁ Παῦλος, λέγει· «Διότι, ὅσα προεγράφησαν, ἐγράφησαν διὰ τὴν διδασκαλίαν ἡμῶν ὥστε διὰ τῆς ὑπομονῆς καὶ τῆς παρηγορίας τῶν Γραφῶν νὰ διατηροῦμεν τὴν ἐλπίδα»[2]. Διότι αἱ ἅγιαι Γραφαὶ εἶναι θησαυρὸς παντὸς εἴδους φαρμάκων. Ὥστε, ἂν παραστῇ ἀνάγκη νὰ ἐξαφανίσῃ κανεὶς τὴν ἀλαζονείαν, νὰ κοιμήσῃ τὴν ἐπιθυμίαν, νὰ καταπατήσῃ τὸν πόθον τῶν χρημάτων, νὰ περιφρονήσῃ τὸν πόνον, νὰ προετοιμάσῃ τὴν ὑπομονήν, καὶ νὰ ἐσταλάξῃ τὴν χαράν, ἠμπορεῖ νὰ εὕρῃ μεγάλην ἀνακούφισιν εἰς ὅλα αὐτά.

Διότι, ποῖος ἀπὸ ἐκείνους ποὺ παλαίουν διαρκῶς μὲ τὴν πενίαν ἢ ἀπὸ ἐκείνους ποὺ πάσχουν ἀπὸ βαρεῖαν νόσον, ἀφοῦ ἀναγνώσῃ τὸ ὡς ἄνω χωρίον, δὲν θὰ λάβῃ μεγάλην παρηγορίαν; Διότι αὐτὸς ἔμενεν ἐπὶ τριάκοντα ὀκτὼ ἔτη παράλυτος καὶ κάθε ἔτος ἔβλεπεν ἄλλους μὲν νὰ θεραπεύωνται, τὸν ἑαυτόν του δὲ νὰ κατέχεται ἀπὸ τὸ νόσημα, ἀλλὰ παρ' ὅλα ταῦτα δὲν ἔχασε τὸ θάρρος του καὶ δὲν ἀπεγοητεύθη. Καὶ ὅμως ἡ λύπη τῶν παρελθόντων ἀλλὰ καὶ ἡ ἔλλειψις ἐλπίδος διὰ τὰ μέλλοντα θὰ ἠμποροῦσαν νὰ τὸν εἶχαν κλονίσει.

Ἄκουσε λοιπὸν τί λέγει καὶ σκέψου τὸ μέγεθος τῆς τραγωδίας του. Ὅταν δηλαδὴ τὸν ἠρώτησεν ὁ Χριστός, «Θέλεις νὰ γίνῃς ὑγιής;», ἀπήντησε· «Ναί, Κύριε· ἀλλὰ δὲν ἔχω ἄνθρωπον νὰ μὲ βάλῃ εἰς τὴν δεξαμενήν, ὅταν ταραχθῇ τὸ ὕδωρ». Τί χειρότερον ἠμπορεῖ νὰ ὑπάρξῃ ἀπὸ αὐτὰ τὰ λόγια; Ποία μεγαλυτέρα συμφορὰ ἀπὸ αὐτήν; Εἶδες ψυχὴν νὰ ἔχῃ συντριβῇ ἀπὸ τὴν διαρκῆ ἀρρώστειαν;

κατεσταλμένην; Οὐδὲ γὰρ ἐφθέγξατό τι βλάσφημον, οἷα τοὺς πολλοὺς ἀκούομεν ἐν ταῖς περιστάσεσιν· οὐ κατηράσατο αὐτοῦ τὴν ἡμέραν, οὐκ ἐδυσχέρανε πρὸς τὴν ἐρώτησιν, οὐδὲ εἶπε· Διασῦραι ἡμᾶς παραγέγονας καὶ κωμῳδῆσαι, ὅτι ἐρωτᾷς, εἰ θέλω ὑγιὴς γενέσθαι· ἀλλὰ πράως καὶ μετ' ἐπιεικείας πολλῆς. «Ναί, Κύριε».

Καίτοι γε οὐδὲ ᾔδει τίς ποτε ἦν ὁ ἐρωτῶν, οὐδὲ ὅτι θεραπεύσειν αὐτὸν ἔμελλεν· ἀλλ' ὅμως μετὰ ἐπιεικείας ἅπαντα διηγεῖται καὶ πλέον οὐδὲν ἀπαιτεῖ, ὡς πρὸς ἰατρὸν φθεγγόμενος καὶ τὸ πάθος ἀπαγγεῖλαι μόνον βουλόμενος. Προσεδόκησε γὰρ ἴσως εἰς τοῦτο χρησιμεύσειν αὐτῷ τὸν Χριστόν, εἰς τὸ ἐμβαλεῖν εἰς τὸ ὕδωρ, καὶ διὰ τούτων αὐτὸν ἐπισπάσασθαι τῶν ῥημάτων βούλεται. Τί οὖν ὁ Χριστός; Δεικνὺς ὅτι λόγῳ πάντα δύναται ποιεῖν, «Ἔγειραι», φησίν, «ἆρον τὸν κράββατόν σου καὶ περιπάτει».

Τινὲς μὲν οὖν οἴονται τοῦτον εἶναι τὸν ἐν τῷ Ματθαίῳ κείμενον. Ἀλλ' οὐκ ἔστι· καὶ τοῦτο πολλαχόθεν δῆλόν ἐστι. Καὶ πρῶτον μὲν ἀπὸ τῆς ἐρημίας τῶν προϊσταμένων. Ἐκεῖνος μέντοι πολλοὺς εἶχε τοὺς ἐπιμελουμένους καὶ φέροντας, οὗτος δὲ οὐδένα· διὸ καὶ ἔλεγεν, «Ἄνθρωπον οὐκ ἔχω». Ἔπειτα καὶ ἐκ τῆς ἀποκρίσεως. Ὁ μὲν γὰρ οὐδὲν φθέγγεται· οὗτος δὲ πάντα διηγεῖται τὰ καθ' ἑαυτόν. Καὶ τρίτον ἀπὸ τοῦ καιροῦ καὶ τοῦ χρόνου. Οὗτος μὲν γὰρ ἐν ἑορτῇ καὶ ἐν Σαββάτῳ, ἐκεῖνος δὲ ἐν ἑτέρᾳ ἡμέρᾳ. Καὶ ὁ τόπος δὲ ἑκατέρωθεν διάφορος. Ὁ μὲν γὰρ ἐν οἰκίᾳ θεραπεύεται, ὁ δὲ παρὰ τὴν κολυμβήθραν.

Καὶ ὁ τρόπος δὲ τῆς θεραπείας ἐνηλλαγμένος. Ἐκεῖ μὲν γάρ φησι, «Τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι»· ἐνταῦ-

Εἶδες νὰ ἔχῃ κατασταλῇ κάθε ὀργή; Διότι δὲν ἐξεστόμισε καμμίαν βλασφημίαν, ἀπὸ αὐτὰς ποὺ ἀκούομεν εἰς παρομοίας περιστάσεις. Δὲν κατηράσθη τὴν ἡμέραν του, δὲν ἔκαμε καμμίαν ἀναξίαν ἐρώτησιν, οὔτε εἶπεν· Ἦλθες διὰ νὰ μὲ διασύρῃς καὶ νὰ μὲ διακωμωδήσῃς, διότι μὲ ἐρωτᾷς, ἂν θέλω νὰ γίνω ὑγιής. Ἀλλ' ἀπαντᾷ μὲ ἠρεμίαν καὶ μεγάλην μετριοπάθειαν· «Ναί, Κύριε».

Καὶ ὅμως οὔτε ἤξευρε, ποῖος εἶναι αὐτὸς ποὺ τὸν ἐρωτᾷ, οὔτε ὅτι ἐπρόκειτο νὰ τὸν θεραπεύσῃ. Ἀλλὰ διηγεῖται τὰ πάντα μὲ ἠρεμίαν καὶ δὲν ζητεῖ τίποτε πλέον, σὰν νὰ ὁμιλῇ πρὸς ἰατρὸν καὶ θέλει νὰ ἐξηγήσῃ μόνον τὴν ἀρρώστειαν του. Διότι ἴσως ἤλπισεν ὅτι ὁ Χριστὸς θὰ τοῦ φανῇ χρήσιμος εἰς τοῦτο, νὰ τὸν ρίψῃ δηλαδὴ εἰς τὸ ὕδωρ καὶ θέλει μὲ αὐτὰ τὰ λόγια νὰ τὸν προσελκύσῃ. Τί ἔκαμεν ὁ Χριστός; Ἀφοῦ ἀπέδειξεν ὅτι μὲ τὸν λόγον του ἠμπορεῖ νὰ κάμῃ τὰ πάντα, τοῦ εἶπε· «Σήκωσε τὸ κρεββάτι σου καὶ περπάτησε».

Μερικοὶ νομίζουν ὅτι ὁ παραλυτικὸς αὐτὸς εἶναι ὁ ἴδιος ποὺ ἀναφέρεται εἰς τὸ κείμενον τοῦ Ματθαίου. Δὲν εἶναι ὅμως ὁ ἴδιος. Καὶ αὐτὸ ἀποδεικνύεται ἀπὸ πολλά. Πρῶτα - πρῶτα ἀποδεικνύεται ἀπὸ τὴν ἀπουσίαν ἀνθρώπων ποὺ νὰ τὸν φροντίζουν. Διότι ὁ μὲν παραλυτικὸς ἐκεῖνος εἶχε πολλοὺς ποὺ τὸν ἐφρόντιζαν καὶ τὸν μετέφεραν, ἐνῷ αὐτὸς ἐδῶ δὲν εἶχε κανένα. Καὶ δι' αὐτὸ ἔλεγε· «Δὲν ἔχω ἄνθρωπον». Ἔπειτα ἀποδεικνύεται καὶ ἀπὸ τὴν ἀπάντησιν. Διότι ἐκεῖνος μὲν δὲν λέγει τίποτε. Αὐτὸς ἐδῶ ὅμως διηγεῖται ὅλα ὅσα τὸν ἀφοροῦν. Καὶ τρίτον ἀποδεικνύεται ἀπὸ τὸν χρόνον. Διότι αὐτὸς ἐδῶ θεραπεύεται κατὰ ἑορτάσιμον ἡμέραν καὶ μάλιστα Σάββατον, ἐνῷ ὁ ἄλλος εἰς ἄλλην ἡμέραν. Εἶναι ἐπίσης διάφορος ὁ τόπος διὰ τὸν καθένα. Ὁ μὲν ἕνας θεραπεύεται εἰς τὴν οἰκίαν του, ὁ δὲ ἄλλος πλησίον τῆς δεξαμενῆς.

Ἀλλὰ εἶναι διαφορετικὸς καὶ ὁ τρόπος τῆς θεραπείας. Διότι εἰς ἐκεῖνον τὸν παραλυτικὸν ὁ Χριστὸς λέγει· «Παι-

θα δὲ τὸ σῶμα συσφίγγει πρότερον καὶ τότε τῆς ψυχῆς ἐπιμελεῖται. Κἀκεῖ μὲν ἄφεσις· «Ἀφέωνται γάρ σου αἱ ἁμαρτίαι», φησίν· ἐνταῦθα δὲ παραίνεσις καὶ ἀπειλὴ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλιζομένη. «Μηκέτι» γάρ, φησίν, «ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι γένηται».

Καὶ τὰ ἐγκλήματα δὲ τῶν Ἰουδαίων διάφορα. Ἐνταῦθα μὲν γὰρ τοῦ Σαββάτου τὴν ἐργασίαν προφέρουσιν, ἐκεῖ δὲ βλασφημίαν ἐγκαλοῦσιν αὐτῷ. Σὺ δέ μοι σκόπει τῆς τοῦ Θεοῦ σοφίας τὴν ὑπερβολήν. Οὐ γὰρ εὐθέως αὐτὸν ἀνέστησεν, ἀλλὰ πρῶτον αὐτὸν οἰκειοῦται διὰ τῆς ἐρωτήσεως, τῇ μελλούσῃ προοδοποιῶν πίστει· καὶ οὐκ ἀνίστησι μόνον, ἀλλὰ καὶ τὸ κλινίδιον ἆραι κελεύει, ὥστε καὶ τὸ γινόμενον πιστώσασθαι θαῦμα καὶ μηδένα νομίσαι φαντασίαν εἶναι τὸ γεγενημένον ἢ ὑπόκρισιν. Οὐδὲ γὰρ ἄν, εἰ μὴ βεβαίως καὶ σφόδρα συνεπάγη τὰ μέλη, τὴν κλίνην φέρειν ἠδύνατο.

Ποιεῖ δὲ ταῦτα πολλάκις ὁ Χριστός, ἐκ περιουσίας τοὺς ἀναισχυντεῖν βουλομένους ἐπιστομίζων. Καὶ γὰρ ἐπὶ τῶν ἄρτων, ἵνα μηδεὶς εἴπῃ, ὅτι ἁπλῶς ἐκορέσθησαν καὶ φαντασία ἦν τὸ γεγενημένον, παρασκευάζει λείψανα γενέσθαι τῶν ἄρτων πολλά· καὶ τῷ καθαρθέντι δὲ λεπρῷ λέγει· «Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ»· ἐμοῦ τε τοῦ καθαρμοῦ παρεχόμενος τὴν ἀπόδειξιν ἀκριβεστάτην, καὶ τῶν ἀντινομοθετεῖν αὐτὸν λεγόντων τῷ Θεῷ τὰ ἀναίσχυντα ἐμφράττων στόματα.

Καὶ ἐπὶ τοῦ οἴνου δὲ τοῦτο ὁμοίως ἐποίησεν. Οὐ γὰρ

---

3. Ματθ. 9, 2.
4. Ματθ. 8, 4.

δί μου, σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι»[3]. Εἰς αὐτὸν ὅμως ἐδῶ πρῶτα θεραπεύει τὸ σῶμα καὶ ἔπειτα φροντίζει διὰ τὴν ψυχήν. Καὶ εἰς τὴν μίαν μὲν περίπτωσιν δίδεται συγχώρησις. Διότι ὁ Χριστὸς λέγει, «Σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι». Εἰς τὴν ἐδῶ ὅμως περίπτωσιν δίδεται συμβουλὴ καὶ ἀπειλὴ ποὺ ἀσφαλίζει τὸν παραλυτικὸν εἰς τὸ μέλλον. Διότι ὁ Χριστὸς τοῦ λέγει· «Μὴ ἁμαρτάνῃς πλέον διὰ νὰ μὴ σοῦ συμβῇ τίποτε χειρότερον».

'Αλλὰ καὶ αἱ κατηγορίαι τῶν 'Ιουδαίων εἶναι διαφορετικαί. Διότι εἰς τὴν προκειμένην περίπτωσιν τὸν κατηγοροῦν ὅτι εἰργάσθη τὸ Σάββατον, ἐνῷ εἰς τὴν ἄλλην, ὅτι ἐβλασφήμησεν. 'Εσὺ ὅμως πρόσεξε τὴν ὑπερβολικὴν σοφίαν τοῦ Θεοῦ. Διότι δὲν ἐσήκωσεν ἐπάνω τὸν παραλυτικὸν ἀμέσως, ἀλλὰ πρῶτα τὸν ἐξοικειώνει μὲ τὴν ἐρώτησιν, διὰ ν' ἀνοίξῃ τὸν δρόμον εἰς τὴν μελλοντικὴν πίστιν. Καὶ δὲν τὸν ἐσήκωσε μόνον ἐπάνω, ἀλλὰ τὸν διέταξε νὰ σηκώσῃ καὶ τὸ κρεββάτι του, ὥστε καὶ τὸ θαῦμα ποὺ ἔγινε νὰ διαπιστωθῇ καὶ νὰ μὴ ἠμπορέσῃ νὰ ὑποψιασθῇ κανεὶς ὅτι αὐτὸ ποὺ εἶχε γίνει, ἦτο μόνον πλάσμα φαντασίας καὶ ἀπάτη. Διότι, ἐὰν τὰ μέλη τοῦ σώματος δὲν εἶχαν ἀποκτήσει σταθερότητα καὶ δύναμιν, ὁ παραλυτικὸς δὲν θὰ ἠμποροῦσε νὰ σηκώσῃ τὸ κρεββάτι.

Πολλὰς φορὰς ὁ Χριστὸς κάμνει αὐτά, διὰ ν' ἀποστομώσῃ ἐπὶ πλέον αὐτοὺς ποὺ θέλουν νὰ τὸν συκοφαντήσουν. Διότι εἰς τὸ θαῦμα τῶν ἄρτων, διὰ νὰ μὴ εἰπῇ κανεὶς ὅτι οἱ ἄνθρωποι μόνον ἐχόρτασαν καὶ ὅτι αὐτὸ ποὺ ἔγινεν ἦτο πλάσμα φαντασίας, ἐφρόντισεν ὥστε νὰ περισσεύσουν πολλὰ ὑπολείμματα τῶν ἄρτων. Καὶ εἰς τὸν λεπρὸν τὸν ὁποῖον ἐκαθάρισεν, εἶπε· «Πήγαινε, δεῖξε τὸν ἑαυτόν σου εἰς τὸν ἱερέα»[4], διὰ νὰ κάμῃ καὶ τὴν ἀπόδειξιν τοῦ καθαρισμοῦ σταθερωτάτην καὶ διὰ νὰ κλείσῃ τὰ στόματα τῶν ἀναισχύντων, οἱ ὁποῖοι ἰσχυρίζοντο, ὅτι κάμνει ἔργα ἀντίθετα πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ.

Τὸ ἴδιο ἔκαμεν, ὅταν μετέβαλε τὸ ὕδωρ εἰς οἶνον. Διότι

ἁπλῶς ἔδειξε τὸν οἶνον, ἀλλὰ καὶ τῷ ἀρχιτρικλίνῳ ἐνεχθῆναι παρεσκεύασεν, ὥστε τὸν οὐδὲν τῶν γεγενημένων εἰδότα ὁμολογοῦντα, ἀνύποπτον αὐτῷ παρασχεῖν τὴν μαρτυρίαν. Διά τοι τοῦτο καὶ ὁ εὐαγγελιστὴς εἶπεν, ὅτι οὐκ ᾔδει ὁ ἀρχιτρίκλινος, πόθεν ἦν, τὸ ἀδέκαστον τῆς μαρτυρίας ἐμφαίνων. Καὶ νεκρὸν ἀναστήσας ἀλλαχοῦ λέγει· Δότε αὐτῷ φαγεῖν, τῆς ἀκριβοῦς ἀναστάσεως τοῦτο παρεχόμενος σημεῖον· καὶ διὰ τούτων πάντων πείθων τοὺς ἀνοήτους, ὅτι οὐκ ἀπατεών τις ἦν, οὐδὲ φαντασιοκόπος, ἀλλὰ διὰ σωτηρίαν παρεγένετο τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων.

2. Τί δήποτε δὲ αὐτὸν οὐκ ἀπαιτεῖ πίστιν, ὡς ἐπὶ τῶν τυφλῶν ἐποίησε, λέγων· «Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;». Ὅτι οὐδέπω αὐτὸν ᾔδει σαφῶς ὅστις ἦν. Οὐ γὰρ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὰ θαύματα τοῦτο φαίνεται ποιῶν. Οἱ μὲν γὰρ ἐν ἑτέροις ἑωρακότες αὐτοῦ τὴν δύναμιν, εἰκότως τοῦτο ἤκουον· οἱ δὲ οὐδέπω μεμαθηκότες αὐτόν, ἀλλ' ἀπὸ τῶν σημείων μέλλοντες εἴσεσθαι, μετὰ τὰ θαύματα ἀπαιτοῦνται τὴν πίστιν. Διὸ καὶ οὐ παρὰ τὴν ἀρχὴν τῶν σημείων ὁ Ματθαῖος εἰσάγει τοῦτο τὸν Χριστὸν εἰρηκότα, ἀλλ' ὅτε πολλοὺς ἐθεράπευσε, πρὸς μόνους τοὺς δύο τυφλούς.

Σὺ δὲ καὶ οὕτως ὅρα τοῦ παραλύτου τὴν πίστιν. Ἀκούσας γάρ, ὅτι «Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει», οὐ κατεγέλασεν, οὐδὲ εἶπε. Τί ποτε τοῦτό ἐστιν; ἄγγελος κατέρχεται καὶ ταράσσει τὸ ὕδωρ καὶ ἕνα θεραπεύει μόνον· σὺ δὲ ἄνθρωπος ὤν, ἀπὸ ἐπιτάγματος ψιλοῦ καὶ ῥήματος ἤλπισας μεῖζον ἀγγέλων δυνήσεσθαι; τῦφος ταῦτα καὶ ἀλαζονεία καὶ γέλως. Ἀλλὰ τούτων οὐδὲν εἶπεν, οὐδὲ ἐνενόη-

5. Λουκᾶ, 8, 55.
6. Ματθ. 9, 28.

δὲν ἔδειξε μόνον τὸν οἶνον, ἀλλ' ἐφρόντισε νὰ σταλῇ εἰς τὸν ἀρχιτρίκλινον, ὥστε αὐτὸς ποὺ ὡμολόγει, ὅτι δὲν ἤξευρε τίποτε ἀπὸ ὅσα εἶχαν γίνει, νὰ δώσῃ τὴν μαρτυρίαν χωρὶς καμμίαν ὑποψίαν. Δι' αὐτὸ ἀκριβῶς ὁ Εὐαγγελιστὴς εἶπεν, ὅτι ὁ ἀρχιτρίκλινος δὲν ἤξευρεν ἀπὸ ποῦ ἦτο ὁ οἶνος ἀποδεικνύων κατ' αὐτὸν τὸν τρόπον ἀδιάψευστον τὴν μαρτυρίαν του. Καὶ εἰς ἄλλην περίπτωσιν, ἀφοῦ ἀνέστησε νεκρόν, εἶπε· Δῶστε της νὰ φάγῃ[5], διὰ νὰ δώσῃ ἀναμφισβήτητον ἀπόδειξιν τῆς ἀναστάσεως. Δι' ὅλων αὐτῶν προσεπάθει νὰ πείσῃ τοὺς ἀνοήτους, ὅτι δὲν ἦτο κάποιος ἀπατεὼν ἢ θαυματοποιός, ἀλλ' ὅτι ἦλθε διὰ τὴν κοινὴν σωτηρίαν ὅλων τῶν ἀνθρώπων.

2. 'Αλλὰ διατί δὲν ἀπαιτεῖ πίστιν ἀπὸ τὸν παραλυτικόν, ὅπως εἶχε κάμει μὲ τοὺς τυφλοὺς εἰς τοὺς ὁποίους εἶπε· «Πιστεύετε, ὅτι ἔχω τὴν δύναμιν νὰ κάμω αὐτὸ ποὺ ζητεῖτε;»[6]. Διότι ὁ παραλυτικὸς δὲν ἤξευρε καθόλου, ποῖος ἦτο ὁ Χριστός. Διότι αὐτὸ συνήθιζε νὰ τὸ κάμνῃ ὄχι πρίν, ἀλλὰ μετὰ τὰ θαύματα. Διότι ἐκεῖνοι μὲν ποὺ εἶχαν ἰδεῖ τὴν δύναμίν του εἰς ἄλλας περιπτώσεις, δικαίως ἤκουον αὐτό. 'Αλλ' ἐκεῖνοι ποὺ δὲν τὸν ἤξευραν καθόλου, ἀλλ' ἐπρόκειτο νὰ τὸν μάθουν ἀπὸ τὰ θαύματά του, καλοῦνται εἰς τὴν πίστιν μετὰ τὰ θαύματα. Διὰ τοῦτο ὁ Ματθαῖος δὲν παρουσιάζει τὸν Χριστὸν νὰ λέγῃ ταῦτα εἰς τὴν ἀρχὴν τῶν θαυμάων, ἀλλ' ἀφοῦ πρῶτα εἶχε θεραπεύσει πολλούς, ἔπειτα εἶπεν αὐτὸ εἰς τοὺς δύο τυφλούς.

'Εσὺ ὅμως παρατήρησε τὴν πίστιν τοῦ παραλυτικοῦ. Διότι, ὅταν ἤκουσε, «Σήκωσε τὸ κρεββάτι σου καὶ περιπάτησε», δὲν ἐγέλασεν, οὔτε εἶπεν· Τί εἶναι αὐτὸ ποὺ λέγεις; Ἕνας ἄγγελος κατεβαίνει καὶ ταράσσει τὸ ὕδωρ καὶ μόνον ἕναν θεραπεύει. 'Εσὺ δέ, ἐνῷ εἶσαι ἄνθρωπος, ἐλπίζεις ὅτι θὰ ἠμπορέσῃς νὰ κατορθώσῃς κάτι σπουδαιότερον ἀπὸ τὸν ἄγγελον μὲ μίαν προφορικὴν μόνον διαταγήν; ὅλα αὐτὰ εἶναι ἀνοησία, ἀλαζονεία καὶ ἄξια διὰ γέλια. 'Αλλ' οὔτε εἶπεν, οὔτε ἐσκέφθη τίποτε ἀπὸ αὐτὰ καὶ ἀμέσως ὑπήκου-

σεν· ἀλλ' ἅμα τε ἤκουσε καὶ ἠγέρθη· καὶ γενόμενος ὑγιής, οὐκ ἠπείθησε τῷ κελεύσαντι αὐτῷ· «Ἔγειραι, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει».

Θαυμαστὸν μὲν οὖν καὶ τοῦτο, τὰ δὲ μετὰ ταῦτα πολλῷ πλέον· μᾶλλον δὲ τὸ μὲν παρὰ τὴν ἀρχὴν μηδενὸς ἐνοχλοῦντος πεισθῆναι, οὐχ οὕτω θαυμαστὸν τοῦτο· τὸ δὲ μετὰ ταῦτα μαινομένων Ἰουδαίων, καὶ πανταχόθεν ἐπικειμένων καὶ ἐγκαλούντων καὶ πολιορκούντων αὐτὸν καὶ λεγόντων, «Οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου», μὴ μόνον ὑπερορᾶν αὐτῶν τῆς μανίας, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς παρρησίας ἐν μέσῳ τῷ θεάτρῳ τὸν εὐεργέτην ἀνακηρύττειν καὶ τὴν ἀναίσχυντον ἐπιστομίζειν γλῶτταν, πολλῆς ἔγωγε ἀνδρείας εἶναι λέγω.

Ἐπισυστάντων γὰρ Ἰουδαίων καὶ λεγόντων ἐπιτιμητικῶς καὶ μετὰ αὐθαδείας αὐτῷ· «Σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου», ἄκουσον τί φησιν· «Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, Ἆρον τὸ κράββατόν σου, καὶ περιπάτει»· μονονουχὶ τοῦτο λέγων· Ληρεῖτε καὶ παραπαίετε, κελεύοντες τὸν ἀπὸ μακρᾶς οὕτω καὶ χαλεπῆς με ἀπαλλάξαντα νόσου μὴ ἡγεῖσθαι διδάσκαλον, μηδὲ πάντα πείθεσθαι ἅπερ ἂν κελεύῃ. Καίτοι γε εἰ κακουργεῖν ἐβούλετο, ἐνῆν καὶ ἑτέρως εἰπεῖν· οἷον, ὅτι Οὐχ ἑκὼν τοῦτο ποιῶ, ἀλλ' ἑτέρου κελεύσαντος· εἰ δὲ ἔγκλημα τοῦτο, ἐγκαλεῖτε τῷ ἐπιτάξαντι καὶ ἀποτίθεμαι τὴν κλίνην· καὶ τὴν θεραπείαν δὲ ἔκρυψεν ἄν. Καὶ γὰρ ᾔδει σαφῶς οὐχ οὕτω δακνομένους ἐπὶ τῇ τοῦ Σαββάτου λύσει, ὡς ἐπὶ τῇ τῆς ἀρρωστίας διορθώσει.

σε καὶ ἐσηκώθη. Καὶ ἀφοῦ ἔγινεν ὑγιής, ὑπήκουσεν εἰς αὐτὸν ποὺ τὸν διέταξε «Σήκω ἐπάνω, σήκωσε τὸ κρεββάτι σου καὶ περιπάτησε».

Ἀξιοθαύμαστον εἶναι βεβαίως καὶ αὐτό, ἀλλὰ περισσότερον ἀξιοθαύμαστα εἶναι τὰ ὅσα ἠκολούθησαν. Καὶ μᾶλλον δὲν ἦτο τόσον ἀξιοθαύμαστον τὸ ὅτι εἰς τὴν ἀρχὴν τουλάχιστον ἐπίστευσεν εἰς τὸν Χριστόν, ἀφοῦ κανεὶς δὲν τὸν ἠνώχλει, ἀλλ' ἐγὼ νομίζω, ὅτι ὁ παραλυτικὸς ἔδειξε μεγάλην ἀνδρείαν, ὅταν μετὰ τὸ θαῦμα, ἐνῷ οἱ Ἰουδαῖοι ἐμαίνοντο καὶ τοῦ ἐπετίθεντο ἀπὸ ὅλα τὰ μέρη καὶ τὸν κατηγόρουν καὶ τὸν ἐπολιόρκουν λέγοντες, «Δὲν ἐπιτρέπεται νὰ σηκώσῃς τὸ κρεββάτι σου», αὐτὸς ὄχι μόνον ἐπεριφρόνησε τὴν μανίαν τους ἀλλὰ καὶ μὲ μεγάλο θάρρος εἰς τὸ μέσον τοῦ θεάτρου ἀνεκήρυξε τὸν εὐεργέτην του καὶ ἀπεστόμωσε τὴν ἀναίσχυντον γλῶσσαν των, πρᾶγμα ποὺ κατὰ τὴν γνώμην μου τουλάχιστον ἀποδεικνύει μεγάλην ἀνδρείαν.

Ὅταν δηλαδὴ συνεκεντρώθησαν οἱ Ἰουδαῖοι καὶ ἔλεγαν ἐπιτιμητικῶς καὶ μὲ αὐθάδειαν εἰς τὸν παραλυτικόν, «Εἶναι Σάββατον, δὲν σοῦ ἐπιτρέπεται νὰ σηκώσῃς τὸ κρεββάτι σου», ἄκουσε, τί τοὺς ἀπήντησεν· «Ἐκεῖνος ποὺ μὲ ἔκαμεν ὑγιῆ, ἐκεῖνος μοῦ εἶπε· 'Σήκωσε τὸ κρεββάτι σου καὶ περιπάτησε'», σὰ νὰ τοὺς ἔλεγε· Φλυαρεῖτε καὶ ἀνοηταίνετε, ὅταν μὲ διατάσσατε νὰ μὴ θεωρῶ διδάσκαλον ἐκεῖνον ποὺ μὲ ἐγλύτωσεν ἀπὸ τόσον μακροχρόνιον καὶ βαρεῖαν ἀρρώστειαν καὶ νὰ μὴ ὑπακούω εἰς τὰς ἐντολάς του. Ἂν καί, ἐὰν ἤθελε νὰ συμπεριφερθῇ κακῶς, ἠμποροῦσε νὰ ἐκφρασθῇ διαφορετικά, παραδείγματος χάριν· Δὲν κάμνω τοῦτο μὲ τὴν θέλησίν μου, ἀλλ' ἐπειδὴ μὲ διέταξεν ἄλλος. Ἂν δὲ αὐτὸ εἶναι ἁμάρτημα, νὰ κατηγορήσετε αὐτὸν ποὺ μὲ διέταξε καὶ ἀφήνω κάτω τὴν κλίνην. Θὰ ἠμποροῦσεν ἐπίσης νὰ κρύψῃ καὶ τὴν θεραπείαν του. Διότι ἤξευρε καλά, ὅτι οἱ Ἰουδαῖοι δὲν εἶχαν ἐκμανῆ τόσον διὰ τὴν παραβίασιν τοῦ Σαββάτου, ὅσον διὰ τὴν θεραπείαν τῆς ἀσθενείας.

Ἀλλ' οὔτε τοῦτο ἔκρυψεν, οὔτε ἐκεῖνο εἶπεν, οὐδὲ συγγνώμην ᾔτησεν, ἀλλὰ λαμπρᾷ τῇ φωνῇ τὴν εὐεργεσίαν ὡμολόγει καὶ ἀνεκήρυττε. Καὶ ὁ μὲν παράλυτος οὕτως· ἐκεῖνοι δὲ σκόπει πῶς κακούργως. Οὐ γὰρ εἶπον, Τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ; ἀλλὰ τοῦτο μὲν ἐσίγησαν· ἄνω δὲ καὶ κάτω τὴν δοκοῦσαν εἶναι παράβασιν εἰς μέσον ἦγον· «Τίς ἐστιν ὁ εἰπών σοι, Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει; Ὁ δὲ τεθεραπευμένος οὐκ ᾔδει τίς ἐστιν. Ὁ γὰρ Ἰησοῦς ἐξέκλινεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ».

Καὶ τί δήποτε ἔκρυψεν ἑαυτὸν ὁ Χριστός; Πρῶτον μέν, ἵνα ἀπόντος αὐτοῦ ἡ μαρτυρία ἀνύποπτος γένηται· ὁ γὰρ αἴσθησιν λαβὼν τῆς ὑγιείας, ἀξιόπιστος ἦν τῆς εὐεργεσίας μάρτυς. Ἔπειτα, ἵνα μὴ πλέον τούτων παρασκευάσῃ τὸν θυμὸν ἐκκαῆναι (οἶδε γὰρ καὶ ὄψις μόνη τοῦ φθονουμένου οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σπινθῆρα). Διὰ τοῦτο ἀναχωρήσας, ἀφίησιν αὐτὸν καθ' ἑαυτὸ τὸ ἔργον ἀγωνίζεσθαι παρ' αὐτοῖς, ὥστε μηκέτι αὐτὸν περὶ ἑαυτοῦ τι λέγειν, ἀλλὰ τοὺς τεθεραπευμένους καὶ μετ' ἐκείνων αὐτοὺς τοὺς ἐγκαλοῦντας.

Καὶ γὰρ καὶ οὗτοι τέως μαρτυροῦσι τῷ θαύματι. Οὐ γὰρ εἶπον, Διατί ταῦτα ἐκέλευσας, γενέσθαι ἐν Σαββάτῳ; ἀλλά, Διατί ταῦτα ποιεῖς ἐν Σαββάτῳ; οὐχ ὑπὲρ τῆς παραβάσεως δυσχεραίνοντες, ἀλλὰ τῇ σωτηρίᾳ τοῦ παραλύτου φθονοῦντες. Καίτοι γε, ὅσον εἰς ἀνθρώπινον ἔργον, τοῦτο μᾶλλον ἔργον ἦν, ὅπερ ἐποίησεν ὁ παράλυτος· ἐκεῖνο δὲ λόγος καὶ ῥῆμα. Ἐνταῦθα μὲν οὖν ἑτέρως κελεύει λύειν τὸ Σάββατον· ἀλλαχοῦ δὲ δι' ἑαυτοῦ τοῦτο ἐργάζεται, φυρῶν πηλὸν καὶ ἐπιχρίων ὀφθαλμούς. Ποιεῖ δὲ ταῦτα, οὐ παραβαίνων, ἀλλ' ὑπερβαίνων τὸν νόμον. Καὶ ὑπὲρ μὲν τούτων,

'Αλλ' ὁ παραλυτικὸς οὔτε τὴν θεραπείαν ἔκρυψεν, οὔτε ἐκεῖνα εἶπεν, οὔτε συγχώρησιν ἐζήτησεν, ἀλλὰ μὲ δυνατὴν φωνὴν ὡμολόγει καὶ διέδιδε τὴν θεραπείαν του. Καὶ ὁ μὲν παραλυτικὸς αὐτὰ ἔκαμε. Πρόσεξε δέ, πόσον ἀσεβῶς ἐφέρθησαν οἱ 'Ιουδαῖοι. Διότι δὲν τὸν ἠρώτησαν· Ποῖος σὲ ἔκαμεν ὑγιῆ, ἀλλ' αὐτὸ τὸ ἀπεσιώπησαν καὶ μὲ μεγάλον θόρυβον ἔφεραν εἰς τὸ μέσον τὴν φαινομενικὴν παράβασιν· «Ποῖος εἶναι ὁ ἄνθρωπος ποὺ σοῦ εἶπε, Σήκωσε τὸ κρεββάτι σου καὶ περιπάτησε;». 'Αλλ' ὁ θεραπευθεὶς δὲν ἤξευρε ποῖος εἶναι. Διότι ὑπῆρχε πολὺς κόσμος εἰς τὸ μέρος ἐκεῖνο καὶ ὁ 'Ιησοῦς εἶχεν ἐκφύγει».

Καὶ διατί ἐκρύβη ὁ Χριστός; Πρῶτον μὲν διὰ νὰ μὴ ὑπάρχῃ καμμία ὑποψία, ἀφοῦ αὐτὸς ἀπουσίαζε. Διότι, ἀφοῦ ὁ παραλυτικὸς ᾐσθάνθη τὴν ἀποκατάστασιν τῆς ὑγείας του, ἦτο ὁ πλέον ἀξιόπιστος μάρτυς τῆς εὐεργεσίας. Ἔπειτα, διὰ νὰ μὴ ἀνάψῃ εἰς τὰς ψυχὰς τῶν 'Ιουδαίων μεγαλύτερον μῖσος (διότι ἐγνώριζεν, ὅτι καὶ μόνον ἡ παρουσία αὐτοῦ ποὺ προκαλεῖ τὸ μῖσος δὲν προκαλεῖ μικρὸν σπινθῆρα εἰς τοὺς μισοῦντας). Διὰ τοῦτο, ἀφοῦ ἀπεχώρησεν, ἄφησε τὸ ἴδιο τὸ ἔργον του νὰ παλαίῃ μὲ αὐτούς, οὕτως ὥστε αὐτὸς νὰ μὴ λέγῃ πλέον τίποτε διὰ τὸν ἑαυτόν του, ἀλλὰ νὰ συζητοῦν οἱ θεραπευθέντες μὲ τοὺς κατηγόρους του.

Διότι καὶ οἱ κατήγοροί του ἐπίσης ἔδιδον μαρτυρίαν περὶ τοῦ θαύματος. Διότι δὲν εἶπαν· Διατί διέταξες νὰ γίνουν αὐτὰ τὸ Σάββατον; ἀλλά· Διατί κάμνεις αὐτὰ τὸ Σάββατον; ὄχι ἐπειδὴ ἐδυσανασχέτουν διὰ τὴν παράβασιν, ἀλλ' ἐπειδὴ ἐφθόνουν διὰ τὴν σωτηρίαν τοῦ παραλύτου. Καὶ ὅμως, ἂν ἀποβλέψῃς εἰς τὸ ἀνθρώπινον ἔργον, ἐκεῖνο ἦτο περισσότερον ἔργον, ποὺ ἔκαμεν ὁ παράλυτος. 'Εκεῖνο δὲ ποὺ ἔκαμεν ὁ Χριστὸς ἦτο μόνον λόγος. 'Εδῶ μὲ ἄλλον τρόπον διατάσσει τὴν κατάλυσιν τοῦ Σαββάτου, ἀλλοῦ ὅμως τὸ κάμνει ὁ ἴδιος κατ' ἄλλον τρόπον, ἀναμιγνύων λάσπην καὶ τοποθετῶν αὐτὴν εἰς τοὺς ὀφθαλμούς. Μὲ αὐτὰ δὲ ποὺ κάμνει, δὲν παραβαίνει ἀλλ' ὑπερβαίνει τὸν νόμον.

ὕστερον. Οὐδὲ γὰρ ὁμοίως πανταχοῦ περὶ τοῦ Σαββάτου παρ' αὐτῶν ἐγκαλούμενος ἀπολογεῖται· καὶ δεῖ τοῦτο παρατηρεῖν μετὰ ἀκριβείας.

3. Τέως δὲ ἴδωμεν ὅσον ἡ βασκανία κακὸν καὶ πῶς τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πηροῖ κατὰ τῆς τοῦ ἀλόντος σωτηρίας. Καθάπερ γὰρ οἱ μαινόμενοι καθ' ἑαυτῶν πολλάκις ὠθοῦσι τὰ ξίφη· οὕτω καὶ οἱ βασκαίνοντες, πρὸς ἓν μόνον ὁρῶντες, τὴν λύμην τοῦ φθονουμένου, τῆς οἰκείας ἀλογοῦσι σωτηρίας. Οὗτοι καὶ θηρίων χείρους. Ἐκεῖνα γὰρ ἢ τροφῆς δεόμενα ἢ πρότερον ὑφ' ἡμῶν παροξυνθέντα, ὁπλίζεται καθ' ἡμῶν· οὗτοι δὲ καὶ εὐεργετηθέντες πολλάκις, τὰ τῶν ἀδικούντων τοὺς εὐεργέτας διέθηκαν.

Θηρίων μὲν οὖν οὗτοι χαλεπώτεροι, δαιμόνων δὲ ἴσοι, τάχα δὲ καὶ ἐκείνων χείρους. Ἐκεῖνοι γὰρ πρὸς μὲν ἡμᾶς ἄσπονδον ἔχουσιν ἔχθραν, τοῖς δὲ ὁμογενέσιν οὐκ ἐπιβουλεύουσιν· ὅθεν τούτῳ καὶ τοὺς Ἰουδαίους ἐπεστόμιζεν ὁ Χριστός, ἡνίκα αὐτὸν ἐν Βεελζεβοὺλ ἔλεγον ἐκβάλλειν τὰ δαιμόνια. Οὗτοι δὲ οὔτε τὴν κοινωνίαν τῆς φύσεως ᾐδέσθησαν, οὔτε ἑαυτῶν ἐφείσαντο. Πρὸ γὰρ τῶν φθονουμένων τὰς ἑαυτῶν ψυχὰς κολάζουσι, θορύβου παντὸς καὶ ἀθυμίας πληροῦντες αὐτὰς εἰκῇ καὶ μάτην.

Τίνος γὰρ ἕνεκεν ἀλγεῖς, ὦ ἄνθρωπε, τῆς τοῦ πλησίον καλοῖς; Ἀλγεῖν ὄντως χρὴ ἡμᾶς ἐφ' οἷς πάσχομεν κακῶς, οὐκ ἐφ' οἷς ἑτέρους εὐδοκιμοῦντας ὁρῶμεν. Διὰ τοῦτο ἁπάσης ἀπεστέρηται συγγνώμης τουτὶ τὸ ἁμάρτημα. Ὁ μὲν γὰρ πόρνος ἔχει τὴν ἐπιθυμίαν εἰπεῖν καὶ ὁ κλέπτης τὴν πενίαν καὶ ὁ ἀνδροφόνος τὸν θυμόν· ψυχρὰς μὲν καὶ ἀλόγους, ὅμως δὲ ἔχουσί τινας προφάσεις εἰπεῖν. Σὺ δὲ ποίαν αἰτίαν ἐρεῖς, εἰπέ μοι; Οὐ-

Ἀλλὰ περὶ αὐτῶν θὰ ὁμιλήσωμεν ἀργότερα. Πρέπει ὅμως νὰ παρατηρήσωμεν μὲ ἀκρίβειαν, ὅτι δὲν ἀπολογεῖται πάντοτε μὲ τὰ ἴδια λόγια, ὅταν κατηγορεῖται διὰ τὴν κατάλυσιν τοῦ Σαββάτου.

3. Ἂς ἴδωμεν εἰς τὸ μεταξύ, πόσον φοβερὸν κακὸν εἶναι τὸ μῖσος καὶ πῶς τυφλώνει τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς πρὸς καταστροφὴν τοῦ μισοῦντος. Διότι, ὅπως πολλὰς φορὰς οἱ μανιακοὶ στρέφουν τὸ ξίφος ἐναντίον τοῦ ἑαυτοῦ των, ἔτσι καὶ οἱ μισοῦντες, ἐπειδὴ ἀποβλέπουν μόνον εἰς τὴν ἐξόντωσιν ἐκείνου ποὺ μισοῦν, φέρονται ἀλογίστως διὰ τὴν ἰδικήν τους σωτηρίαν. Αὐτοὶ εἶναι χειρότεροι καὶ ἀπὸ θηρία. Διότι ἐκεῖνα ὁπλίζονται ἐναντίον μας ἢ ἐπειδὴ ἔχουν ἀνάγκην τροφῆς ἢ ἐπειδὴ προηγουμένως τὰ ἔχομεν ἐξερεθίσει. Αὐτοὶ ὅμως, ἂν καὶ ἔχουν εὐεργετηθῆ ἀπὸ ἡμᾶς πολλὰς φοράς, θεωροῦν τοὺς εὐεργέτας των ὡς ἐχθρούς.

Εἶναι λοιπὸν αὐτοὶ χειρότεροι ἀπὸ θηρία, ὅμοιοι μὲ τοὺς δαίμονας καὶ ἴσως ἀπὸ ἐκείνους χειρότεροι. Διότι οἱ μὲν δαίμοντες ἔχουν ἄσπονδον ἔχθραν ἐναντίον μας, ἀλλὰ δὲν ἐπιβουλεύονται τοὺς ὁμοίους των. Μὲ αὐτὰ ἀπεστόμωνεν ὁ Χριστὸς τοὺς Ἰουδαίους, ὅταν ἰσχυρίζοντο ὅτι μὲ τὴν δύναμιν τοῦ Βεελζεβοὺλ ἐξεδίωκε τὰ δαιμόνια. Αὐτοὶ ὅμως οὔτε τὴν συμφωνίαν τῆς φύσεως ἐσεβάσθησαν, οὔτε τοὺς ἑαυτούς των ἐλυπήθησαν. Διότι ἕνεκα τοῦ μίσους βλάπτουν τὰς ψυχάς των, ἐπειδὴ τὰς γεμίζουν ματαίως καὶ τυχαίως ἀπὸ κάθε θόρυβον καὶ στενοχωρίαν.

Διατί, ἄνθρωπέ μου, θλίβεσαι διὰ τὰ καλὰ τοῦ πλησίον σου; Πράγματι πρέπει νὰ θλιβώμεθα διὰ τὰ κακὰ ποὺ παθαίνομεν καὶ ὄχι ἐπειδὴ βλέπομεν τοὺς ἄλλους νὰ εὐτυχοῦν. Διὰ τοῦτο αὐτὸ τὸ ἁμάρτημα ἔχει στερηθῆ ἀπὸ κάθε συγχώρησιν. Διότι ὁ μὲν πόρνος ἠμπορεῖ νὰ ἐπικαλεσθῆ τὴν ἐπιθυμίαν, ὁ κλέπτης τὴν φτώχειαν καὶ ὁ φονεὺς τὸν θυμόν. Ὅσον καὶ ἂν εἶναι ψυχροὶ καὶ παράλογοι, ἔχουν νὰ προβάλλουν μερικὰς δικαιολογίας. Ἐσὺ ὅμως, εἰπέ μου, ποίαν δικαιολογίαν θὰ προβάλῃς; Καμμίαν ἀπολύτως, παρ᾽

δεμίαν οὐδαμόθεν, ἀλλ' ἢ πονηρίαν ἐπιτεταμένην μόνην. Εἰ γὰρ ἐχθροὺς ἀγαπᾶν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν ποίαν τίσομεν δίκην; Καὶ εἰ ὁ τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται, ὁ τοῖς μηδὲν ἠδικηκόσιν ἐπηρεάζων, ποίαν ἕξει συγγνώμην; τίνα δὲ παραμυθίαν; Ἄκουσον τοῦ Παύλου τί φησιν· «Ἐὰν τὸ σῶμά μου παραδῶ ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι». Ὅτι δὲ ὅπου φθόνος καὶ βασκανία, τὰ τῆς ἀγάπης ἀνῄρηται, παντί που δῆλόν ἐστι. Τοῦτο τὸ πάθος καὶ πορνείας καὶ μοιχείας χεῖρόν ἐστι. Τὸ μὲν γὰρ μέχρι τοῦ πράξαντος ἵσταται, τῆς δὲ βασκανίας ἡ τυραννὶς Ἐκκλησίας ὁλοκλήρους ἀνέτρεψε, καὶ τὴν οἰκουμένην ἅπασαν ἐλυμήνατο. Αὕτη φόνου μήτηρ ἐστίν· οὕτως ἀπέκτεινε τὸν ἀδελφὸν ὁ Κάϊν, οὕτω καὶ τὸν Ἰακὼβ ὁ Ἡσαῦ, οὕτω καὶ τὸν Ἰωσὴφ οἱ ἀδελφοί, οὕτω καὶ τοὺς ἀνθρώπους ἅπαντας ὁ διάβολος.

Ἀλλὰ σὺ νῦν οὐκ ἀναιρεῖς, ἀλλὰ πολλὰ τοῦ φόνου ποιεῖς χαλεπώτερα, εὐχόμενος τὸν ἀδελφὸν ἀσχημονεῖν, πάγας πανταχόθεν τιθείς, ἐκλύων τοὺς ὑπὲρ ἀρετῆς πόνους, ἀλγῶν ὅτι τῷ τῆς οἰκουμένης ἀρέσκει Δεσπότῃ. Οὐκ ἐκείνῳ ἄρα, ἀλλὰ τῷ δι' ἐκείνου θεραπευμένῳ πολεμεῖς, ἐκεῖνον ὑβρίζεις, τὴν σαυτοῦ τιμὴν τῆς ἐκείνου προτιθείς. Καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅτι καὶ ἀδιάφορον δοκεῖ τὸ ἁμάρτημα εἶναι, καίτοι γε τῶν ἄλλων ἐστὶ χαλεπώτερον. Κἂν γὰρ ἐλεῇς κἂν ἀγρυπνῇς κἂν νηστεύῃς, ἁπάντων ἐναγέστερος γέγονας φθονῶν τῷ ἀδελφῷ. Καὶ τοῦτο δῆλον ἐκεῖθεν· Ἐπόρνευσέ τις παρὰ Κορινθίοις ποτέ· ἀλλ' ἐνεκλήθη καὶ διωρθώθη ταχέως. Ἐφθόνησε τῷ Ἄβελ ὁ Κάϊν, ἀλλ' οὐκ ἐθεραπεύθη, ἀλλὰ καὶ τοῦ Θεοῦ συνεχῶς ἐπᾴδοντος αὐτοῦ τῷ ἕλκει, μᾶλλον ὤδινε καὶ ἐκυματοῦτο, καὶ πρὸς τὸν φόνον

7. Α' Κορ. 13, 3.

μόνον τεραστίαν πονηρίαν. Διότι, ἂν προτρεπώμεθα ν' ἀγαπῶμεν τοὺς ἐχθρούς μας, ὅταν ἡμεῖς μισοῦμεν καὶ αὐτοὺς ποὺ μᾶς ἀγαποῦν, ποίαν τιμωρίαν πρέπει νὰ ὑποστῶμεν; Ἀλλ' ἂν ἐκεῖνος ποὺ ἀγαπᾷ τοὺς φίλους του δὲν διαφέρῃ ἀπὸ τοὺς εἰδωλολάτρας, ἐκεῖνος ποὺ βλάπτει αὐτοὺς ποὺ δὲν τὸν ἠδίκησαν, ποίαν συγχώρησιν θὰ ἔχῃ; Καὶ ποίαν παρηγορίαν; Ἄκουσε, τί λέγει ὁ Παῦλος· «Καὶ ἐὰν παραδώσω τὸ σῶμα μου νὰ καῇ, ἀλλὰ δὲν ἔχω ἀγάπην, καμμίαν ὠφέλειαν δὲν ἔχω»[7]. Διότι εἶναι ὁλοφάνερον ὅτι, ὅπου ὑπάρχει φθόνος καὶ μῖσος, ἡ ἀγάπη ἐξαφανίζεται τελείως. Αὐτὸ τὸ ἐλάττωμα εἶναι χειρότερον ἀπὸ τὴν πορνείαν καὶ τὴν μοιχείαν. Διότι αὐτὸ μὲν τὸ ἐλάττωμα μένει εἰς ἐκεῖνον ποὺ τὸ ἔχει, ἐνῷ ἡ τυραννία τοῦ μίσους ἀνεστάτωσεν ὁλοκλήρους Ἐκκλησίας καὶ ἔβλαψεν ὁλόκληρον τὴν οἰκουμένην. Αὐτὴ εἶναι ἡ μήτηρ τοῦ φόνου. Ἔτσι ἐφόνευσε ὁ Κάϊν τὸν ἀδελφόν του, ὁ Ἠσαῦ τὸν Ἰακώβ, τὸν Ἰωσὴφ οἱ ἀδελφοί του καὶ ὅλους τοὺς ἀνθρώπους ὁ διάβολος.

Ἀλλὰ σὺ τώρα δὲν φονεύεις, κάμνεις ὅμως πολλὰ ἄλλα χειρότερα ἀπὸ τὸν φόνον, ἀφοῦ εὔχεσαι νὰ ἀσχημονῇ ὁ ἀδελφός σου, ἀφοῦ στήνῃς παντοῦ παγίδας, ἀφοῦ ἐπιχειρῇς ὕποπτα ἔργα ἀντὶ τῆς ἀρετῆς καὶ ἀφοῦ θλίβεσαι δι' ὅσα ἀρέσουν εἰς τὸν Κύριον τῆς οἰκουμένης. Ἑπομένως δὲν πολεμεῖς τὸν θεραπευθέντα, ἀλλ' ἐκεῖνον ποὺ ἐθεράπευσεν, ἐκεῖνον ὑβρίζεις ἀφοῦ ἀντιθέτῃς τὴν ἰδικήν σου τιμὴν εἰς τὴν τιμὴν ἐκείνου. Καὶ τὸ χειρότερον ὅλων εἶναι, ὅτι θεωρεῖς τὸ ἁμάρτημά σου μικρόν, ἐνῷ εἶναι τὸ βαρύτερον ὅλων. Διότι καὶ ἂν κάμνῃς ἐλεημοσύνας καὶ ἂν ἀγρυπνῇς καὶ ἂν νηστεύῃς, εἶσαι ὁ ἐγκληματικώτερος ὅλων, ἀφοῦ μισῇς τὸν ἀδελφόν σας. Καὶ τοῦτο ἀποδεικνύεται ἀπὸ τὸ ἑξῆς· Κάποτε ἐπόρνευσε κάποιος Κορίνθιος. Ἀλλ' ἀφοῦ κατηγορήθη, ταχέως ἔγινε σώφρων. Ἐμίσησεν ὁ Κάϊν τὸν ἀδελφόν του, ἀλλὰ δὲν ἐθεραπεύθη καὶ μολονότι ὁ Θεὸς ὑπενθύμιζεν εἰς αὐτὸν τὴν πληγήν, ἐπονοῦσε καὶ ὠργίζε-

ἠπείγετο.

Οὕτω τοῦτο ἐκείνου τοῦ πάθους χαλεπώτερον, καὶ οὐκ εὐκόλως εἴκει τῇ θεραπείᾳ, ἐὰν μὴ προσέχωμεν. Πρόρριζον τοίνυν αὐτὸ πάντοθεν ἀνασπάσωμεν, ἐκεῖνο ἐννοοῦντες, ὅτι ὥσπερ προσκρούομεν τῷ Θεῷ, τηκόμενοι τοῖς ἀλλοτρίοις καλοῖς, οὕτως εὐδοκιμοῦμεν συγχαίροντες, καὶ κοινωνοὺς ἑαυτοὺς ποιοῦμεν τῶν ἀποκειμένων τῷ κατορθοῦντι καλῶν. Διὰ τοῦτο καὶ Παῦλος παραινεῖ, «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων», ἵνα ἑκατέρωθεν μέγα καρπωσώμεθα κέρδος. Ἐννοήσαντες τοίνυν, ὅτι κἂν μὴ πονῶμεν, τῷ πονοῦντι συνηδόμενοι, μερισταὶ γινόμεθα τῶν ἐκείνου στεφάνων, πᾶσαν ἐκβάλωμεν βασκανίαν, καὶ τὴν ἀγάπην ἐκ ταῖς ἑαυτῶν φυτεύσωμεν ψυχαῖς, ἵνα συγκροτοῦντες τοὺς εὐδοκιμοῦντας τῶν ἀδελφῶν, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

8. Ρωμ. 12, 15.

το περισσότερον καὶ προπαρεσκεύαζε τὸν φόνον.

Αὐτὸ λοιπὸν τὸ ἐλάττωμα τοῦ μίσους εἶναι βαρύτερον τοῦ προηγουμένου καὶ δὲν ὑποχωρεῖ εὐκόλως εἰς τὴν θεραπείαν, ἐὰν δὲν προσέχωμεν. Ἂς ἀποσπάσωμεν λοιπὸν αὐτὸ ἀπὸ τὴν ρίζαν του ἔχοντες ὑπ' ὄψιν τοῦτο, ὅτι ὅπως ἁμαρτάνομεν εἰς τὸν Θεόν, ὅταν λειώνωμεν ἀπὸ μῖσος διὰ τὰ καλὰ τῶν ἄλλων, ἔτσι γινόμεθα ἀρεστοὶ εἰς αὐτόν, ὅταν χαίρωμεν καὶ κάμνωμεν τοὺς ἑαυτούς μας κοινωνοὺς μὲ ἐκεῖνον ποὺ ἐπιτυγχάνει ὀρθῶς τὰ καλά. Διὰ τοῦτο καὶ ὁ Παῦλος συμβουλεύει, «Νὰ χαίρωμεν μὲ ἐκείνους ποὺ χαίρουν καὶ νὰ κλαίωμεν μὲ ἐκείνους ποὺ κλαίουν»[8], διὰ ν' ἀπολαύσωμεν μεγάλο κέρδος. Ἀφοῦ λοιπὸν καταλάβωμεν, ὅτι καὶ ἂν ἀκόμη δὲν κοπιάζωμεν, ὅμως εὐχαριστούμεθα μαζὶ μ' ἐκεῖνον ποὺ κοπιάζει καὶ μοιραζόμεθα μαζί του τοὺς στεφάνους, ἂς ἐκδιώξωμεν κάθε μῖσος καὶ ἂς φυτεύσωμεν εἰς τὰς ψυχάς μας τὴν ἀγάπην, ἵνα, ἀφοῦ χειροκροτήσωμεν τοὺς εὐδοκιμοῦντας ἐκ τῶν ἀδελφῶν μας, νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΗ΄.

Ἰω. 5,14 - 21

«Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται».

1. Δεινὸν ἡ ἁμαρτία, δεινὸν καὶ ψυχῆς λύμη· πολλάκις δὲ ἐκ περιουσίας καὶ σωμάτων ἥψατο τὸ κακὸν ὑπερβλύσαν. Ἐπειδὴ γὰρ τὰ πολλὰ τῆς μὲν ψυχῆς ἡμῖν καμνούσης, ἀναλγήτως ἔχομεν, τὸ δὲ σῶμα κἂν μικρὰν δέξηται βλάβην, πᾶσαν ποιούμεθα σπουδήν, ὥστε ἐλευθερῶσαι τῆς ἀρρωστίας αὐτό, διὰ τὸ τῆς ἀρρωστίας αἰσθάνεσθαι· διὰ τοῦτο καὶ ὁ Θεὸς τοῦτο κολάζει πολλάκις ὑπὲρ τῶν ἐκείνῃ πεπλημμελημένων, ὥστε διὰ τῆς τοῦ ἐλάττονος μάστιγος καὶ τὸ κρεῖττον τυχεῖν θεραπείας τινός. Οὕτω καὶ παρὰ Κορινθίοις τὸν πορνεύσαντα Παῦλος διώρθωσε, τῷ τῆς σαρκὸς ὀλέθρῳ τὸ τῆς ψυχῆς νόσημα ἐπισχών. Καὶ γὰρ τῷ σώματι τὴν τομὴν ἐπαγαγών, οὕτω κατέστειλε τὸ κακόν· καθάπερ τις ἰατρὸς ἄριστος, ὕδερον ἢ σπλῆνα, τοῖς ἔνδοθεν φαρμάκοις οὐκ εἴκοντα, κατακαίων ἔξωθεν.

Τοῦτο καὶ ὁ Χριστὸς ἐποίησεν ἐπὶ τοῦ παραλύτου. Καὶ ὅρα πῶς δηλῶν αὐτὸς ἔλεγεν· «Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Τί τοίνυν ἐντεῦθεν μανθάνομεν; Πρῶτον μέν, ὅτι αὐτῷ ἐξ ἁμαρτιῶν ἐτέχθη τὸ νόσημα· δεύτερον δέ, ὅτι πιστὸς ὁ τῆς γεέννης λόγος· καὶ τρίτον, τὸ μακρὰν εἶναι καὶ ἄπειρον τὴν τιμωρίαν. Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι Ἐν ὥρᾳ μιᾷ ἐφόνευσα, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἐμοίχευσα καὶ ἀθάνατα κολάζομαι; Ἰδοὺ γὰρ καὶ οὗτος οὐκ ἐν τοσούτοις ἥμαρτεν ἔτεσιν, ἐν ὅσοις καὶ ἐκολάζετο καὶ ὁλόκληρον ὅμως ἀνθρώπου βίον ἀνάλωσεν ἐν τῷ μήκει τῆς τιμωρίας. Οὐδὲ γὰρ ἐν χρόνῳ τὰ

---

1. Ἰω. 5, 14.

ΟΜΙΛΙΑ ΛΗ΄.

Ἰω. 5,14 - 21

«Ὕστερα τὸν εὑρῆκεν ὁ Ἰησοῦς εἰς τὸν ναὸν καὶ τοῦ εἶπε· Ἰδές, ἔγινες ὑγιής, μὴ ἁμαρτάνῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ κάτι τὸ χειρότερον»[1].

1. Ἡ ἁμαρτία εἶναι φοβερὸν πρᾶγμα, φοβερὸν καὶ καταλυτικὸν τῆς ψυχῆς. Πολλὰς φορὰς ἐπὶ πλέον τὸ κακὸν ποὺ ὑπερεκχειλίζει θίγει καὶ τὰ σώματα. Ἐπειδὴ δηλαδὴ ὡς ἐπὶ τὸ πολὺ δὲν πονοῦμεν, ὅταν ἀσθενῇ ἡ ψυχή μας, ὅταν ὅμως τὸ σῶμα μας πάθῃ ἔστω καὶ μικρὰν βλάβην, καταβάλλομεν κάθε προσπάθειαν, διὰ νὰ τὸ ἀπαλλάξωμεν ἀπὸ τὴν ἀσθένειαν, διὰ τοῦτο πολλὰς φορὰς ὁ Θεὸς τιμωρεῖ τὸ σῶμα διὰ τὰ ἁμαρτήματα τῆς ψυχῆς, ὥστε μὲ τὴν τιμωρίαν τοῦ μικροτέρου νὰ θεραπευθῇ τὸ μεγαλύτερον. Μὲ αὐτὸν τὸν τρόπον καὶ ὁ Παῦλος ἐθεράπευσε τὸν πόρνον τῆς Κορίνθου, ἀφοῦ συνεκράτησε τὴν ἀσθένειαν τῆς ψυχῆς μὲ τὴν καταστροφὴν τοῦ σώματος. Διότι κατέστειλε τὸ κακὸν μὲ τὴν ἐγχείρισιν τοῦ σώματος, ὅπως ἕνας ἄριστος ἰατρός, ὁ ὁποῖος, ὅταν ἡ ὑδρωπικία ἢ ὁ σπλὴν δὲν ὑποχωρῇ μὲ τὰ ἐσωτερικὰ φάρμακα, τὰ καυτηριάζει ἐξωτερικῶς.

Αὐτὸ ἔκαμε καὶ ὁ Χριστὸς μὲ τὸν παράλυτον. Καὶ πρόσεχε πῶς τοῦ τὸ εἶπεν· «Ἰδές, ἔγινες ὑγιής, μὴ ἁμαρτάνῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ κάτι τὸ χειρότερον». Τί πληροφορούμεθα ἀπὸ αὐτά; Πρῶτον, ὅτι τὸ νόσημά του ὁ παράλυτος τὸ ἀπέκτησεν ἀπὸ τὰς ἁμαρτίας του. Δεύτερον, ὅτι εἶναι ἀληθινὸς ὁ λόγος περὶ τῆς γεέννης. Καὶ τρίτον, ὅτι ἡ τιμωρία εἶναι μακροχρόνιος καὶ διαρκής. Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ ἰσχυρίζονται· Διὰ τὸ διάστημα μιᾶς ὥρας ποὺ ἐφόνευσα, καὶ δι' ἐλάχιστον χρόνον ποὺ ἐμοίχευσα θὰ τιμωροῦμαι αἰωνίως; Καὶ ὁ παράλυτος δὲν ἡμάρτησεν εἰς διάστημα τόσων ἐτῶν, εἰς ὅσον ἐτιμωρεῖτο, ἀλλ' ἐπὶ πλέον ὁλόκληρον ἀνθρώπινον βίον κατηνάλωσεν εἰς τὴν μακρότητα τῆς τιμωρίας. Διότι τὰ ἁμαρτήματα δὲν

ἁμαρτήματα κρίνεται, ἀλλ' ἐν αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων.

Μετὰ τούτων κἀκεῖνο ἔστιν ἰδεῖν, ὅτι, κἂν χαλεπὴν δῶμεν δίκην ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων, εἶτα τοῖς αὐτοῖς περιπέσωμεν, χαλεπώτερα πολλῷ μᾶλλον πεισόμεθα πάλιν· καὶ μάλα εἰκότως· Ὁ γὰρ μηδὲ τῇ τιμωρίᾳ γενόμενος βελτίων, ὡς ἀναίσθητος λοιπὸν καὶ καταφρονητὴς ἐπὶ μείζονα ἄγεται κόλασιν. Ἤρκει μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ κόλασις συστεῖλαι, καὶ ποιῆσαι σωφρονέστερον τὸν ὀλισθήσαντα ἅπαξ· ἐπεὶ δὲ τῇ ἐπενεχθείσῃ τιμωρίᾳ μὴ σωφρονισθείς, τὰ αὐτὰ πάλιν τολμᾷ, εἰκότως ἄν τινα δίκην ὁ τοιοῦτος ὑφέξει, ταύτην αὐτὸς ἐφ' ἑαυτὸν προκαλούμενος. Εἰ δὲ καὶ ἐνταῦθα τιμωρηθέντες, πάλιν τοῖς αὐτοῖς περιπίπτοντες, χαλεπώτερον κολαζόμεθα· ὅταν μηδ' ὅλως ἁμαρτόντες τιμωρίαν ὑπόσχωμεν πῶς οὐ σφόδρα χρὴ τοῦτο μάλιστα δεδοικέναι καὶ τρέμειν, ἅτε ἀνήκεστα μέλλοντας ὑπομένειν;

Καὶ τίνος ἕνεκεν, φησί, μὴ πάντες οὕτω κολάζονται; Καὶ γὰρ πολλοὺς ὁρῶμεν, τῶν φαύλων εὐσωματοῦντας καὶ σφριγῶντας καὶ πολλῆς ἀπολαύοντας εὐημερίας. Ἀλλὰ μὴ θαρρῶμεν, ἀλλ' ἐπὶ τούτοις μάλιστα πάντων αὐτοὺς δακρύωμεν. Τὸ γὰρ μηδὲν αὐτοὺς ἐνταῦθα παθεῖν, ἐφόδιον γίνεται μείζονος τῆς ἐκεῖ τιμωρίας. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· «Νῦν δὲ κρινόμενοι ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Τὰ μὲν γὰρ ἐνταῦθα, νουθεσίας, τὰ δὲ ἐκεῖ, τιμωρίας ἐστί.

Τί οὖν; πάντα, φησί, τὰ νοσήματα ἐξ ἁμαρτημάτων; Οὐ πάντα μέν, ἀλλὰ πλείονα· ἔνια δὲ καὶ ἀπὸ ῥᾳθυμίας γίγνεται. Καὶ γὰρ καὶ γαστριμαργία καὶ μέθη καὶ ἀργία τὰ τοιαῦτα

---

2. Α' Κορ. 11, 32.

διακρίνονται ἀπὸ τὸν Θεὸν σύμφωνα μὲ τὴν χρονικήν των διάρκειαν ἀλλὰ σύμφωνα μὲ τὴν ἰδίαν τὴν φύσιν τῶν ἐγκλημάτων.

Μαζὶ μὲ αὐτὰ πρέπει νὰ προσέξωμεν ὅτι καὶ ἂν ἀκόμη ὑποστῶμεν βαρεῖαν τιμωρίαν διὰ τὰ προηγούμενα ἁμαρτήματα καὶ ἔπειτα περιπέσωμεν πάλιν εἰς τὰ ἴδια, πολὺ περισσότερον θὰ πάθωμεν χειρότερα. Καὶ πολὺ δικαίως. Διότι ἐκεῖνος ποὺ δὲν γίνεται καλύτερος οὔτε μὲ τὴν τιμωρίαν, ἐπισύρει μεγαλύτερον κολασμὸν ὡς ἀναίσθητος καὶ διεφθαρμένος. Διότι ἦτο ἀρκετὴ ἡ τιμωρία ἀφ' ἑαυτῆς νὰ ἐμποδίσῃ καὶ νὰ κάμῃ σωφρονέστερον ἐκεῖνον ποὺ ἔσφαλε μίαν φοράν. Ἐπειδὴ ὅμως δὲν ἐσυνετίσθη μὲ τὴν πρώτην τιμωρίαν ποὺ τοῦ ἐπεβλήθη, ἀλλὰ ἔχει τὸ θράσος νὰ κάμνῃ πάλιν τὰ ἴδια, δικαίως ὁ ἄνθρωπος αὐτὸς θὰ τιμωρηθῇ, ἀφοῦ ὁ ἴδιος προκαλῇ τὴν τιμωρίαν διὰ τὸν ἑαυτόν του. Ἐὰν δὲ παρ' ὅλον ὅτι ἐτιμωρήθημεν εἰς τὴν παροῦσαν ζωήν, ὑποπίπτοντες πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα, τιμωρούμεθα βαρύτερον, ὅταν δὲν τιμωρούμεθα διὰ τὰ ὅσα ἔχομεν ἁμαρτήσει, πῶς δὲν πρέπει νὰ φοβούμεθα καὶ νὰ τρέμωμεν, ἐπειδὴ θὰ πάθωμεν ἀναρίθμητα;

Καὶ διὰ ποῖον λόγον, θὰ ἐρωτήσῃς, δὲν τιμωροῦνται ὅλοι κατ' αὐτὸν τὸν τρόπον; Διότι βλέπομεν πολλοὺς ἀπὸ τοὺς ἀσεβεῖς νὰ εἶναι ὑγιεῖς καὶ σφριγηλοὶ κατὰ τὸ σῶμα καὶ ν' ἀπολαύουν μεγάλην εὐημερίαν. Ἀλλ' ἂς μὴ εἴμεθα βέβαιοι καὶ ἂς δακρύωμεν περισσότερον ἀπὸ ὅλους δι' αὐτούς. Διότι, τὸ ὅτι εἰς τὴν παροῦσαν ζωὴν αὐτοὶ δὲν ἔπαθαν τίποτε, ἀποτελεῖ ἐφόδιον τῆς μεγαλυτέρας τιμωρίας των εἰς τὴν μέλλουσαν ζωήν. Αὐτὸ ἐξηγῶν ὁ Παῦλος ἔλεγεν· «Ὅταν δὲ κρινώμεθα ἀπὸ τὸν Κύριον, παιδαγωγούμεθα, διὰ νὰ μὴ κατακριθῶμεν μαζὶ μὲ τὸν κόσμον»[2]. Διότι ἐδῶ μὲν δεχόμεθα συμβουλάς, ἐκεῖ ὅμως τιμωρίαν.

Τί συμβαίνει λοιπόν; Ὅλα τὰ νοσήματα, θὰ ἐρωτήσῃς, προέρχονται ἀπὸ ἁμαρτίας; Ὄχι βέβαια ὅλα, πάντως τὰ περισσότερα. Διότι ἡ γαστριμαργία, ἡ μέθη καὶ ἡ ἀργία γεν-

τίκτουσι πάθη. Δεῖ δὲ πανταχοῦ διατηρεῖν ἓν μόνον, ὥστε εὐχαρίστως φέρειν πᾶσαν πληγήν. Γίγνεται δὲ καὶ δι' ἁμαρτήματα, ὥσπερ καὶ ἐν ταῖς Βασιλείαις ὁρῶμέν τινα ποδαλγίᾳ κατασχεθέντα διὰ τοῦτο. Γίγνεται δὲ καὶ δι' εὐδοκίμησιν, ὥσπερ τῷ Ἰὼβ φησιν ὁ Θεός· «Μὴ ἄλλως σοι οἴει με κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος».

Ἀλλὰ τί δήποτε ἐπὶ τῶν παραλυτικῶν τούτων τὰς ἁμαρτίας εἰς μέσον φέρει ὁ Χριστός; Καὶ γὰρ καὶ ἐκείνῳ τῷ παρὰ τῷ Ματθαίῳ κειμένῳ λέγει· «Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι»· καὶ τούτῳ· «Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε». Καὶ οἶδα μὲν ὅτι τινὲς τὸν παράλυτον τοῦτον διαβάλλοντές φασιν αὐτὸν τοῦ Χριστοῦ γενέσθαι κατήγορον, καὶ διὰ τοῦτο ταῦτα ἀκηκοέναι. Τί οὖν περὶ ἐκείνου τοῦ παρὰ τῷ Ματθαίῳ τὰ αὐτὰ σχεδὸν ἀκούσαντος ἐροῦμεν; Καὶ γὰρ καὶ ἐκείνῳ εἶπεν· «Ἀφέωνταί σου αἱ ἁμαρτίαι». Ὅθεν δῆλον ὅτι οὐδὲ οὗτος ταύτης ἕνεκεν τῆς ὑποθέσεως ταῦτα ἤκουε.

Καὶ τοῦτο καὶ ἐκ τῶν ἐπαγομένων σαφέστερον ἔστι μαθεῖν. «Μετὰ ταῦτα» γάρ, φησίν, «εὑρίσκει αὐτὸν ἐν τῷ ἱερῷ ὁ Ἰησοῦς», ὅπερ μεγίστης εὐλαβείας σημεῖόν ἐστιν. Οὐ γὰρ ἐχώρησεν εἰς ἀγορὰς καὶ περιπάτους, οὐδὲ τρυφῇ καὶ ἀνέσει ἔδωκεν ἑαυτόν· ἀλλ' ἐν τῷ ἱερῷ διῆγε· καίτοι γε τοσαύτην μέλλων ὑπομένειν ἔφοδον καὶ παρὰ πάντων ἐλαύνεσθαι ἐκεῖθεν· ἀλλ' οὐδὲν τούτων ἔπεισεν αὐτὸν ἀποστῆναι τοῦ ἱεροῦ. Εὑρὼν τοίνυν αὐτὸν ὁ Χριστὸς καὶ μετὰ τὸ διαλεχθῆναι τοῖς Ἰουδαίοις, οὐδὲν τοιοῦτον ᾐνίξατο. Εἰ δὲ τοῦτο ἐγκαλεῖν ἤθελεν, εἶπεν ἂν πρὸς αὐτόν· Πάλιν τοῖς αὐτοῖς ἐπιχειρεῖς

---

3. Γ' Βασ. 15, 23.
4. Ἰώβ, 40, 8.
5. Ματθ. 9, 2.

νοῦν αὐτὰς τὰς νόσους. Πρέπει λοιπὸν εἰς κάθε περίπτωσιν νὰ παρατηροῦμεν μόνον ἕνα, ὥστε νὰ ὑποφέρωμεν κάθε δυσκολίαν μὲ εὐχαρίστησιν. Καὶ ἕνεκα ἁμαρτημάτων γίνονται πάθη, διότι βλέπομεν εἰς τὰ βιβλία τῶν Βασιλειῶν ὅτι κάποιος ἔπαθε ποδάγραν ἐξ αὐτοῦ[3]. Γίνονται ὅμως καὶ διὰ νὰ καταστῶμεν εὐσεβέστεροι, ὅπως λέγει ὁ Θεὸς εἰς τὸν Ἰώβ· «Μὴ νομίσῃς, ὅτι ἔχω ἐνεργήσει κατ' αὐτὸν τὸν τρόπον δι' ἐσέ, δι' ἄλλο τι παρὰ διὰ νὰ δείξῃς τὴν δικαιοσύνην σου»[4].

Ἀλλὰ διατί ὁ Χριστὸς ἀποκαλύπτει τὰς ἁμαρτίας τῶν παραλυτικῶν αὐτῶν; Διότι καὶ εἰς ἐκεῖνον ποὺ ἀναφέρει ὁ Ματθαῖος εἰς τὸ Εὐαγγέλιόν του λέγει· «Ἔχε θάρρος, παιδί μου. Σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι»[5]. Καὶ ἐδῶ λέγει· «Ἰδές, ἔγινες ὑγιής, μὴ ἁμαρτάνῃς πλέον». Καὶ γνωρίζω μέν, ὅτι μερικοὶ ἰσχυρίζονται, ὅτι ὁ παραλυτικὸς αὐτὸς διέπραξεν ἔγκλημα, διότι ἔγινε κατήγορος τοῦ Χριστοῦ καὶ δι' αὐτὸ ἤκουσε τὸν Χριστὸν νὰ τοῦ λέγῃ αὐτά. Τί θὰ εἰποῦμεν ὅμως καὶ διὰ τὸν παραλυτικὸν ποὺ ἀναφέρει ὁ Ματθαῖος, ποὺ ἤκουσε σχεδὸν τὰ ἴδια; Διότι καὶ εἰς ἐκεῖνον εἶπεν ὁ Χριστὸς «Σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι». Ἑπομένως εἶναι φανερὸν ὅτι ὁ παραλυτικὸς αὐτὸς δὲν ἤκουσεν αὐτὰ τὰ λόγια διὰ τὴν αὐτὴν αἰτίαν.

Αὐτὸ εἶναι πολὺ εὔκολον νὰ τὸ μάθωμεν ἀπὸ τὰ ἑπόμενα. Διότι λέγει ὁ Εὐαγγελιστής· «Ὕστερα τὸν εὑρῆκεν ὁ Ἰησοῦς εἰς τὸν ναόν», πρᾶγμα ποὺ εἶναι ἀπόδειξις μεγάλης εὐλαβείας. Διότι δὲν ἐπῆγεν εἰς ἀγορὰς καὶ περιπάτους, οὔτε παρεδόθη εἰς τὴν τρυφηλότητα καὶ εἰς τὴν ἄνεσιν, ἀλλὰ ἐπερνοῦσε τὸν καιρόν του εἰς τὸν ναόν. Καὶ μολονότι ἐπρόκειτο νὰ ὑποστῇ ἐπίθεσιν καὶ νὰ ἐκδιωχθῇ ἀπὸ ἐκεῖ, κανὲν ἀπὸ αὐτὰ δὲν τὸν ἔπεισεν, ὥστε ν' ἀπομακρυνθῇ ἀπὸ τὸν ναόν. Ὅταν λοιπὸν τὸν συνήντησεν ὁ Χριστὸς καὶ μετὰ τὴν συζήτησίν του μὲ τοὺς Ἰουδαίους, τίποτε παρόμοιον δὲν ὑπῃνίχθη. Διότι, ἐὰν ἤθελε νὰ τὸν κατηγορήσῃ, θὰ ἠμποροῦσε νὰ τοῦ εἰπῇ· Πάλι κάμνεις τὰ ἴδια καὶ

καὶ οὔτε τῇ θεραπείᾳ γέγονας βελτίων; Ἀλλ' οὐδὲν τούτων εἶπεν, ἀλλὰ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλίζεται μόνον.

2. Τί δήποτε οὖν καὶ χωλοὺς καὶ κυλλοὺς θεραπεύσας, οὐδαμοῦ τούτων ἐμνημόνευσεν; Ἐμοὶ δοκεῖ τούτοις μὲν ἐξ ἁμαρτημάτων τὰ νοσήματα γενέσθαι, τοῖς δὲ ἄλλοις ἐξ ἀσθενείας φυσικῆς. Εἰ δὲ μὴ τοῦτο καὶ τοῖς ἄλλοις διὰ τούτων καὶ τῶν πρὸς τούτοις εἰρημένων διελέχθη. Ἐπειδὴ γὰρ τῶν ἄλλων πάντων τὸ νόσημα τοῦτο χαλεπώτερον, διὰ τοῦ μείζονος καὶ τὰ ἐλάττονα διορθοῦται. Ὥσπερ γὰρ θεραπεύσας τινὰ ἕτερον, παρήγγειλε δοῦναι δόξαν τῷ Θεῷ, οὐκ ἐκείνῳ μόνῳ ταῦτα παραινῶν, ἀλλὰ καὶ δι' ἐκείνου πᾶσιν· οὕτω καὶ τούτοις διὰ τούτων πᾶσι καὶ τοῖς λοιποῖς παραινεῖ καὶ συμβουλεύει ταῦτα, ἃ καὶ πρὸς τούτους εἴρηκε. Πρὸς δὲ τούτοις, κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι πολλὴν ἐνεῖδεν αὐτοῦ τῇ ψυχῇ τὴν καρτερίαν, καὶ ὡς δυναμένῳ τὸ παράγγελμα δέξασθαι παραινεῖ, τῇ τε εὐεργεσίᾳ καὶ τῷ φόβῳ τῶν μελλόντων κακῶν κατέχων αὐτὸν ἐπὶ τῆς ὑγιείας.

Καὶ ὅρα τὸ ἀκόμπαστον. Οὐ γὰρ εἶπεν, 'Ἴδε ὑγιῆ σε ἐποίησα', ἀλλ', «Ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε». Καὶ πάλιν οὐκ εἶπεν, 'Ἵνα μή σε κολάσω', ἀλλ', «Ἵνα μὴ χεῖρόν τί σοι γένηται», ἀπροσώπως ἀμφότερα τιθεὶς καὶ δεικνὺς χάριτος μᾶλλον οὖσαν τὴν ὑγίειαν ἢ τῆς ἀξίας. Οὐ γὰρ ἐνέφηνεν ὅτι τὴν ἀξίαν δοὺς ἀπηλλάγη δίκης, ἀλλ' ὅτι φιλανθρωπίᾳ ἐσώζετο. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, εἶπεν ἄν· Ἰδοὺ δέδωκας τῶν ἡμαρτημένων δίκην ἱκανήν· ἀσφαλίζου λοιπόν. Νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; «Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε». Ταῦτα καὶ ἡμῖν αὐτοῖς συνεχῶς ἐπιλέγωμεν, κἂν μὲν κολασθέντες ἀπαλλαγῶμεν, τοῦτο ἕκαστος πρὸς ἑαυτὸν λεγέτω· «Ἴδε ὑγιὴς γέγονας· μηκέτι

οὔτε μὲ τὴν θεραπείαν δὲν ἔγινες καλύτερος; Καὶ ὄχι μόνον δὲν τοῦ εἶπε τίποτε ἀπὸ αὐτά, ἀλλὰ τὸν κάμνει προσεκτικώτερον διὰ τὸ μέλλον.

2. Διατί λοιπὸν ἐνῷ εἶχε θεραπεύσει χωλοὺς καὶ παραλύτους, πουθενὰ δὲν τοὺς ἐμνημόνευσεν; Ἐγὼ νομίζω, ὅτι εἰς αὐτοὺς μὲν τὰ νοσήματα προῆλθον ἀπὸ ἁμαρτίας, ἐνῷ εἰς τοὺς ἄλλους ἀπὸ σωματικὴν ἀδυναμίαν. Εἰ δ' ἄλλως καὶ εἰς τοὺς ἄλλους θὰ ἔλεγεν αὐτὰ ποὺ εἶχεν εἰπεῖ καὶ εἰς αὐτούς. Ἐπειδὴ δηλαδὴ τὸ νόσημα τοῦτο ἦτο βαρύτερον πάντων, θεραπεύει τὰ μικρότερα διὰ τῶν μεγαλυτέρων. Διότι, ὅπως ὅταν, ἀφοῦ ἐθεράπευσε κάποιον, τὸν συνεβούλευσε νὰ δοξάσῃ τὸν Θεὸν καὶ δὲν ἔδωσεν αὐτὴν τὴν συμβουλὴν μόνον εἰς ἐκεῖνον, ἀλλὰ εἰς ὅλους, ἔτσι παραινεῖ καὶ συμβουλεύει δι' αὐτῶν ὅλους τοὺς ἄλλους μὲ τὰ ἴδια λόγια, ποὺ εἶχεν εἰπεῖ εἰς αὐτούς. Ἐπὶ πλέον πρέπει νὰ εἰποῦμεν καὶ τοῦτο, ὅτι δηλαδὴ εἶδε μέσα εἰς τὴν ψυχὴν τοῦ παραλυτικοῦ τὴν καρτερικότητα καὶ ἐπειδὴ ἠδύνατο νὰ δεχθῇ τὴν ἐντολὴν τὸν συμβουλεύει καὶ τὸν συγκρατεῖ καὶ μὲ τὴν εὐεργεσίαν καὶ μὲ τὸν φόβον τῶν μελλοντικῶν κακῶν διὰ τὴν ὑγείαν του.

Καὶ κοίταξε τὴν ἔλλειψιν ἀλαζονείας. Διότι δὲν τοῦ εἶπεν· Ἰδὲς σὲ ἔκαμα ὑγιῆ, ἀλλὰ «Ἔγινες ὑγιής, μὴ ἁμαρτάνῃς πλέον». Καὶ ἐν συνεχείᾳ δὲν τοῦ εἶπεν· Διὰ νὰ μὴ σὲ τιμωρήσω, ἀλλὰ «Διὰ νὰ μὴ πάθῃς χειρότερα», ἐκφράσας καὶ τὰ δύο ἀπροσώπως καὶ ἀποδείξας, ὅτι ἡ ὑγεία ἦτο ἔργον μᾶλλον τῆς χάριτος, παρὰ τῆς ἀξίας. Διότι δὲν εἶπεν, ὅτι ὁ παραλυτικὸς ἐπαξίως ἀπηλλάγη ἀπὸ τὴν τιμωρίαν, ἀλλ' ὅτι ἐθεραπεύθη ἀπὸ φιλανθρωπίαν. Ἐπειδή, ἂν δὲν ἐπρόκειτο περὶ αὐτο, θὰ τοῦ ἔλεγεν· Ἰδές, τώρα ἔχεις τιμωρηθῆ ἀρκετὰ διὰ τὰς ἁμαρτίας σου. Εἰς τὸ ἑξῆς νὰ προσέχῃς. Δὲν τοῦ τὸ εἶπεν ὅμως ἔτσι. Ἀλλὰ πῶς; «Ἰδές, ἔγινες ὑγιής· μὴ ἁμαρτάνῃς πλέον». Αὐτὰ ἂς ἐπαναλαμβάνωμεν εἰς τοὺς ἑαυτούς μας καὶ ἂν μὲν ἀπαλλαγῶμεν κατόπιν τιμωρίας, ὁ καθεὶς νὰ λέγῃ εἰς τὸν ἑαυτόν του· «Ἰ-

ἁμάρτανε». Ἂν δὲ μὴ δῶμεν δίκην, τοῖς αὐτοῖς ἐπιμένοντες, ἐκεῖνο τὸ ἀποστολικὸν ἐπᾴδωμεν, ὅτι «Τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιαν ἡμᾶς ἄγει· κατὰ δὲ τὴν σκληρότητα καὶ ἀμετανόητον ἡμῶν καρδίαν θησαυρίζομεν ἑαυτοῖς ὀργήν». Οὐ τῷ σφίγξαι δὲ τὸ σῶμα μόνον, ἀλλὰ καὶ ἑτέρωθεν μέγα αὐτῷ παρέσχετο τῆς οἰκείας θεότητος σημεῖον. Τῷ γὰρ εἰπεῖν «Μηκέτι ἁμάρτανε», ἐδήλωσεν εἰδότα πάντα τὰ ἔμπροσθεν αὐτῷ γεγενημένα πλημμελήματα· ὅθεν καὶ πρὸς τὰ μέλλοντα ἔμελλεν ἀξιόπιστος εἶναι.

«Ἀπῆλθεν οὖν ὁ ἄνθρωπος καὶ ἀπήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ». Καὶ ὅρα αὐτὸν καὶ πάλιν ἐπὶ τῆς αὐτῆς μένοντα εὐγνωμοσύνης. Οὐ γὰρ εἶπεν, ὅτι αὐτός ἐστιν ὁ εἰπών, «Ἆρον τὸν κράββατόν σου». Ἐπειδὴ γὰρ ἐκεῖνοι τὸ δοκοῦν ἔγκλημα τοῦτο ἀεὶ προέφερον, αὐτὸς τὴν ἀπολογίαν ἀεὶ προβάλλεται, πάλιν τὸν ἰατρὸν δῆλον ποιῶν, καὶ τοὺς ἄλλους ἐφελκύσασθαι σπεύδων καὶ οἰκειώσασθαι. Οὐ γὰρ οὕτως ἀναίσθητος ἦν, ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ παραίνεσιν προδοῦναι τὸν εὐεργέτην, καὶ κακούργῳ διανοίᾳ τοῦτο εἰπεῖν. Εἰ γὰρ καὶ θηρίον ἦν, εἰ γὰρ ἀπάνθρωπός τις καὶ λίθινος, ἱκανὴ καὶ ἡ εὐεργεσία καὶ ὁ φόβος αὐτὸν ἦν κατασχεῖν. Καὶ γὰρ ἔναυλον ἔχων τὴν ἀπειλήν, ἔδεισεν ἂν μὴ χεῖρόν τι πάθῃ, μέγιστα λαβὼν τῆς τοῦ ἰατροῦ δυνάμεως δείγματα· ἄλλως τε εἰ διαβάλλειν ἐβούλετο, τὴν ὑγίειαν σιγήσας, τὴν παράβασιν εἶπεν ἂν καὶ κατηγόρησεν. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· ἀλλὰ πολλῆς παρρησίας τὰ ῥήματα καὶ εὐγνωμοσύνης καὶ ἀνακηρύττει τὸν εὐεργέτην οὐδὲν ἔλαττον τοῦ τυφλοῦ.

Τί γὰρ ἐκεῖνός φησιν; «Ἐποίησε πηλὸν καὶ ἔχρισέ μου

6. Ρωμ. 2, 4-5.

δές, ὑγιὴς ἔγινες, μὴ ἁμαρτάνῃς πλέον». Ἂν πάλιν δὲν τιμωρηθῶμεν, ἐπιμένοντες εἰς τὰ ἴδια, ἂς ἐπαναλαμβάνωμεν τὰ λόγια τοῦ Ἀποστόλου· «Ἡ καλωσύνη τοῦ Θεοῦ μᾶς ὁδηγεῖ εἰς μετάνοιαν. Ἀνάλογα δὲ πρὸς τὴν σκληρότητά μας καὶ τὴν ἀμετανόητον καρδίαν μας, ἐπισωρεύομεν διὰ τὸν ἑαυτόν μας ὀργήν»*. Καὶ δὲν ἔδωσεν εἰς τὸν παραλυτικὸν ἀπόδειξιν τῆς θεότητός του μόνον μὲ τὴν στερέωσιν τοῦ σώματός του ἀλλὰ καὶ μὲ ἄλλον τρόπον. Διότι μὲ τὸ νὰ τοῦ εἰπῇ, «Μὴ ἁμαρτάνῃς πλέον», ἀπέδειξεν ὅτι ἐγνώριζεν ὅλα τὰ προηγούμενα σφάλματα, ποὺ εἶχε κάμει. Ἑπομένως θὰ ἦτο ἀξιόπιστος καὶ διὰ τὰ μέλλοντα.

«Ἔφυγε λοιπὸν ὁ ἄνθρωπος καὶ εἶπεν εἰς τοὺς Ἰουδαίους ὅτι ὁ Ἰησοῦς εἶναι αὐτὸς ποὺ τὸν ἔκαμεν ὑγιῆ». Καὶ βλέπε αὐτὸν πάλιν νὰ ἐπιμένῃ εἰς τὴν ἐκδήλωσιν τῆς εὐγνωμοσύνης. Διότι δὲν εἶπεν, ὅτι ὁ Χριστὸς τὸν διέταξε, «Σήκωσε τὸ κρεββάτι σου». Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι ἀνέφερον συνεχῶς αὐτὴν τὴν κατὰ τὴν γνώμην τους κατηγορίαν, ὁ παραλυτικὸς προβάλλει διαρκῶς τὴν ἰδίαν ἀπολογίαν, διὰ νὰ δοξάσῃ τὸν ἰατρὸν καὶ προθυμοποιούμενος νὰ προσελκύσῃ καὶ νὰ προσοικειωθῇ τοὺς ἄλλους. Διότι δὲν ἦτο τόσον ἀναίσθητος, ὥστε ὕστερα ἀπὸ τόσην εὐεργεσίαν καὶ συμβουλὴν νὰ προδώσῃ τὸν εὐεργέτην καὶ νὰ εἰπῇ τοῦτο μὲ κακοῦργον διάθεσιν. Διότι καὶ ἂν ἀκόμη ἦτο θηρίον καὶ ἂν ἀκόμη ἦτο ἀπάνθρωπος καὶ καμωμένος ἀπὸ πέτραν, ἡ εὐεργεσία καὶ ὁ φόβος ἦσαν ἱκανὰ νὰ τὸν συγκρατήσουν. Διότι ἔχων ἀκόμη τὴν ἀπειλὴν εἰς τὰ αὐτιά του, θὰ ἐφοβεῖτο νὰ μὴ πάθῃ τίποτε χειρότερον, ἐπειδὴ εἶχε λάβει πολὺ μεγάλας ἀποδείξεις τῆς δυνάμεως τοῦ ἰατροῦ. Ἄλλωστε, ἂν ἤθελε νὰ τὸν διαβάλῃ, θὰ ἠμποροῦσεν ἀποσιωπῶν τὴν ὑγείαν ν' ἀναφέρῃ τὴν παράβασιν καὶ νὰ τὸν κατηγορήσῃ. Ἀλλὰ δὲν ἔκαμε τοῦτο. Ἀντιθέτως ὡμίλησε μὲ μεγάλο θάρρος καὶ εὐγνωμοσύνην καὶ δοξάζει τὸν εὐεργέτην του ὄχι ὀλιγώτερον ἀπὸ τὸν τυφλόν.

Διότι, τί εἶχεν εἰπεῖ ὁ τυφλός; «Ἔκαμε πηλὸν καὶ μοῦ

τοὺς ὀφθαλμούς»· οὕτω καὶ οὗτος· «Ἰησοῦς ἐστιν ὁ ποιήσας με ὑγιῆ». «Ἐδίωκον οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν Σαββάτῳ». Τί οὖν ὁ Χριστός; «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Ὅτε μὲν γὰρ ὑπὲρ τῶν μαθητῶν ἀπολογήσασθαι ἔδει, τὸν Δαυῒδ τὸν ὁμόδουλον αὐτῶν εἰς μέσον ἔφερεν, «Οὐκ ἀνέγνωτε», λέγων, «τί ἐποίησε Δαυῒδ, ὅτε ἐπείνασεν αὐτός;». Ὅτε δὲ περὶ ἑαυτοῦ, ἐπὶ τὸν Πατέρα κατέφυγεν, ἑκατέρωθεν τὸ ὁμότιμον δεικνύς, τῷ τε Πατέρα εἰπεῖν ἰδιαζόντως καὶ τῷ τὰ αὐτὰ πράττειν ἐκείνῳ.

Καὶ διατί μὴ εἶπε τὰ περὶ τὴν Ἱεριχὼ γενόμενα; Ἀναγαγεῖν αὐτοὺς ἠθέλησεν ἀπὸ τῆς γῆς, ἵνα μηκέτι ὡς ἀνθρώπῳ προσέχωσιν, ἀλλ' ὡς Θεῷ καὶ νομοθετεῖν ὀφείλοντι. Εἰ δὲ μὴ γνήσιος ἦν Υἱὸς καὶ τῆς αὐτῆς οὐσίας, ἡ ἀπολογία κατηγορίας μείζων ἐστίν. Οὐδὲ γὰρ εἴ τις ὕπαρχος νόμον βασιλικὸν μεταθείς, εἶτα ἐγκαλούμενος ἀπολογοῖτο οὕτω, καὶ λέγοι, ὅτι Καὶ γὰρ ὁ βασιλεὺς ἔλυσε, δυνήσεται διαφυγεῖν, ἀλλὰ καὶ μεῖζον τὸ ἔγκλημα οὕτως ἐργάσεται. Ἀλλ' ἐνταῦθα ἐπειδὴ ἴσα τὰ τῆς ἀξίας, διὰ τοῦτο καὶ τὰ τῆς ἀπολογίας ἀπήρτισται μετὰ ἀσφαλείας ἁπάσης. Ἀφ' ὧν γάρ, φησίν, ἀπολύετε τὸν Θεὸν ἐγκλημάτων, ἀπὸ τῶν αὐτῶν καὶ ἐμέ. Διὰ τοῦτο καὶ προλαβὼν εἴρηκεν, «Ὁ Πατήρ μου», ἵνα καὶ ἄκοντας πείσῃ τὰ αὐτὰ αὐτῷ συγχωρεῖν, τὴν ἀκριβῆ γνησιότητα αἰδεσθέντα.

Εἰ δὲ λέγοι τις· Καὶ ποῦ ὁ Πατὴρ ἐργάζεται, ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καταπαύσας ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; τὸν τρόπον μαθέτω καθ' ὃν ἐργάζεται. Τίς οὖν ὁ τρόπος τῆς ἐργασίας; Προνοεῖ, συγκροτεῖ τὰ γενόμενα πάντα. Ὁ-

7. Ἰω. 9, 6.
8. Ματθ. 12, 3.

ἤλειψε τοὺς ὀφθαλμούς»[7]. Τὸ ἴδιο εἶπε καὶ ὁ παραλυτικός· «Ὁ Ἰησοῦς εἶναι αὐτός, ποὺ μὲ ἔκαμεν ὑγιῆ». «Διὰ τοῦτο κατεδίωκον αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἐζήτουν νὰ τὸν φονεύσουν, διότι ἔκαμνε τὰ ἔργα αὐτὰ τὸ Σάββατον». Τί ἀπήντησεν ὁ Χριστός; «Ὁ Πατήρ μου ἐργάζεται πάντοτε καὶ ἐγὼ ἐπίσης ἐργάζομαι». Καὶ ὅταν μὲν ἔπρεπε νὰ ὑπερασπίσῃ τοὺς μαθητάς του, ἔφερεν ὡς παράδειγμα τὸν ὁμόδουλόν τους Δαυΐδ, λέγων· «Δὲν ἐδιαβάσατε, τί ἔκαμεν ὁ Δαυΐδ, ὅταν ἐπείνασεν αὐτός;»[8]. Ὅταν ὅμως ἐπρόκειτο νὰ ὁμιλήσῃ διὰ τὸν ἑαυτόν του, κατέφευγεν εἰς τὸν Πατέρα, διὰ νὰ δείξῃ καὶ ἀπὸ τὰς δύο πλευρὰς ὅτι ἦτο ὁμότιμος μὲ τὸν Πατέρα, καὶ ἀπὸ τὸ ὅτι ἐπικαλεῖται αὐτὸν ἰδιαιτέρως καὶ ἀπὸ τὸ ὅτι κάμνει τὰ ἴδια μὲ ἐκεῖνον.

Καὶ διατί δὲν ὑπέμνησεν ὅσα εἶχον γίνει εἰς τὴν Ἰεριχώ; Ἠθέλησε νὰ τοὺς ἀποσπάσῃ ἀπὸ τὴν γῆν διὰ νὰ μὴ ἀποβλέπουν εἰς αὐτὸν πλέον ὡς εἰς ἄνθρωπον, ἀλλ' ὡς εἰς Θεὸν καὶ νομοθέτην ὑποχρεωτικῶς. Ἐὰν ὅμως δὲν ἦτο ἀληθινὸς Υἱὸς τοῦ Θεοῦ καὶ ὁμοούσιος μὲ ἐκεῖνον, ἡ ὑπεράσπισις εἶναι βαρυτέρα ἀπὸ τὴν κατηγορίαν. Διότι, ἐὰν ἕνας ἔπαρχος ἀφοῦ παραβῇ βασιλικὸν νόμον, ἔπειτα ἀπολογούμενος διὰ τὴν κατηγορίαν ἀπαντᾷ· Καὶ ὁ ἴδιος ὁ βασιλεὺς παρέβη τὸν νόμον, δὲν θὰ ἠμπορέσῃ ν' ἀπαλλαγῇ, ἀλλὰ μὲ αὐτὸν τὸν τρόπον θὰ ἐπιβαρύνῃ περισσότερον τὴν θέσιν του. Ἀλλ' ἐδῶ, ἐπειδὴ ἡ ἀξία εἶναι ἴση διὰ τοῦτο καὶ ἡ ὑπεράσπισις ἔχει καταρτισθῇ ὥστε νὰ εἶναι καθ' ὅλα νόμιμος. Διότι λέγει, ὅτι ἀπὸ ὅσας κατηγορίας ἀπαλλάσσετε τὸν Θεόν, ἀπὸ τὰς ἰδίας θ' ἀπαλλάξετε καὶ ἐμέ. Διὰ τοῦτο πρῶτα εἶπεν, «Ὁ Πατήρ μου», διὰ νὰ τοὺς πείσῃ καὶ παρὰ τὴν θέλησίν τους νὰ τοῦ συγχωρήσουν τὰ αὐτὰ μὲ ἐκεῖνον ἀπὸ σεβασμὸν πρὸς τὴν ἀληθινὴν γνησιότητα.

Ἐὰν δ' ἐρωτήσῃ κανείς· Καὶ ποῦ ἐργάζεται ὁ Πατήρ, ἀφοῦ κατὰ τὴν ἑβδόμην ἡμέραν ἀνεπαύθη ἀπὸ ὅλα τὰ ἔργα του; ἂς μάθῃ τὸν τρόπον τῆς ἐργασίας του. Ποῖος λοιπὸν εἶναι ὁ τρόπος ἐργασίας του; Προνοεῖ καὶ συντηρεῖ

ρῶν τοίνυν ἥλιον ἀνατέλλοντα καὶ σελήνην τρέχουσαν καὶ λίμνας καὶ πηγὰς καὶ ποταμοὺς καὶ ὑετοὺς καὶ φύσεως δρόμον, τὸν ἐν τοῖς σπέρμασι, τὸν ἐν τοῖς σώμασι τοῖς ἡμετέροις καὶ τοῖς τῶν ἀλόγων, τὰ ἄλλα πάντα δι' ὧν τότε τὸ πᾶν συνέστηκε, μάνθανε τὴν διηνεκῆ τοῦ Πατρὸς ἐργασίαν. «Ἀνατέλλει», γάρ, φησί, «τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Καὶ πάλιν· «Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς πῦρ βαλλόμενον, οὕτως ὁ Θεὸς ἀμφιέννυσι»· καὶ περὶ τῶν πετεινῶν διαλεγόμενος πάλιν· «Ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά».

3. Ἐνταῦθα μὲν οὖν διὰ ρημάτων τὸ πᾶν ἐποίησεν ἐν Σαββάτῳ, καὶ οὐδὲν πλέον προσέθηκεν, ἀλλ' ἀπὸ τῶν ἐν τῷ ἱερῷ γινομένων, καὶ ἀφ' ὧν αὐτοὶ πράττουσι, λύει τὰ ἐγκλήματα· ἔνθα δὲ καὶ ἔργον γενέσθαι ἐκέλευσεν, οἷον τὸ τὴν κλίνην ἆραι, οὐδὲν μέγα πρὸς τὸ πρᾶγμα συντελοῦν, ἀλλ' ἓν τοῦτο μόνον, δεικνύων σαφῆ τοῦ Σαββάτου τὴν λύσιν, ἐπὶ τὸ μεῖζον ἀνάγει τὸν λόγον, μᾶλλον αὐτοὺς καταπλῆξαι βουλόμενος ἀπὸ τῆς τοῦ Πατρὸς ἀξίας, καὶ ἀναγαγεῖν ἐπὶ τὸ ὑψηλότερον. Διὰ τοῦτο ὅταν περὶ Σαββάτου ᾖ ὁ λόγος, οὔτε ὡς ἄνθρωπος μόνον ἀπολογεῖται, οὔτε ὡς Θεὸς μόνον, ἀλλὰ ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἐκείνως. Ἠβούλετο γὰρ ἀμφότερα πιστεύεσθαι, καὶ τῆς οἰκονομίας τὴν συγκατάβασιν, καὶ τῆς θεότητος τὸ ἀξίωμα. Διὰ τοῦτο νῦν ὡς Θεὸς ἀπολογεῖται.

Εἰ γὰρ ἔμελλεν ἀπὸ τῶν ἀνθρωπίνων αὐτοῖς ἀεὶ διαλέγεσθαι μόνον, ἔμεινεν ἂν ἐπὶ τῆς αὐτῆς ταπεινότητος. Διόπερ ἵνα μὴ τοῦτο γένηται, τὸν Πατέρα εἰς μέσον ἄγει. Καίτοι καὶ αὐτὴ ἡ κτίσις ἐργάζεται ἐν Σαββάτῳ. Καὶ γὰρ ὁ ἥλιος τρέχει καὶ ποταμοὶ ρέουσι καὶ πηγαὶ βρύουσι καὶ

---

9. Ματθ. 5, 45.
10. Αὐτόθι 6, 30.
11. Αὐτόθι 6, 26.

ὅλα τὰ δημιουργήματά του. Ὅταν λοιπὸν βλέπῃς τὸν ἥλιον ν' ἀνατέλλῃ, τὴν σελήνην νὰ τρέχῃ, τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς, τὴν βροχήν, τὸν δρόμον τῆς φύσεως, εἴτε εἰς τὰ ἰδικά μας σώματα εἴτε εἰς τὰ σώματα τῶν ἀλόγων καὶ ὅλα τὰ ἄλλα μὲ τὰ ὁποῖα ἔχει συσταθῇ ὁλόκληρον τὸ σύμπαν, τότε θὰ καταλάβῃς τὴν διαρκῆ ἐργασίαν τοῦ Πατρός. Διότι ὁ Εὐαγγελιστὴς λέγει· «Αὐτὸς ἀνατέλλει τὸν ἥλιόν του διὰ τοὺς πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει διὰ τοὺς δικαίους καὶ ἀδίκους»[9]. Καὶ ἐν συνεχείᾳ· «Ἐὰν τὸ χορτάρι τοῦ ἀγροῦ ποὺ σήμερα ὑπάρχει καὶ αὔριον τὸ ρίπτουν εἰς τὸ πῦρ»[10] καὶ διὰ τὰ πτηνὰ «Ὁ Πατήρ σας ὁ οὐράνιος τὰ τρέφει»[11].

3. Ἐδῶ λοιπὸν ὁ Χριστὸς ἔκαμε μὲ τὰ λόγια τὸ θαῦμα του τὴν ἡμέραν τοῦ Σαββάτου καὶ δὲν ἐπρόσθεσε πλέον τίποτε, ἀλλ' ἀπὸ ὅσα ἐγένοντο εἰς τὸν ναὸν καὶ ἀπὸ τὰς πράξεις τῶν Ἰουδαίων ἀποκρούει τὴν κατηγορίαν. Ὅπου ὅμως διέταξε νὰ γίνῃ ἐργασία, ὅπως τὸ νὰ σηκώσῃ ὁ παραλυτικὸς τὸ κρεββάτι, τὸ πρᾶγμα καθ' ἑαυτὸ δὲν ἦτο τόσον σπουδαῖον, ἀλλ' δι' ἐκεῖνο ποὺ ἐσήμαινε σαφῶς τὴν παραβίασιν τοῦ Σαββάτου, ὁ Χριστὸς ἐντείνει τὸν λόγον περισσότερον, ἐπειδὴ θέλει μᾶλλον νὰ τοὺς καταπλήξῃ μὲ τὰ ὅσα εἶπε περὶ τῆς ἀξίας τοῦ Πατρὸς καὶ νὰ τοὺς ἀνεβάσῃ ὑψηλότερον. Διὰ τοῦτο, ὅταν ὁ λόγος εἶναι περὶ τοῦ Σαββάτου, οὔτε ὡς Θεὸς οὔτε μόνον ὡς ἄνθρωπος ἀπολογεῖται, ἀλλ' ἄλλοτε μὲν κατὰ τὸν ἕνα τρόπον, ἄλλοτε δὲ κατὰ τὸν ἄλλον. Διότι ἤθελε νὰ πιστευθοῦν καὶ τὰ δύο, δηλαδὴ καὶ ἡ κατὰ σάρκα γέννησις καὶ ἡ ἀξία τῆς θεότητος. Διὰ τοῦτο τώρα ἀπολογεῖται ὡς Θεός.

Διότι, ἐὰν ἐπρόκειτο νὰ ὁμιλῇ πρὸς αὐτοὺς πάντοτε κατὰ τὴν ἀνθρωπίνην συνήθειαν, τότε θὰ ἔμενεν εἰς τὴν αὐτὴν ταπεινότητα. Διὰ νὰ μὴ γίνῃ ἀκριβῶς αὐτό, ἐπικαλεῖται τὸν Πατέρα. Καὶ ὅμως ἡ ἰδία ἡ κτίσις ἐργάζεται τὸ Σάββατον. Διότι καὶ ὁ ἥλιος διαγράφει τὴν τροχιάν του καὶ οἱ ποταμοὶ κυλοῦν καὶ αἱ πηγαὶ ἀναβλύζουν καὶ αἱ γυναῖ-

γυναῖκες τίκτουσιν. Ἀλλ' ἵνα μάθῃς, ὅτι οὐ τῆς κτίσεώς ἐστιν, οὐκ εἶπε, Ναί, ἐργάζομαι· καὶ γὰρ ἡ κτίσις ἐργάζεται· ἀλλὰ τί; Ναί, ἐργάζομαι καὶ γὰρ ὁ Πατήρ μου ἐργάζεται. «Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι», φησίν, «ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ». Καὶ μὴν οὐκ ἐνέφηνε τοῦτο μόνον· οὐ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο ἐδείκνυ μόνοις, ἀλλὰ πολλῷ μάλιστα ἐν τοῖς πράγμασι. Τί δήποτε; Ὅτι τοῖς μὲν λόγοις εἶχον ἐπισκήπτειν καὶ ἀλαζονείαν ἐγκαλεῖν, τὴν δὲ τῶν πραγμάτων ὁρῶντες ἀλήθειαν ἐκβαίνουσαν καὶ ἐπὶ τῶν ἔργων ἀνακηρυττομένην τὴν δύναμιν, οὐδὲν ἀντειπεῖν ἠδύναντο λοιπόν.

Ἀλλ' οἱ μὴ βουλόγενοι μετ' εὐγνωμοσύνης ταῦτα δέχεσθαι, φασίν, ὅτι οὐχ ὁ Χριστὸς ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ, ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο ὑπώπτευον. Οὐκοῦν ἄνωθεν φέρε τὰ εἰρημένα ἐπέλθωμεν. Εἰπὲ δή μοι, ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι ἢ οὐκ ἐδίωκον; Παντί που δῆλον ὅτι ἐδίωκον. Καὶ διὰ τοῦτο ἐδίωκον ἢ δι' ἕτερόν τι; Καὶ τοῦτο συνομολογεῖται, ὅτι διὰ τοῦτο. Ἔλυεν οὖν τὸ σάββατον ἢ οὐκ ἔλυεν; Οὐδὲ πρὸς τοῦτο ἔχοι τις ἂν ἀντειπεῖν. Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν ἢ οὐκ ἔλεγε; Καὶ τοῦτο ἀληθές. Οὐκοῦν καὶ τὰ ἑξῆς τῆς αὐτῆς ἀκολουθίας ἔχεται. Ὥσπερ γὰρ τὸ Πατέρα λέγειν ἴδιον τὸν Θεὸν καὶ τὸ λύειν τὸ Σάββατον καὶ τὸ διώκεσθαι παρὰ τῶν Ἰουδαίων διά τε ἐκεῖνο καὶ διὰ τοῦτο μᾶλλον, οὐχ ὑπονοίας ἦν ἐψευσμένης, ἀλλὰ πράγματος ἀληθοῦς, οὕτω καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, τῆς αὐτῆς γνώμης ἀπόφασις ἦν.

Καὶ ἀπὸ τῶν ἔμπροσθεν δὲ εἰρημένων τοῦτο σαφέστερον ἔστιν ἰδεῖν. Τὸ γάρ, «Ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐρ-

κες γεννοῦν. Ἀλλὰ διὰ νὰ μάθῃς, ὅτι αὐτὸς δὲν ἦτο ἓν δημιούργημα, δὲν εἶπε· Ναί, ἐργάζομαι, ἀλλά· Ναί, ἐργάζομαι, διότι καὶ ὁ Πατήρ μου ἐργάζεται. «Διὰ τοῦτο ἐζήτουν οἱ Ἰουδαῖοι ἀκόμη περισσότερον νὰ τὸν φονεύσουν, διότι ὄχι μόνον κατήργει τὸ Σάββατον, ἀλλὰ καὶ διότι ἔλεγεν ὅτι ὁ Θεὸς εἶναι Πατήρ μου καὶ ἔτσι ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν». Καὶ μάλιστα δὲν ἀπέδειξεν αὐτὸ μόνον μὲ λόγια, ἀλλὰ πολὺ περισσότερον μὲ ἔργα. Διατί λοιπὸν οἱ Ἰουδαῖοι ἐζήτουν τοῦτο; Διότι μὲ τὰ λόγια ἠμποροῦσαν νὰ τὸν περιγελοῦν καὶ νὰ τὸν κατηγοροῦν ὡς ἀσεβῆ, ἐπειδὴ ὅμως ἔβλεπαν ὅτι ἡ ἀλήθεια τῶν πραγμάτων συνεφώνει μὲ τὴν ἀλήθειαν τῶν ἔργων, δὲν ἠμποροῦσαν πλέον νὰ ἔχουν ἀντιρρήσεις.

Ἀλλ' ἐκεῖνοι ποὺ δὲν θέλουν μετ' εὐσεβείας νὰ παραδέχωνται ταῦτα, ἰσχυρίζονται ὅτι δὲν ἔκαμνεν ὁ Χριστὸς τὸν ἑαυτόν των ἴσον μὲ τὸν Θεόν, ἀλλ' οἱ Ἰουδαῖοι ὑπώπτευον τοῦτο. Ἂς συνοψίσωμεν λοιπὸν αὐτὰ ποὺ ἔχουν λεχθῆ. Εἰπέ μου, τὸν κατεδίωκαν οἱ Ἰουδαῖοι ἢ δὲν τὸν κατεδίωκαν; Εἶναι εἰς τὸν καθένα φανερόν, ὅτι τὸν κατεδίωκαν. Καὶ τὸν κατεδίωκαν δι' αὐτὴν τὴν αἰτίαν ἢ διὰ κάποιαν ἄλλην; Δι' αὐτὴν τὴν αἰτίαν, ὅπως λέγεται ἀπὸ ὅλους. Κατήργει τὸ Σάββατον ἢ δὲν τὸ κατήργει; Οὔτε ὡς πρὸς αὐτὸ ἠμπορεῖ νὰ φέρῃ κανεὶς ἀντίρρησιν. Ἔλεγε τὸν Θεὸν ἰδικόν του Πατέρα, ἢ δὲν τὸν ἔλεγεν; Καὶ αὐτὸ εἶναι ἀληθινόν. Ἑπομένως αὐτὴν τὴν σειρὰν συλλογισμῶν ἀκολουθοῦν καὶ τὰ ἑξῆς· Ὅπως δηλαδὴ τὸ ὅτι ἔλεγε τὸν Θεὸν Πατέρα του, τὸ ὅτι κατήργει τὸ Σάββατον, τὸ ὅτι κατεδιώκετο ἀπὸ τοὺς Ἰουδαίους καὶ διὰ τὸ πρῶτον, ἀλλὰ περισσότερον διὰ τὸ δεύτερον, δὲν ἦτο ψευδὴς γνώμη, ἀλλὰ πραγματικὴ ἀλήθεια, ἔτσι καὶ τὸ ὅτι ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεὸν ἦτο ἀπόδειξις τῆς ἰδίας γνώμης του.

Καὶ ἀπὸ τὰ ὅσα ἐλέχθησαν προηγουμένως ἠμπορεῖ κανεὶς νὰ ἰδῇ τοῦτο καθαρά. Διότι ἡ φράσις τοῦ Χριστοῦ, «Ὁ Πατὴρ ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι», σημαίνει ὅτι ἔκαμνε

γάζομαι», ἴσον ἐστὶν ἑαυτὸν δεικνύντος τῷ Θεῷ. Οὐ γὰρ δείκνυ ἐν τούτοις οὐδεμίαν διαφοράν. Οὐ γὰρ εἶπεν, Ἐκεῖνος μὲν γὰρ ἐργάζεται, ἐγὼ δὲ ὑπουργῶ· ἀλλ', Ὥσπερ ἐκεῖνος ἐργάζεται, οὕτω καὶ ἐγώ. Καὶ ἰσότητα πολλὴν ἐπεδείξατο. Εἰ δὲ οὐκ αὐτὸς τοῦτο ἐβούλετο κατασκευάσαι, ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο μάτην ὑπώπτευον, οὐκ ἂν ἀφῆκεν αὐτῶν εἶναι τὴν διάνοιαν ἐσφαλμένην, ἀλλὰ καὶ διώρθωσεν ἂν τοῦτο. Καὶ ὁ εὐαγγελιστὴς δὲ οὐκ ἂν αὐτὸ παρεσιώπησεν, ἀλλ' εἶπεν ἂν φανερῶς, ὅτι Ἰουδαῖοι μὲν οὕτως ὑπώπτευον, αὐτὸς δὲ οὐκ ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ· ὥσπερ καὶ ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο ποιεῖ, ὅταν ἴδῃ ἄλλως μὲν λεγόμενον, ἄλλως δὲ ὑποπτευόμενον τὸ λεχθέν· οἷον, «Λύσατε τὸν ναὸν τοῦτον», ἔλεγεν ὁ Χριστός, «καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», περὶ τῆς σαρκὸς αὐτοῦ λέγων.

Ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο μὴ συνιέντες, καὶ νομίσαντες περὶ τοῦ Ἰουδαϊκοῦ ναοῦ λέγεσθαι, «Ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν», ἔλεγον, «ᾠκοδομήθη ὁ ναὸς οὗτος καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;». Ἐπεὶ οὖν ἄλλο μὲν εἶπεν αὐτός, ἄλλο δὲ ὑπώπτευσαν ἐκεῖνοι (αὐτὸς μὲν γὰρ περὶ τῆς σαρκὸς αὐτοῦ ἔλεγεν, ἐκεῖνοι δὲ περὶ τοῦ ναοῦ τοῦ ἑαυτῶν ἐνόμιζον τοῦτο εἰρῆσθαι), ἐπισημαινόμενος τοῦτο ὁ εὐαγγελιστής, μᾶλλον δὲ διορθούμενος αὐτῶν τὴν ὑπόνοιαν, ἐπήγαγε λέγων· «Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ». Ὥστε εἰ καὶ ἐνταῦθα ὁ μὲν Χριστὸς οὐκ ἐποίει ἑαυτὸν ἴσον, οὐδὲ ἐβούλετο τοῦτο παραστῆσαι, οἱ δὲ Ἰουδαῖοι τοῦτο ὑπώπτευσαν, διώρθωσεν ἂν κἀνταῦθα τὴν ὑπόνοιαν αὐτῶν, καὶ εἶπεν· Ἰουδαῖοι μὲν ἐνόμιζον ἑαυτὸν ἴσον ποιεῖν τῷ Θεῷ, ἐκεῖνος δὲ οὐ περὶ τῆς ἰσότητος ἔλεγε.

Καὶ γὰρ οὐδὲ ἐνταῦθα μόνον οὗτος μόνος, ἀλλὰ καὶ ἀλλαχοῦ πάλιν τὸ αὐτὸ τοῦτο φαίνεται ποιῶν καὶ ἕτερος εὐαγγελιστής. Ὅτε γὰρ παρήγγειλε τοῖς μαθηταῖς λέγων· «Προσέ

τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν. Διότι εἰς αὐτὰ τὰ λόγια δὲν ὑπάρχει καμμία διαφορά. Διότι δὲν εἶπεν· Ἐκεῖνος μὲν ἐργάζεται, ἐγὼ δὲ τὸν ὑπηρετῶ, ἀλλά· Ὅπως ἐργάζεται ἐκεῖνος, ἔτσι ἐργάζομαι καὶ ἐγώ. Καὶ ἔδειξε μεγάλην ἰσότητα. Ἐὰν ὅμως δὲν ἤθελεν ὁ Χριστὸς ν' ἀποδείξῃ τοῦτο, ἀλλὰ ματαίως ὑπώπτευον τοῦτο οἱ Ἰουδαῖοι, δὲν θὰ ἄφηνεν αὐτοὺς μὲ αὐτὴν τὴν σφαλερὰν γνώμην, ἀλλὰ θὰ τὴν ἐπανώρθωνεν. Οὔτε καὶ ὁ Εὐαγγελιστὴς θὰ τὸ ἀποσιωποῦσεν, ἀλλὰ θὰ ἔλεγε φανερά, ὅτι οἱ Ἰουδαῖοι εἶχαν αὐτὴν τὴν ὑποψίαν, αὐτὸς ὅμως δὲν ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν. Τὸ ἴδιο κάμνει καὶ εἰς ἄλλας περιπτώσεις, ὅταν ἰδῇ ὅτι ἀλλοιῶς τὰ λέγει αὐτὸς καὶ ἀλλοιῶς ἐκλαμβάνεται ὁ λόγος του. Παραδείγματος χάριν, ὅταν ὡμίλει περὶ τοῦ σώματός του, ἔλεγε· «Γκρεμίσατε αὐτὸν τὸν ναὸν καὶ ἐγὼ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω».

Ἀλλ' οἱ Ἰουδαῖοι, ἐπειδὴ δὲν τὸ καταλάβαιναν καὶ ἐπειδὴ ἐνόμιζαν, ὅτι αὐτὸ λέγεται περὶ τοῦ Ἰουδαϊκοῦ ναοῦ, ἀπήντησαν· «Εἰς τεσσαράκοντα ἓξ ἔτη ἐκτίσθη αὐτὸς ὁ ναὸς καὶ σὺ θὰ τὸν ἀνοικοδομήσῃς εἰς τρεῖς ἡμέρας;». Ἐπειδὴ λοιπὸν ἄλλο εἶπεν ὁ Χριστός, ἄλλο δὲ κατάλαβαν ἐκεῖνοι (διότι αὐτὸς μὲν ὡμίλει περὶ τοῦ σώματός του, ἐκεῖνοι δὲ ἐνόμιζαν ὅτι αὐτὸ εἶχε λεχθῆ περὶ τοῦ νοῦ των), ἐπισημαίνων αὐτὸ ὁ Εὐαγγελιστής, ἢ μᾶλλον διορθώνων τὴν γνώμην τους προσέθεσεν· «Ἐκεῖνος ὅμως ἔλεγε διὰ τὸν ναὸν τοῦ σώματός του». Ὥστε, ἂν καὶ εἰς αὐτὴν ἐδῶ τὴν περίπτωσιν ὁ μὲν Χριστὸς δὲν ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν, οὔτε ἤθελε νὰ παραστήσῃ τοῦτο, θὰ ἐπανώρθωνε καὶ ἐδῶ τὴν γνώμην των καὶ θὰ τὸ ἔλεγεν. Οἱ Ἰουδαῖοι μὲν ἐνόμιζαν, ὅτι κάμνει τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν, ὁ Χριστὸς ὅμως δὲν ἔλεγεν αὐτὰ περὶ τῆς ἰσότητος.

Ἀλλὰ δὲν εἶναι μόνον αὐτὸς ὁ Εὐαγγελιστὴς ποὺ κάμνει αὐτὸ εἰς αὐτὴν ἐδῶ τὴν περίπτωσιν. Καὶ ἄλλος Εὐαγγελιστὴς φαίνεται ὅτι κάμνει τὸ ἴδιο εἰς ἄλλην περίπτωσιν.

χετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων», ἐκεῖνοι δὲ διελογίζοντο, λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν· καὶ ἄλλο μὲν αὐτὸς εἶπε, ζύμην τὴν διδασκαλίαν καλῶν, ἄλλο δὲ ὑπώπτευσαν οἱ μαθηταί, περὶ ἄρτων εἰρῆσθαι νομίζοντες, διορθοῦται αὐτὸ πάλιν, οὐκ ἔτι ὁ εὐαγγελιστής, ἀλλ' αὐτὸς ὁ Χριστός, οὕτω λέγων· «Πῶς οὖν νοεῖτε ὅτι προσέχειν οὐ περὶ ἄρτων εἶπον ὑμῖν;».

Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. Καὶ μήν, φησίν, αὐτὸ τοῦτο ἀναιρῶν, ἐπήγαγεν ὁ Χριστός· «Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν»· Τοὐναντίον μὲν οὖν, ἄνθρωπε, πεποίηκεν· οὐδὲν γὰρ ἀναιρῶν, ἀλλὰ καὶ ἐπισφίγγων τὴν ἰσότητα τοῦτο λέγει. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας· οὐδὲ γὰρ τὸ τυχόν ἐστι τὸ ζητούμενον. Τὸ γάρ, «Ἀφ' ἑαυτοῦ», τοῦτο πολλαχοῦ τῆς Γραφῆς κεῖται, καὶ ἐπ' αὐτοῦ καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ ἁγίου. Καὶ δεῖ μαθεῖν τῆς λέξεως τὴν δύναμιν, ἵνα μὴ τὰ μέγιστα ἁμαρτάνωμεν. Εἰ γὰρ αὐτὴν καθ' ἑαυτὴν οὕτως ἐκλάβοι τις, ὥσπερ ἐστὶ πρόχειρον ἐκλαβεῖν, σκόπησον ἡλίκον ἕψεται τὸ ἄτοπον. Οὐδὲ γὰρ εἶπεν, ὅτι τὰ μὲν δύναται ἀφ' ἑαυτοῦ ποιεῖν, τὰ δὲ οὐ δύναται, ἀλλὰ καθόλου εἶπεν· «Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν».

4. Ἐρώμεθα τοίνυν τὸν ἀντιλέγοντα τούτοις· Οὐδὲν οὖν ἀφ' ἑαυτοῦ δύναται ποιεῖν ὁ Υἱός, εἰπέ μοι; Κἂν εἴπῃ, ὅτι Οὐδὲν ἐροῦμεν, ὅτι Καὶ μὴν τὸ μέγιστον τῶν ἀγαθῶν ἀφ' ἑαυτοῦ πεποίηκε· καὶ βοᾷ Παῦλος, λέγων· «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών». Καὶ πάλιν αὐτὸς ὁ Χριστὸς ἀλλαχοῦ· «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτὴν καὶ οὐδεὶς αἴρει

---

12. Ματθ. 16, 6.
13. Αὐτόθι 16, 11.
14. Φιλ. 2, 6.

Διότι, ὅταν ὁ Χριστὸς ἔδωσεν ἐντολὴν εἰς τοὺς μαθητάς του λέγων· «Προσέχετε ἀπὸ τὸ προζύμι τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων»[12], ἐκεῖνοι δὲ ἐσκέπτοντο καὶ ἔλεγαν, ὅτι δὲν ἐπῆραν ἄρτους καὶ ὅτι αὐτὸς μὲν ὠνόμασε προζύμι τὴν διδασκαλίαν του, ἐνῷ οἱ μαθηταί του ἄλλο καταλάβαιναν, νομίζοντες ὅτι αὐτὰ εἶχαν λεχθῆ περὶ τῶν πραγματικῶν ἄρτων, διορθώνει πάλιν αὐτὸ ὄχι πλέον ὁ Εὐαγγελιστὴς ἀλλ' ὁ ἴδιος ὁ Χριστὸς λέγων· «Πῶς δὲν καταλαβαίνετε ὅτι δὲν σᾶς εἶπα διὰ τοὺς ἄρτους ἀλλὰ διὰ νὰ προσέχετε;»[13].

Ἐδῶ ὅμως δὲν συμβαίνει τὸ ἴδιο. Ἀλλὰ λέγει κάποιος, ὅτι ὁ Χριστὸς ἀνῄρεσε τοῦτο καὶ προσέθεσε· «Δὲν ἠμπορεῖ ὁ Υἱὸς νὰ κάμῃ τίποτε ἀφ' ἑαυτοῦ». Τὸ ἀντίθετον, ἄνθρωπέ μου, ἔχει κάμει. Διότι αὐτὸ ποὺ εἶπεν ὄχι μόνον δὲν ἀναιρεῖ, ἀλλὰ καὶ ἐπιβεβαιώνει τὴν ἰσότητα. Ἀλλὰ πρόσεχε ἀκριβῶς, διότι δὲν ζητεῖται κάτι τὸ ἀσήμαντον. Ἡ λέξις «Ἀφ' ἑαυτοῦ» ἀναφέρεται εἰς πολλὰ χωρία τῆς ἁγίας Γραφῆς, καθὼς καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Καὶ πρέπει νὰ μάθωμεν τὴν σημασίαν αὐτῆς τῆς λέξεως, διὰ νὰ μὴ ὑποπίπτωμεν εἰς βαρύτατον σφάλμα. Διότι, ἐὰν ἐξετάσῃ κανεὶς αὐτὴν τὴν λέξιν προχείρως, πρόσεξε πόση ἀνοησία θ' ἀκολουθήσῃ. Διότι ὁ Χριστὸς δὲν εἶπεν, ὅτι ἄλλα μὲν ἠμπορεῖ νὰ τὰ κάμνῃ ἀπὸ τὸν ἑαυτόν του, ἄλλα ὅμως δὲν ἠμπορεῖ, ἀλλὰ εἶπε γενικῶς· «Δὲν ἠμπορεῖ ὁ Υἱὸς νὰ κάμνῃ τίποτε ἀπὸ τὸν ἑαυτόν του».

4. Ἂς ἐρωτήσωμεν λοιπὸν τὸν ἀντιλέγοντα εἰς αὐτά. Εἰπέ μου, δὲν δύναται ὁ Υἱὸς νὰ κάμνῃ τίποτε ἀπὸ τὸν ἑαυτόν του. Καὶ ἂν ἀπαντήσῃς, ὅτι δὲν ἠμπορεῖ νὰ κάμνῃ τίποτε, τότε θὰ σοῦ εἰποῦμεν, ὅτι τὸ μεγαλύτερον ἀγαθὸν τὸ ἔχει κάμει ἀπὸ τὸν ἑαυτόν του. Καὶ κραυγάζει ὁ Παῦλος λέγων· «Οὗτος ἂν καὶ εἶχε θεϊκὴν ὕπαρξιν, δὲν ἐθεώρησε τὸ ὅτι ἦτο ἴσος πρὸς τὸν Θεὸν σὰν κάτι πρὸς ἁρπαγμόν, ἀλλ' ἐκένωσε τὸν ἑαυτόν του μορφὴν δούλου λαβών»[14]. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Χριστὸς εἰς ἄλλο μέρος λέγει· «Ἔχω ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου καὶ ἔχω ἐξου-

αὐτὴν ἀπ' ἐμοῦ· ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ». Ὁρᾷς καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχοντα, καὶ τὴν τοσαύτην οἰκονομίαν ἀφ' ἑαυτοῦ ἐργασάμενον;

Καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; Ἡμεῖς γάρ, ὧν οὐδὲν εὐτελέστερον γένοιτ' ἄν, πολλὰ ἀφ' ἑαυτῶν πράττομεν, καὶ κακίαν ἀφ' ἑαυτῶν αἱρούμενοι, καὶ ἀρετὴν ἀφ' ἑαυτῶν μετερχόμενοι. Εἰ δὲ μὴ ἀφ' ἑαυτῶν, μηδὲ ἐξουσίαν ἔχοντες, οὔτ' εἰς γέενναν ἁμαρτάνοντες ἐμπεσούμεθα, οὔτε βασιλείας κατορθοῦντες ἐπιτευξόμεθα. Οὐδὲν οὖν ἄλλο ἐστὶ τό, «Ἀφ' ἑαυτοῦ οὐ δύναται ποιεῖν οὐδέν», ἢ ὅτι οὐδὲν ἐναντίον τῷ Πατρί, οὐδὲν ἀλλότριον, οὐδὲν ξένον, ὃ μάλιστα τὴν ἰσότητα ἐνδεικνυμένου καὶ τὴν πολλὴν συμφωνίαν. ἐστί.

Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὅτι οὐδὲν ἐναντίον ποιεῖ, ἀλλ' ὅτι «Οὐ δύναται»; Ἵνα κἀντεῦθεν δείξῃ πάλιν τὸ ἀπαράλλακτον καὶ τὴν ἀκρίβειαν τῆς ἰσότητος. Οὐ γὰρ ἀσθένειαν αὐτοῦ κατηγορεῖ τὸ ῥῆμα, ἀλλὰ καὶ πολλὴν αὐτοῦ τὴν δύναμιν μαρτυρεῖ. Ἐπεὶ καὶ ἀλλαχοῦ περὶ τοῦ Πατρός φησιν ὁ Παῦλος· «Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν». Καὶ πάλιν· «Εἰ ἀρνησόμεθα, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται». Καὶ οὐ δήπου τοῦτο τό, «Ἀδύνατον», δηλωτικὸν ἀσθενείας, ἀλλὰ δυνάμεώς ἐστι καὶ δυνάμεως ἀφάτου. Ὃ οὖν λέγει, τοῦτό ἐστι· Πάντων ἀνεπίδεκτος ἡ οὐσία ἐκείνη τῶν τοιούτων ἐστίν. Ὥσπερ γὰρ ὅταν λέγωμεν καὶ ἡμεῖς, ἀδύνατον τὸν Θεὸν ἁμαρτεῖν, οὐκ ἀσθένειαν αὐτοῦ κατηγοροῦμεν, ἀλλὰ ἄρρητόν τινα δύναμιν αὐτοῦ μαρτυροῦμεν, οὕτω δὴ καὶ αὐτὸς ὅταν εἴπῃ, «Οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν», τοῦτο

---

15. Ἰω. 10, 18.
16. Ἑβρ. 6, 18.
17. Β' Τιμ. 2, 13.

σίαν πάλιν νὰ τὴν πάρω. Καὶ κανεὶς δὲν μοῦ τὴν ἀφαιρεῖ ἀλλ' ἐγὼ ἀπὸ μόνος μου τὴν θυσιάζω»[15]. Βλέπεις ὅτι ἔχει ἐξουσίαν ζωῆς καὶ θανάτου καὶ ὅτι ἔκαμεν ἀπὸ μόνος του τὴν τόσην οἰκονομίαν;

Καὶ διατί ὁμιλῶ περὶ τοῦ Χριστοῦ; Ἡμεῖς οἱ ἴδιοι, τῶν ὁποίων δὲν ἠμπορεῖ νὰ γίνῃ τίποτε εὐτελέστερον, πολλὰ πράγματα κάμνομεν ἀπὸ μόνοι μας, ἀφοῦ καὶ τὴν κακίαν ἀπὸ μόνοι μας προτιμοῦμεν καὶ τὴν ἀρετὴν ἀπὸ μόνοι μας ἀσκοῦμεν. Ἐὰν ὅμως δὲν τὰ κάμνωμεν ἀπὸ μόνοι μας, οὔτε ἔχωμεν ἐξουσίαν, τότε δὲν θὰ ριφθοῦμεν εἰς τὴν γέενναν, ἐὰν ἁμαρτάνωμεν, οὔτε τὴν βασιλείαν τῶν οὐρανῶν θὰ ἐπιτύχωμεν, ἐὰν τὸ κατορθώσωμεν. Δὲν σημαίνει λοιπὸν τίποτε ἄλλο τὸ «Δὲν δύναμαι νὰ κάμνω τίποτε ἀφ' ἑαυτοῦ», παρὰ ὅτι δὲν ἠμπορῶ νὰ κάμνω τίποτε ἀντίθετον πρὸς τὸν Πατέρα, οὔτε ξένον πρὸς αὐτόν, πρᾶγμα ποὺ ἀποδεικνύει μάλιστα τὴν ἰσότητα καὶ τὴν μεγάλην συμφωνίαν.

Καὶ διατί δὲν εἶπεν, ὅτι δὲν κάμνει τίποτε τὸ ἀντίθετον, ἀλλ' εἶπεν «Δὲν δύναται»; Διὰ νὰ δείξῃ καὶ μὲ αὐτὸ πάλιν τὴν ἀμετάβλητον καὶ ἀκριβῆ ἰσότητα. Διότι ἡ λέξις δὲν φανερώνει τὴν ἀδυναμίαν του, ἀλλ' ἀντιθέτως μαρτυρεῖ τὴν μεγάλην του δύναμιν. Διότι καὶ εἰς ἄλλο μέρος λέγει ὁ Παῦλος περὶ τοῦ Πατρός· «Ἵνα διὰ δύο πραγμάτων ἀμεταβλήτων, διὰ τῶν ὁποίων εἶναι ἀδύνατον ν' ἀποδειχθῇ ὁ Θεὸς ψεύστης»[16]. Καὶ ἀλλοῦ πάλιν· «Ἐὰν ἡμεῖς ἀπιστοῦμεν, ἐκεῖνος μένει πιστός, διότι δὲν εἶναι δυνατὸν ν' ἀρνηθῇ τὸν ἑαυτόν του»[17]. Καὶ ἡ λέξις «Ἀδύνατον» δὲν σημαίνει ἀδυναμίαν, ἀλλὰ δύναμιν καὶ μάλιστα ἀσύγκριτον. Ἐκεῖνο λοιπὸν ποὺ ἐννοεῖ, εἶναι τὸ ἑξῆς· Ἐκείνη ἡ οὐσία δὲν ἠμπορεῖ νὰ συγκριθῇ μὲ τὰ παρόντα πράγματα. Διότι ὅπως καὶ ἡμεῖς, ὅταν λέγωμεν, ὅτι εἶναι ἀδύνατον ν' ἁμαρτάνῃ ὁ Θεός, δὲν ἐννοοῦμεν τὴν ἀδυναμίαν του, ἀλλὰ μαρτυροῦμεν κάποιον ἀναντίρρητον δύναμίν του, ἔτσι καὶ ὁ Χριστός, ὅτα λέγῃ, «Δὲν δύναμαι νὰ κάμνω τίποτε ἀπὸ

λέγει, ὅτι Ἀδύνατον καὶ ἀνεγχώρητόν ἐστιν ἐμὲ ποιῆσαί τι ἐναντίον τῷ Πατρί.

Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστι τὸ λεγόμενον, τὰ ἑξῆς ἐπελθόντες, ἴδωμεν τίσι ψηφίζεται ὁ Χριστός· πότερον τοῖς παρ' ἡμῶν λεχθεῖσιν, ἢ τοῖς παρ' ὑμῖν. Σὺ μὲν γὰρ φῂς τὴν ἐξουσίαν ἀναιρεῖν τὸ ῥῆμα, καὶ τὴν προσήκουσαν αὐθεντίαν αὐτοῦ καὶ τὴν δύναμιν ἀσθενῆ δεικνύναι· ἐγὼ δὲ λέγω ὅτι τὴν ἰσότητα καὶ τὸ ἀπαράλλακτον καὶ τὸ ὡσανεὶ ἐκ μιᾶς γνώμης καὶ ἐξουσίας καὶ δυνάμεως γινόμενον ἐμφαίνει τοῦτο. Οὐκοῦν αὐτὸν ἐρώμεθα τὸν Χριστὸν καὶ ἴδωμεν δι' ὧν φησιν ἑξῆς, πότερον πρὸς τὴν σὴν ὑπόνοιαν ἢ πρὸς τὴν ἡμετέραν ἑρμηνεύει τὰ εἰρημένα. Τί οὖν φησιν; «Ἃ γὰρ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ».

Εἶδες πῶς πρόρριζον ἀνεῖλε τὸ ὑμέτερον καὶ τὰ εἰρημένα παρ' ἡμῶν ἐβεβαίωσεν; Εἰ γὰρ ἀφ' ἑαυτοῦ οὐδὲν ποιεῖ, ἔσται οὐδὲ ὁ Πατὴρ ἀφ' ἑαυτοῦ τι ποιῶν, εἴ γε ὁμοίως αὐτῷ πάντα ποιεῖ. Ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, καὶ ἕτερον ἄτοπον ἕψεται. Οὐδὲ γὰρ εἶπεν, ὅτι ἃ εἶδε τὸν Πατέρα ποιοῦντα ἐποίησεν, ἀλλ', «Ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα», οὐ ποιεῖ, τῷ παντὶ παρατείνων χρόνῳ τὸν λόγον· καὶ ἔσται καθ' ὑμᾶς ἀεὶ τὰ αὐτὰ μανθάνων.

Εἶδες πῶς τὸ μὲν νόημά ἐστιν ὑψηλόν, ἡ δὲ ταπεινότης τοῦ ῥήματος καὶ τοὺς λίαν ἀναισχύντους καὶ μὴ βουλομένους ἀναγκάζει φυγεῖν τὸ χαμαίζηλον καὶ σφόδρα τῆς ἀξίας ἐκείνης ἀπᾷδον; Τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὥς εἰπεῖν τὸν Υἱὸν καθ' ἑκάστην ἡμέραν μανθάνειν ἃ δεῖ ποιεῖν; Πῶς δὲ ἔσται ἐκεῖνο ἀληθές, τό, «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι»; πῶς δέ, «Καὶ πάντα δι' αὐ-

---

18. Ψαλμ. 101, 28.

τὸν ἑαυτόν μου», ἐννοεῖ, ὅτι εἶναι Ἀδύνατον καὶ ἀσυγχώρητον εἰς ἐμέ, νὰ κάμω κάτι ἀντίθετον εἰς τὸν Πατέρα.

Καὶ διὰ νὰ καταλάβῃς, ὅτι αὐτὰ ἐννοεῖ, ἂς ἐξετάσωμεν τὰ ἑπόμενα καὶ ἂς ἴδωμεν μὲ ποῖα ἐκ τῶν δύο συμφωνεῖ ὁ Χριστός, μὲ ἐκεῖνα ποὺ εἴπαμεν ἡμεῖς, ἢ μὲ ἐκεῖνα ποὺ ἰσχυρίσθης ἐσύ. Ἐσὺ ἰσχυρίζεσαι δηλαδή, ὅτι ἡ λέξις ἀναιρεῖ τὴν ἐξουσίαν καὶ τὴν ἁρμόζουσαν εἰς αὐτὸν αὐθεντίαν καὶ ὅτι ἀποδεικνύει ἀσθενικὴν τὴν δύναμίν του. Ἐγὼ ὅμως λέγω, ὅτι σημαίνει τὴν ἰσότητα καὶ αὐτὸ ποὺ γίνεται ἀπαράλλακτα καὶ σὰν ἀπὸ μίαν γνώμην καὶ ἀπὸ μίαν συμφωνίαν καὶ δύναμιν. Ἂς ἐρωτήσωμεν λοιπὸν τὸν ἴδιον τὸν Χριστὸν καὶ ἂς ἴδωμεν μὲ ὅσα λέγει παρακάτω, ἂν ἑρμηνεύῃ τὰ λόγια του σύμφωνα μὲ τὴν ἰδικήν σου ἢ μὲ τὴν ἰδικήν μας ἄποψιν. Τί λέγει λοιπόν; «Αὐτὰ ποὺ κάμνει ὁ Πατήρ, αὐτὰ κάμνει ἐπίσης καὶ ὁ Υἱός».

Εἶδες πῶς ἀνῄρεσεν ἀπὸ τὴν ρίζαν τὴν ἰδικήν σου γνώμην καὶ ἐβεβαίωσε τὴν ἰδικήν μας; Διότι ἂν δὲν κάμνῃ τίποτε ἀφ' ἑαυτοῦ, οὔτε καὶ ὁ Πατὴρ ἠμπορεῖ νὰ κάμῃ τίποτε ἀφ' ἑαυτοῦ, ἂν βεβαίως κάμνει τὰ πάντα ὁμοίως μὲ τὸν Υἱόν. Διότι, ἂν τὸ πρᾶγμα δὲν εἶναι ἔτσι, τότε θ' ἀκολουθήσῃ καὶ ἄλλο ἄτοπον. Διότι δὲν εἶπεν, ὅτι ἔκαμεν ἐκεῖνα ποὺ εἶδε νὰ κάμνῃ ὁ Πατήρ, ἀλλὰ ὅτι «Ἐὰν δὲν βλέπῃ νὰ τὰ κάμνῃ ὁ Πατήρ», δὲν τὰ κάμνει καὶ αὐτός, παρατείνων τὸν λόγον εἰς ὅλον τὸν χρόνον. Καὶ κατὰ τὴν γνώμην μας τὰ ἴδια πάντοτε μανθάνει.

Εἶδες πῶς τὸ μὲν νόημα εἶναι ὑψηλόν, ἡ δὲ ἁπλότης τοῦ λόγου ἀναγκάζει καὶ τοὺς πολὺ ἀναισχύντους καὶ τοὺς ἰσχυρογνώμονας ν' ἀποφεύγουν τὴν εὐτέλειαν καὶ κάθε τί ποὺ δὲν ἁρμόζει μὲ τὴν ἀξίαν ἐκείνου; Διότι, ποῖος εἶναι τόσον ἄθλιος καὶ δυστυχής, ὥστε νὰ ἰσχυρισθῇ, ὅτι ὁ Υἱὸς μανθάνει κάθε ἡμέραν ἐκεῖνα ποὺ πρέπει νὰ κάμνῃ; Καὶ πῶς εἶναι ἀληθινὸν ἐκεῖνο ποὺ λέγει ὁ Προφήτης, «Σὺ εἶσαι ὁ ἴδιος καὶ τὰ ἔτη σου δὲν θὰ ὀλιγοστεύσουν»;[18] καὶ πῶς εἶναι ἐπίσης ἀληθινὸν τό, «Καὶ ὅλα ἔγιναν ἀπὸ αὐτὸν

τοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», εἴ γε τὰ μὲν ὁ Πατὴρ ποιεῖ, τὰ δὲ αὐτὸς ὁρῶν μιμεῖται; Ὁρᾷς ὅτι καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων καὶ ἐκ τῶν μετὰ ταῦτα λεχθέντων δείκνυται τῆς αὐθεντίας ἡ ἀπόδειξις; Εἰ δὲ ταπεινότερον προάγει τῶν ῥημάτων ἔνια, μὴ θαυμάσῃς. Ἐπειδὴ γὰρ ἐδίωκον αὐτόν, τὰ ὑψηλὰ ἀκούσαντες, καὶ ἀντίθεον εἶναι ἐνόμιζον, ὀλίγον καθυφεὶς διὰ τῶν ῥημάτων μόνων, πάλιν ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον· εἶτα πάλιν ἐπὶ τὰ ταπεινά, ποικίλλων αὐτοῦ τὴν διδασκαλίαν, ὥστε εὐπαράδεκτον γενέσθαι καὶ τοῖς ἀγνώμοσι.

Σκόπει δέ· Εἰπών, «Ὁ Πατήρ μου ἐργάζεται κἀγὼ ἐργάζομαι», καὶ ἀποφήνας ἴσον ἑαυτὸν τῷ Θεῷ, πάλιν λέγει· «Οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν ὁ Υἱὸς οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα». Εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον· «Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· πάλιν ἐπὶ τὸ ταπεινότερον· «Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα». Εἶδες ὅσον πάλιν τὸ ταπεινόν; Εἰκότως. Ὃ γὰρ ἔφθην εἰπών, καὶ λέγων οὐ παύσομαι, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι ἡνίκα ἂν λέγῃ τι χαμαίζηλον καὶ ταπεινόν, μεθ' ὑπερβολῆς αὐτὸ τίθησιν, ἵνα καὶ τοὺς ἀγνώμονας ἡ τῶν ῥημάτων εὐτέλεια πείσῃ μετ' εὐσεβοῦς διανοίας δέξασθαι τὰ νοήματα.

Ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἐννόησον πῶς ἄτοπον τὸ εἰρημένον, ἀπ' αὐτῶν τῶν ῥημάτων γυμνάζων. Ὅταν γὰρ εἴπῃ, «Καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα», εὑρεθήσεται πολλὰ μηδέπω μαθών, ὅπερ οὐδὲ περὶ ἀποστόλων ἔστιν εἰπεῖν. Τοῦ γὰρ Πνεύματος ἅπαξ λαβόντες τὴν χάριν, ἀθρόον πάν-

καὶ χωρὶς αὐτὸν δὲν ἔχει γίνει τίποτε», ἐὰν αὐτὰ μὲν ἔκαμνεν ὁ Πατήρ, ὁ δὲ Υἱὸς μιμεῖται βλέπων; Βλέπεις ὅτι καὶ ἀπὸ ὅσα ἐλέχθησαν εἰς τὰ προηγούμενα καὶ ὅσα ἔχουν λεχθῆ μετὰ ἀποδεικνύεται ἡ αὐθεντία του; Ἐὰν δὲ μερικὰς φορὰς ὁμιλῇ ἁπλούστερον, μὴ ἀπορήσῃς. Ἐπειδὴ δηλαδὴ τὸν κατεδίωκαν, ὅταν ἤκουσαν νὰ ὁμιλῇ περὶ ὑψηλῶν πραγμάτων καὶ ἐνόμισαν ὅτι εἶναι ἐχθρὸς τοῦ Θεοῦ, ἀφοῦ ἔκαμεν ἁπλούστερον τὸν λόγον, ἔπειτα τὸν ἀναβιβάζει πάλιν εἰς τὰ ὑψηλὰ καὶ ἐν συνεχείᾳ πάλιν τὸν ἁπλουστεύει, ποικίλλων τὴν διδασκαλίαν του, ὥστε νὰ γίνεται εὐχαρίστως δεκτὴ ἀπὸ τοὺς ἀσεβεῖς.

Πρόσεχε, σὲ παρακαλῶ. Ἀφοῦ εἶχεν εἰπεῖ· «Ὁ Πατήρ μου ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι» καὶ ἀφοῦ ἀπέδειξε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν, ἐπαναλαμβάνει· «Δὲν δύναται ὁ Υἱὸς νὰ κάμνῃ τίποτε ἀφ' ἑαυτοῦ, ἐὰν δὲν βλέπῃ τὸν Πατέρα νὰ κάμνῃ». Καὶ ἐν συνεχείᾳ εἰς ὑψηλοτέραν ἔννοιαν· «Διότι ὅ,τι κάμνει ἐκεῖνος καὶ ὁ Υἱὸς κάμνει ὁμοίως». Καὶ πάλιν εἰς τὰ ἁπλούστερα· «Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ τοῦ δεικνύει ὅλα ὅσα αὐτὸς κάμνει καὶ θὰ τοῦ δείξῃ μεγαλύτερα ἀπὸ αὐτά». Εἶδες πῶς ἁπλουστεύει πάλιν τὸν λόγον; Καὶ δικαίως. Διότι μόλις πρὸ ὀλίγου εἶπα καὶ δὲν θὰ παύσω νὰ λέγω αὐτὸ ποὺ θὰ ἐπαναλάβω τώρα. Ὅτι δηλαδὴ ὅταν ὁμιλῇ διὰ κάτι εὐτελὲς καὶ ταπεινόν, τὸ ἀναφέρει μὲ ὑπερβολήν, διὰ νὰ πείσῃ τοὺς ἀσεβεῖς ἡ ἁπλότης τῶν λόγων, ὅτι πρέπει νὰ δεχθοῦν τὰ νοήματα μὲ εὐσεβῆ διάνοιαν.

Ἀλλ' ἂν δὲν συμβαίνῃ αὐτό, κοίταξε πόσον εἶναι ἀνόητον αὐτὸ ποὺ ἐλέχθη, τὸ ὁποῖον θὰ καταλάβῃς, ἐὰν ἐρευνήσῃς αὐτὰ τὰ λόγια. Διότι, ὅταν λέγῃ, «Καὶ θὰ δείξῃ εἰς αὐτὸν μεγαλύτερα ἔργα ἀπὸ αὐτά», θὰ εὑρεθῇ, ὅτι ὑπάρχουν πολλά, ποὺ δὲν ἔχει μάθει ἀκόμη, πρᾶγμα τὸ ὁποῖον δὲν εἶναι δυνατὸν νὰ εἰποῦμεν οὔτε διὰ τοὺς Ἀποστόλους. Διότι οὗτοι ἀφοῦ ἔλαβαν ἅπαξ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ὅλα πλέον τὰ ἤξευραν καὶ ἠμποροῦσαν

τα καὶ ᾔδεσαν καὶ ἐδύναντο ἐκεῖνοι, ἅπερ καὶ εἰδέναι αὐτοὺς καὶ δύνασθαι ἔδει. Οὗτος δὲ εὑρεθήσεται πολλὰ ὧν εἰδέναι ἐχρῆν, μηδέπω μαθών. Καὶ τί τούτου γένοιτ' ἂν ἀτοπώτερον; Τί οὖν ἐστι τὸ εἰρημένον, Ἐπειδὴ τὸν παράλυτον ἔσφιγξε, μέλλει δὲ καὶ νεκρὸν ἐγείρειν, διὰ τοῦτο οὕτως εἶπε, μονονουχὶ τοῦτο λέγων· Θαυμάζετε ὅτι παράλυτον ἔσφιγξα; μείζονα τούτων ὄψεσθε.

Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, ταπεινότερον δέ πως διέξεισιν, ἵνα αὐτῶν παραμυθήσηται τὴν μανίαν. Καὶ ἵνα μάθῃς ὅτι τό, «Δείξει», οὐ κυρίως εἴρηται, ἄκουσον τῶν ἑξῆς ὧν ἐπάγει πάλιν. «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ», φησίν, «οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καίτοι τό, «Οὐδὲν δύναται ἀφ' ἑαυτοῦ ποιεῖν», τῷ, «Οὓς θέλει», ἐναντίον ἐστίν. Εἰ γὰρ οὓς θέλει, δύναται ἀφ' ἑαυτοῦ ποιεῖν (τὸ γὰρ θέλειν, ἐξουσίας)· εἰ δὲ οὐ δύναται ἀφ' ἑαυτοῦ οὐκ ἔτι οὓς θέλει. Τὸ μὲν γάρ, «Ὥσπερ ὁ Πατὴρ ἐγείρει» τῆς δυνάμεως δείκνυσι τὴν ἀπαραλλαξίαν· τὸ δέ, «Οὓς θέλει», τῆς ἐξουσίας τὴν ἰσότητα.

Ὁρᾷς ὅτι τό, «Οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν», οὐ τὴν ἐξουσίαν ἀναιροῦντός ἐστιν, ἀλλὰ τὸ ἀπαράλλακτον τῆς δυνάμεως καὶ τοῦ θελήματος ἐνδεικνυμένου; Οὕτω καὶ τό, «Δείξει αὐτῷ», νόησον. Καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· «Ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ». Καὶ πάλιν, δεικνὺς ὅτι οὐκ ἐνέργειαν δεχόμενος ποιεῖ, «Ἐγώ εἰμι ἡ ἀνάστασις», φησί, «καὶ ἡ ζωή». Εἶτα ἵνα μὴ λέγῃς, ὅτι νεκροὺς μὲν ἐγείρει οὓς θέλει, καὶ ζωοποιεῖ, τὰ δὲ ἄλλα οὐχ οὕτω ποιεῖ, προλαβὼν πᾶσαν ἀπέκλεισεν ἀντιλογίαν τοιαύτην, εἰπών· «Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· δηλῶν

19. Ἰω. 6, 39.
20. Ἰω. 11, 25.

ὅλα νὰ τὰ κάμουν, ὅσα ἔπρεπε καὶ νὰ ξεύρουν καὶ νὰ ἠμποροῦν. Ὁ δὲ Χριστὸς θ' ἀποκαλυφθῇ, ὅτι ἀκόμη δὲν εἶχε μάθει πολλά, ἀπὸ ὅσα ἔπρεπε νὰ γνωρίζῃ. Καὶ τί θὰ ἠμποροῦσε νὰ γίνῃ περισσότερον ἄτοπον ἀπὸ αὐτό; Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ ἐλέχθη; Ἐπειδὴ ἐθεράπευσε τὸν παραλυτικόν, πρόκειται δὲ ν' ἀναστήσῃ καὶ νεκρόν, διὰ τοῦτο ὡμίλησεν ἔτσι, σὰν νὰ ἔλεγε. Θαυμάζετε, διότι ἐθεράπευσα τὸν παραλυτικόν; θὰ ἰδῆτε μεγαλύτερα ἀπὸ αὐτά.

Ἀλλὰ δὲν ὡμίλησε κατ' αὐτὸν τὸν τρόπον, κάπως ἁπλούστερα ὅμως διεπραγματεύθη τὸ θέμα, διὰ νὰ καταισιγάσῃ τὴν μανίαν των. Καὶ διὰ νὰ μάθῃς, ὅτι τὸ «Θὰ δείξῃ» δὲν ἔχει λεχθῆ κυριολεκτικά, ἄκουσε αὐτὰ ποὺ προσθέτει· «Διότι ὅπως ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ἐκείνους ποὺ θέλει ζωοποιεῖ». Καὶ ὅμως τὸ «Δὲν δύναται νὰ κάμῃ τίποτε ἀφ' ἑαυτοῦ», εἶναι ἀντίθετον μὲ τὸ «Ἐκείνους ποὺ θέλει». Διότι, ἐὰν ζωοποιῇ ἐκείνους ποὺ θέλει, τότε δύναται νὰ τὸ κάμῃ ἀφ' ἑαυτοῦ (διότι τὸ θέλει σημαίνει δύναται), ἐὰν πάλιν δὲν δύναται ἀφ' ἑαυτοῦ, τότε δὲν ἠμπορεῖ νὰ ζωοποιῇ ἐκείνους ποὺ θέλει. Διότι τὸ μέν, «Ὅπως ὁ Πατὴρ ἀνασταίνει», δεικνύει τὴν ἰσότητα τῆς δυνάμεως, τὸ δέ, «Ἐκείνους ποὺ θέλει», τὴν ἰσότητα τῆς θελήσεως.

Βλέπεις ὅτι τὸ «Δὲν δύναται νὰ κάμνῃ ἀφ' ἑαυτοῦ» δὲν ἀναιρεῖ τὴν ἐξουσίαν, ἀλλ' ἀποδεικνύει τὴν ἰσότητα τῆς δυνάμεως καὶ τῆς θελήσεως; Ἔτσι πρέπει νὰ ἐννοήσῃς καὶ τὸ «Θὰ δείξῃ εἰς αὐτόν». Διότι καὶ εἰς ἄλλο μέρος λέγει· «Ἐγὼ θὰ τὸν ἀναστήσω τὴν ἐσχάτην ἡμέραν»[19]. Καὶ πάλιν διὰ νὰ δείξῃ ὅτι ἐνεργεῖ χωρὶς νὰ λαμβάνῃ δύναμιν, λέγει· «Ἐγὼ εἶμαι ἡ ἀνάστασις καὶ ἡ ζωή»[20]. Ἔπειτα, διὰ νὰ μὴ ἰσχυρίζεσαι, ὅτι ἀνασταίνει νεκροὺς ἐκείνους ποὺ θέλει καὶ ζωοποιεῖ, τὰ δὲ ἄλλα δὲν τὰ κάμνει κατ' αὐτὸν τὸν τρόπον, ἀπέκλεισεν ἐκ τῶν προτέρων αὐτὴν τὴν ἀντιλογίαν, εἰπών· «Διότι ἐκεῖνα ποὺ κάμνει ἐκεῖνος, αὐτὰ ὁμοίως κάμνει καὶ ὁ Υἱός», δηλώνων ὅτι ὅλα ὅσα κάμνει ἐ-

ὅτι καὶ πάντα ἃ ἐκεῖνος, καὶ οὕτως ὡς ἐκεῖνος ποιεῖ· κἂν νεκρῶν εἴπῃς, ἀνάστασιν κἂν σωμάτων διάπλασιν κἂν ἁμαρτημάτων ἄφεσιν κἂν ἀλλοιοῦν, ὁμοίως ἐργάζεται τῷ γεγεννηκότι.

5. Ἀλλ' οὐδενὶ τούτων προσέχουσιν οἱ τῆς ἑαυτῶν ἀμελοῦντες σωτηρίας· τοσοῦτον κακὸν τὸ προεδρίας ἐρᾶν. Τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο τὴν τῶν Ἑλλήνων ἐβεβαίωσεν ἀσέβειαν. Ὁ μὲν γὰρ Θεὸς τὰ ἀόρατα αὐτοῦ ἠβούλετο διὰ τῆς κτίσεως τοῦ κόσμου νοηθῆναι τούτου· ἐκεῖνοι δὲ ταῦτα ἀφέντες, καὶ ἀπαξιώσαντες διὰ ταύτης ἐλθεῖν τῆς διδασκαλίας, ἑτέραν ἔτεμον ἑαυτοῖς ὁδόν· διὸ καὶ τῆς οὔσης ἐξέπεσον. Διὰ τοῦτο καὶ Ἰουδαῖοι οὐκ ἐπίστευσαν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες καὶ τὴν παρὰ τοῦ Θεοῦ δόξαν οὐ ζητοῦντες.

Ἀλλ' ἡμεῖς, ἀγαπητοί, τοῦτο φεύγωμεν τὸ νόσημα μεθ' ὑπερβολῆς καὶ σπουδῆς ἁπάσης. Κἂν γὰρ μυρία κατορθώματα ἔχωμεν, πάντα ἱκανὴ διαλῦσαι τῆς κενοδοξίας ἡ λύμη. Εἰ τοίνυν ἐπαίνων ἐρῶμεν, τοὺς παρὰ τῷ Θεῷ ζητῶμεν ἐπαίνους. Ὁ μὲν γὰρ παρὰ τῶν ἀνθρώπων ἔπαινος, οἷος ἂν ᾖ, ὁμοῦ τε ἐφάνη καὶ ἀπώλετο· κἂν μὴ ἀπόληται, τὸ κέρδος οὐδὲν ἡμῖν ἤνεγκε καὶ ἀπὸ κρίσεως δὲ γίνεται διεφθαρμένης πολλάκις. Τί γὰρ θαυμαστὸν ἡ παρὰ ἀνθρώπων ἔχει δόξα, ἧς καὶ ὀρχούμενοι ἀπολαύουσι νέοι καὶ διεφθαρμέναι γυναῖκες καὶ πλεονέκται καὶ ἅρπαγες; Ὁ δὲ παρὰ τοῦ Θεοῦ θαυμαζόμενος οὐ μετὰ τούτων, ἀλλὰ μετὰ τῶν ἁγίων ἐκείνων θαυμάζεται, τῶν προφητῶν λέγω, τῶν ἀποστόλων, τῶν ἀγγελικὸν ἐπιδειξαμένων βίον.

Εἰ δὲ τὸ περιάγειν ὄχλους καὶ τὸ ἀποβλέπεσθαι ποθοῦμεν, ἐξετάσωμεν αὐτὸ καθ' ἑαυτό, καὶ οὐδενὸς ἄξιον εὑρήσο-

κεῖνος καθ' ὅμοιον τρόπον τὰ κάμνει καὶ αὐτός, δηλαδὴ ἀνάστασιν νεκρῶν, διάπλασιν σωμάτων, ἄφεσιν ἁμαρτιῶν καὶ ὁ,τι δήποτε ἄλλο κάμνει ὁ Πατήρ, τὸ ἴδιο κάμνει καὶ αὐτός.

5. Ἀλλὰ δὲν προσέχουν κανὲν ἀπὸ αὐτὰ ἐκεῖνοι ποὺ παραμελοῦν τὴν σωτηρίαν τους. Διότι τόσον μεγάλο κακὸν εἶναι ἡ ἐπιθυμία τῆς ἐξουσίας. Αὐτὸ ἐγέννησε τὰς αἱρέσεις, αὐτὸ ἐβεβαίωσε τὴν ἀσέβειαν τῶν εἰδωλολατρῶν. Διότι ὁ μὲν Θεὸς ἠθέλησε τὰ ἀόρατα αὐτοῦ νὰ κατανοηθοῦν μὲ τὴν δημιουργίαν τοῦ κόσμου τούτου. Ἐκεῖνοι ὅμως ἀφοῦ ἄφησαν αὐτὰ καὶ ἀπηξίωσαν ν' ἀκολουθήσουν αὐτὴν τὴν διδασκαλίαν, ἤνοιξαν νέαν ὁδὸν διὰ τοὺς ἑαυτούς των. Δι' αὐτὸ ἀπεμακρύνθησαν ἀπὸ τὴν ἀληθινὴν ὁδόν. Δι' αὐτὸ καὶ οἱ Ἰουδαῖοι δὲν ἐπίστευσαν, ἐπειδὴ ἐπεθύμουν τὴν ἀνθρωπίνην δόξαν καὶ δὲν ἐζήτουν τὴν δόξαν, ποὺ ὑπάρχει εἰς τὸν Θεόν.

Ἀλλ' ἡμεῖς, ἀγαπητοί, ἂς ἀποφεύγωμεν αὐτὸ τὸ νόσημα μὲ κάθε προσπάθειαν καὶ φροντίδα. Διότι καὶ ἂν ἄπειρα μετ' εὐσεβείας κατορθώσωμεν, ὁ ὄλεθρος τῆς κενοδοξίας εἶναι ἱκανὸς νὰ τὰ διαλύσῃ ὅλα. Ἐὰν λοιπὸν ἐπιθυμοῦμεν ἐπαίνους, ἂς ζητοῦμεν ἐκείνους, ποὺ ὑπάρχουν εἰς τὸν Θεόν. Διότι ὁ ἔπαινος τῶν ἀνθρώπων, ὁποιος καὶ ἂν εἶναι, ἀμέσως ἐμφανίζεται καὶ ἐξαφανίζεται. Καὶ ἂν δὲν ἐξαφανίζεται, τὸ κέρδος ποὺ μᾶς παρέχει εἶναι μηδαμινὸν καὶ πολλὰς φορὰς προέρχεται ἀπὸ διεφθαρμένην κρίσιν. Διότι, τί ἀξιοθαύμαστον ἔχει ἡ δόξα, ποὺ προέρχεται ἀπὸ τοὺς ἀνθρώπους, τὴν ὁποίαν ἀπολαύουν οἱ νέοι χορεύοντες, αἱ διεφθαρμέναι γυναῖκες, οἱ πλεονέκται καὶ οἱ ἅρπαγες; Ἐκεῖνος δὲ ποὺ ἐπαινεῖται ἀπὸ τὸν Θεόν, δὲν ἐπαινεῖται ἀπὸ αὐτούς, ἀλλὰ ἀπὸ τοὺς ἁγίους ἐκείνους καὶ ἐννοῶ τοὺς Προφήτας καὶ τοὺς Ἀποστόλους οἱ ὁποῖοι ἔζησαν ἀγγελικὴν ζωήν.

Ἐὰν δέ, τὸ νὰ ἐπιθυμοῦμεν νὰ μᾶς περικυκλώνῃ καὶ τὸ νὰ μᾶς θαυμάζῃ ὁ ὄχλος, ἐξετάσωμεν αὐτὸ εἰς τὴν οὐσίαν του, θὰ εὕρωμεν ὅτι δὲν ἀξίζει καθόλου. Ἂν δὲ γε-

μεν ὄν. Ὅλως δέ, εἰ καὶ ὄχλον ἐρᾷς, ἐφέλκου τὸν δῆμον τῶν ἀγγέλων καὶ γίνου φοβερὸς δαίμοσι καὶ τῶν ἀνθρωπίνων οὐδένα ποιήσῃ λόγον· ἀλλὰ πάντα οὕτω καταπατήσεις τὰ λαμπρά, ὡς βόρβορον καὶ πηλόν· καὶ ὄψει τότε σαφῶς, ὅτι οὐδὲν οὕτω παρασκευάζει ψυχὴν ἀσχημονεῖν, ὡς τὸ δόξης ἐρᾶν. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ταύτης ἐρῶντα μὴ ζῆσαι βίον ἐσταυρωμένον· ὥσπερ οὖν οὐκ ἔστι πατήσαντα ταύτην μὴ τὰ πλείονα τῶν παθῶν καταπατῆσαι. Ὁ γὰρ ταύτης περιγενόμενος, καὶ φθόνου καὶ φιλοχρηματίας καὶ πάντων περιέσται τῶν χαλεπῶν νοσημάτων.

Καὶ πῶς αὐτῆς περιεσόμεθα, φησίν; Ἂν πρὸς τὴν ἄλλην ἴδωμεν δόξαν τὴν ἐκ τῶν οὐρανῶν, ἧς ἐκβάλλειν ἡμᾶς αὕτη βιάζεται. Ἐκείνη γὰρ καὶ ἐνταῦθα ποιεῖ λαμπροὺς καὶ μεθ' ἡμῶν πρὸς τὴν μέλλουσαν συναποδημεῖ ζωὴν καὶ πάσης ἡμᾶς ἐλευθεροῖ δουλείας σαρκικῆς, ᾗ μετὰ πολλῆς ἀθλιότητος δουλεύομεν νῦν, ὅλους ἑαυτοὺς τῇ γῇ καὶ τοῖς ταύτης ἐκδόντες πράγμασι. Κἂν εἰς ἀγορὰν ἐμβάλῃς κἂν εἰς οἰκίαν εἰσέλθῃς κἂν εἰς τὰς ὁδοὺς κἂν εἰς τοὺς σταθμοὺς κἂν εἰς τὰ καταγώγια κἂν εἰς τὰ πανδοχεῖα κἂν εἰς πλοῖον κἂν εἰς νῆσον κἂν εἰς τὰ βασίλεια κἂν εἰς τὰ δικαστήρια κἂν εἰς βουλευτήρια, πανταχοῦ τῶν παρόντων καὶ τῶν βιωτικῶν πραγμάτων ὄψει τὴν φροντίδα, καὶ ἕκαστον ὑπὲρ τούτων κοπτόμενον, τούς τε ἀπόντας, τούς τε ἐπιόντας, τοὺς ἀποδημοῦντας, τούς τε μένοντας, τοὺς πλέοντας, τοὺς γεωργοῦντας, τοὺς ἐν τοῖς ἀγροῖς, τοὺς ἐν τοῖς πόλεσι, πάντας ἁπλῶς.

Τίς οὖν ἡμῖν ἐλπὶς σωτηρίας ἔσται, ὅταν τὴν γῆν οἰκοῦντες τοῦ Θεοῦ, μὴ τὰ τοῦ Θεοῦ φρονοῦμεν, ἀλλὰ κελευσθέντες εἶναι ξένοι τῶν ἐνταῦθα, ξένοι τῶν οὐρανῶν ὦμεν,

νικὰ ἐπιθυμῆς τὸν ὄχλον, νὰ προσελκύσῃς τὸ πλῆθος τῶν ἀγγέλων καὶ νὰ γίνῃς φοβερὸς εἰς τοὺς δαίμονας καὶ νὰ μὴ ὁμιλῇς καθόλου διὰ τὰ ἀνθρώπινα, ἀλλὰ ὅλα ὅσα φαίνονται λαμπρά, νὰ τὰ καταπατήσῃς σὰν νὰ εἶναι βόρβορος καὶ πηλός. Καὶ τότε θὰ ἴδῃς καθαρά, ὅτι τίποτε δὲν ἑτοιμάζει τὴν ψυχὴν ν' ἀσχημονῇ τόσον, ὅσον ἡ ἐπιθυμία τῆς δόξης. Διότι δὲν εἶναι δυνατόν, ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν δόξαν νὰ μὴ ζήσῃ ζωὴν γεμάτην ἀπὸ βάσανα, ὅπως δὲν εἶναι δυνατόν, ἐκεῖνος ποὺ τὴν περιεφρόνησε, νὰ μὴ περιφρονήσῃ καὶ τὰ περισσότερα ἀπὸ τὰ πάθη. Διότι ἐκεῖνος ποὺ ξεπερνᾷ τὴν κενοδοξίαν, θὰ εἶναι ἀνώτερος καὶ ἀπὸ τὸν φθόνον καὶ ἀπὸ τὴν φιλοχρηματίαν καὶ ἀπὸ ὅλα τὰ βαρύτατα νοσήματα.

Καὶ θὰ ἐρωτήσῃς· πῶς θὰ τὴν ξεπεράσωμεν; Ἂν ἀποβλέψωμεν πρὸς τὴν ἄλλην δόξαν, δηλαδὴ τὴν ἐπουράνιον, ἀπὸ τὴν ὁποίαν ἡ ἐπίγειος προσπαθεῖ νὰ μᾶς ἐκδιώξῃ. Διότι ἐκείνη ἡ δόξα καὶ τὴν ἐδῶ ζωήν μας λαμπρύνει καὶ μᾶς ἀκολουθεῖ εἰς τὴν μέλλουσαν ζωὴν καὶ μᾶς ἐλευθερώνει ἀπὸ κάθε δουλείαν τῆς σαρκός, εἰς τὴν ὁποίαν δουλεύομεν τώρα ἀθλίως, παραδώσαντες τοὺς ἑαυτούς μας εἰς τὴν γῆν καὶ εἰς τὰ ἐπίγεια πράγματα. Εἴτε μεταβῇς εἰς τὴν ἀγοράν, εἴτε εἰσέλθῃς εἰς οἰκίαν, εἴτε εὑρεθῇς εἰς τὰς ὁδούς, εἴτε εἰς τοὺς σταθμούς, εἴτε εἰς τὰ καταγώγια, εἴτε εἰς τὰ πανδοχεῖα, εἴτε εἰς πλοῖον, εἴτε εἰς νῆσον, εἴτε εἰς τὰ ἀνάκτορα, εἴτε εἰς τὰ δικαστήρια, εἴτε εἰς τὰ βουλευτήρια, παντοῦ θὰ ἴδῃς τὴν φροντίδα διὰ τὰ παρόντα καὶ τὰ βιωτικὰ πράγματα καὶ τὸν καθέναν νὰ κοπιάζῃ δι' αὐτὰ καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας, τοὺς ἀποδημοῦντας καὶ τοὺς μένοντας, τοὺς ταξιδεύοντας, τοὺς γεωργούς, τοὺς ἀγρότας, τοὺς κατοίκους τῶν πόλεων καὶ γενικὰ ὅλους.

Ποία σωτηρία λοιπὸν θὰ εἶναι δι' ἡμᾶς, ὅταν, ἐνῷ κατοικοῦμεν τὴν γῆν τοῦ Θεοῦ, δὲν σκεπτώμεθα τὸν Θεόν, ἀλλ' ἐνῷ ἔχομεν διαταχθῆ νὰ εἴμεθα ξένοι πρὸς τὰ ἐπίγεια, εἴμεθα ξένοι πρὸς τοὺς οὐρανοὺς καὶ πολῖται τοῦ

καὶ τῶν ἐνταῦθα πολῖται; Τί ταύτης τῆς ἀναισθησίας χεῖρον γένοιτ' ἄν, ὅταν καθ' ἑκάστην ἡμέραν τὰ τῆς κρίσεως, τὰ τῆς βασιλείας ἀκούοντες, τοὺς ἐπὶ τοῦ Νῶε μιμώμεθα καὶ τοὺς ἐν Σοδόμοις, τῇ πείρᾳ τῶν πραγμάτων μένοντες πάντα μαθεῖν; Καίτοι γε διὰ τοῦτο πάντα ἐκεῖνα γέγραπται, ἵνα εἴ τις τοῖς μέλλουσιν ἀπιστεῖ, ἀπὸ τῶν ἤδη γεγενημένων σαφῆ λάβῃ καὶ περὶ τῶν μελλόντων τὴν ἀπόδειξιν.

Ταῦτα οὖν ἐννοοῦντες, καὶ τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα μικρὸν γοῦν ἀναπνεύσωμεν τῆς χαλεπῆς ταύτης δουλείας, καί τινα καὶ τῆς ψυχῆς ποιησώμεθα λόγον, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κόσμου; Τί χειρότερον ἠμπορεῖ νὰ ὑπάρξῃ ἀπὸ αὐτὴν τὴν ἀνοησίαν, ὅταν, ἂν καὶ ἀκούομεν κάθε ἡμέραν περὶ τῆς κρίσεως καὶ τῆς βασιλείας τῶν οὐρανῶν, μιμούμεθα αὐτοὺς ποὺ ἔζησαν εἰς τὰς ἡμέρας τοῦ Νῶε καὶ τοὺς κατοίκους τῶν Σοδόμων, περιμένοντες νὰ τὰ μάθωμεν ὅλα ἀπὸ τὴν πεῖραν τῶν πραγμάτων; Καὶ ὅμως δι' αὐτὸ ἔχουν γραφῆ ὅλα ἐκεῖνα, ὥστε, ἂν κανεὶς ἀπιστῇ διὰ τὰ μέλλοντα, νὰ λάβῃ σαφῆ ἀπόδειξιν ἀπὸ ὅσα ἔχουν ἤδη γίνει καὶ περὶ τῶν μελλόντων.

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν αὐτὰ καθὼς καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα, ἂς ἀναπνεύσωμεν ὀλίγον ἀπὸ τὴν βαρεῖαν αὐτὴν δουλείαν καὶ ἂς ὁμιλήσωμεν ὀλίγον περὶ τῆς ψυχῆς διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΘ΄.

Ἰω. 5,22 - 30

«Ὁ Πατήρ μου οὐ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα».

1. Πολλῆς ἡμῖν δεῖ τῆς σπουδῆς ἐν ἅπασιν, ἀγαπητοί. Καὶ γὰρ λόγον δώσομεν καὶ εὐθύνας ὑφέξομεν ἀκριβεῖς, καὶ ῥημάτων καὶ πραγμάτων. Οὐ γὰρ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἕστηκεν, ἀλλὰ καὶ ἑτέρα τις ἡμᾶς ἐντεῦθεν ἐκδέξεται ζωῆς κατάστασις καὶ δικαστηρίῳ παραστησόμεθα φοβερῷ. «Δεῖ γὰρ ἡμᾶς παραστῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ», φησὶ Παῦλος, «ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν». Τοῦτο τοίνυν τὸ δικαστήριον ἐννοῶμεν ἀεὶ καὶ οὕτω διὰ παντὸς τοῦ χρόνου δυνησόμεθα εἶναι ἐν ἀρετῇ. Ὥσπερ γὰρ ὁ τῆς ψυχῆς ἐκβαλὼν τὴν ἡμέραν ἐκείνην, καθάπερ ἵππος τὸν χαλινὸν ἀπορρήξας, εἰς κρημνοὺς φέρεται. («Βεβηλοῦνται», γάρ, φησίν, «αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ»· διὸ καὶ τὴν αἰτίαν τιθείς, ἐπήγαγεν· «Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ»)· οὕτως ὁ διαπαντὸς τοῦτον ἔχων τὸν φόβον, σωφρόνως βαδιεῖται.

«Ἀναμιμνήσκου» γάρ, φησί, «τὰ ἔσχατά σου καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσεις». Ὁ γὰρ ἀφεὶς ἡμῖν τὰ ἁμαρτήματα νῦν, οὗτος καθεδεῖται δικάζων τότε· ὁ ἀποθανὼν δι' ἡμᾶς, οὗτος φανεῖται πάλιν κρίνων τὴν φύσιν ἅπασαν. «Ἐκ δευτέρου» γάρ, φησί, «χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἐκδεχομένοις εἰς σωτηρίαν». Διὸ καὶ ἐνταῦθα ἔλεγεν·

---

1. Ἰω. 6, 23.
2. Β΄ Κορ. 5, 10.
3. Ψαλμ. 9, 27.
4. Σοφ. Σειρ. 7, 36

ΟΜΙΛΙΑ ΛΘ΄.

᾿Ιω. 5,22 - 30

«῾Ο Πατήρ μου δὲν κρίνει κανένα, ἀλλ᾿ ὅλην τὴν κρίσιν ἔδωκεν εἰς τὸν Υἱὸν διὰ νὰ τιμοῦν ὅλοι τὸν Υἱόν, καθὼς τιμοῦν τὸν Πατέρα»[1].

1. ῎Εχομεν μεγάλην ἀνάγκην, ἀγαπητοί μου, νὰ φροντίζωμεν δι᾿ ὅλα. Διότι θὰ λογοδοτήσωμεν καὶ θὰ ἀναλάβωμεν μεγάλας εὐθύνας καὶ διὰ τοὺς λόγους μας καὶ διὰ τὰς πράξεις μας. Διότι τὰ πράγματά μας δὲν ἔχουν περιορισθῆ μόνον εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ κάποια ἄλλη κατάστασις ζωῆς θὰ μᾶς ἀποσπάσῃ ἀπὸ ἐδῶ καὶ θὰ σταθῶμεν ἐνώπιον φοβεροῦ δικαστηρίου. Λέγει ὁ Παῦλος· «Διότι ὅλοι ἡμεῖς πρέπει νὰ φανερωθῶμεν ἐνώπιον τοῦ βήματος τοῦ Χριστοῦ, διὰ νὰ λάβῃ ὁ καθένας ὅ,τι τοῦ ἁρμόζει δι᾿ ὅσα ἔκαμε μὲ τὸ σῶμα του, εἴτε καλὸν εἴτε κακόν»[2]. Αὐτὸ ἀκριβῶς τὸ δικαστήριον ἂς σκεπτόμεθα διαρκῶς καὶ ἔτσι θὰ ἠμπορέσωμεν νὰ εἴμεθα ἐνάρετοι πάντοτε. Διότι, ὅπως ἐκεῖνος ποὺ ἀποβάλλει ἀπὸ τὴν ψυχήν του τὴν ἡμέραν ἐκείνην, ὁδηγεῖται εἰς τὸν κρημνόν, σὰν τὸν ἵππον ποὺ ἔχει σπάσει τὸ χαλινάρι του (διότι, λέγει ὁ Δαυΐδ, «Οἱ δρόμοι του ρυπαίνονται ὅλον τὸν καιρὸν» καὶ τοῦτο διότι «αἱ κρίσεις σου δὲν εἶναι πλέον παροῦσαι ἐνώπιον τοῦ προσώπου του»[3]), ἔτσι θὰ βαδίζῃ σωφρόνως ἐκεῖνος ποὺ ἔχει συνεχῶς αὐτὸν τὸν φόβον.

«᾿Ενθυμήσου», λέγει, «τὰ τελευταῖα σου ἁμαρτήματα καὶ δὲν θὰ ἁμαρτήσῃς αἰωνίως»[4]. Διότι αὐτὸς ποὺ συγχωρεῖ τώρα τὰς ἁμαρτίας μας, ὁ ἴδιος θὰ κάθεται τότε διὰ νὰ μᾶς δικάσῃ. ᾿Εκεῖνος ποὺ ἀπέθανε χάριν ἡμῶν, ἐκεῖνος θὰ ἐμφανισθῇ πάλιν διὰ νὰ κρίνῃ ὅλην τὴν φύσιν. Διότι, διὰ δευτέραν φορὰν θὰ ἐμφανισθῇ λέγει ὁ ᾿Απόστολος «θὰ ἐμφανισθῇ ὄχι διὰ ζήτημα ἁμαρτίας εἰς ἐκείνους ποὺ τὸν ἀναμένουν διὰ τὴν σωτηρίαν τους»[5]. Δι᾿ αὐτὸ εἶπεν ἐδῶ ὁ

5. ῾Εβρ. 9, 28.

«Ὁ Πατὴρ μου οὐ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα».

Οὐκοῦν καὶ Πατέρα αὐτὸν προσεροῦμεν, φησίν; Ἄπαγε. Διὰ γὰρ τοῦτο εἶπε, «Τὸν Υἱόν», ἵνα μένοντα Υἱὸν τιμῶμεν ὡς τὸν Πατέρα. Ὁ δὲ Πατέρα αὐτὸν λέγων οὐκ ἔτι τὸν Υἱὸν ὡς Πατέρα ἐτίμησεν, ἀλλὰ τὸ πᾶν συνέχεεν. Ἐπεὶ τοίνυν εὐεργετούμενοι οἱ ἄνθρωποι, οὐχ οὕτω προσάγονται ὡς τιμωρούμενοι, διὰ τοῦτο οὕτως εἶπε φοβερῶς, ἵνα κἂν ὁ φόβος εἰς τιμὴν ἑαυτοῦ ἐπισπάσηται. «Πᾶσαν» δὲ ὅταν εἴπῃ, τοῦτο λέγει, ὅτι καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριός ἐστι καὶ ἑκάτερα ποιεῖν ὡς ἂν ἐθέλῃ. Τὸ δέ, «Ἔδωκεν», εἴρηται, ἵνα μὴ ἀγέννητον αὐτὸν ὑποπτεύσῃς, μηδὲ δύο Πατέρας εἶναι νομίσῃς. Πάντα γὰρ ὅσα ἐστὶν ὁ Πατήρ, ταῦτά ἐστι καὶ ὁ Υἱός, γεννηθεὶς καὶ μένων ἐν τῷ εἶναι Υἱός. Καὶ ἵνα μάθῃς ὅτι τό, «Ἔδωκεν», ἴσον τῷ ἐγέννησεν, ἐστίν, ἄκουσον ἐξ ἑτέρου τοῦτο αὐτὸ δηλούμενον. «Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ», φησίν, «οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ».

Τί οὖν; πρότερον αὐτὸν ἐγέννησε καὶ τότε ἔδωκε τὴν ζωήν; Ὁ γὰρ διδούς, ὄντι τινὶ δίδωσιν. Οὐκοῦν ἦν τῆς ζωῆς χωρὶς γεννηθείς; Ἀλλὰ τοῦτο οὐδ' ἂν δαίμονες ὑποπτεύσαιεν· μετὰ γὰρ τῆς ἀσεβείας πολὺ καὶ τὸ ἀνόητον ἔχει. Ὥσπερ οὖν τό «Ἔδωκε ζωήν», ἐγέννησεν αὐτὸν ζωήν ἐστιν, οὕτω καὶ τὸ «Ἔδωκε κρίσιν», κριτὴν αὐτόν ἐστιν ἐγέννησεν. Ἵνα γὰρ μή, ἀκούων ὅτι αἴτιον ἔχει τὸν Πατέρα, παραλλαγὴν οὐσίας νομίσῃς, καὶ τιμῆς ἐλάττωσιν, αὐτὸς ἔρχεταί σε κρίνων, τὴν ἰσότητα καὶ ἐντεῦθεν δεικνύς. Ὁ γὰρ

Χριστός· «Ὁ Πατὴρ μου δὲν κρίνει κανένα, ἀλλ' ὅλην τὴν κρίσιν ἔδωκεν εἰς τὸν Υἱόν, διὰ νὰ τιμοῦν ὅλοι τὸν Υἱόν, καθὼς τιμοῦν τὸν Πατέρα».

Λοιπόν, θὰ ἐρωτήσῃς, θὰ τὸν ὀνομάσωμεν καὶ Πατέρα; Καθόλου. Ἄλλωστε διὰ τοῦτο εἶπε, «Τὸν Υἱόν», ἵνα, ἐνῷ θὰ μένῃ Υἱός, τὸν τιμῶμεν ὅπως καὶ τὸν Πατέρα. Ἐκεῖνος δὲ ποὺ λέγει αὐτὸν Πατέρα δὲν τιμᾷ πλέον τὸν Υἱὸν ὅπως καὶ τὸν Πατέρα, ἀλλὰ συγχέει τὸ πᾶν. Ἐπειδὴ λοιπὸν οἱ ἄνθρωποι, ὅταν εὐεργετοῦνται δὲν συμπεριφέρονται ἔτσι, ὅπως ὅταν τιμωροῦνται, διὰ τοῦτο ὁ Χριστὸς ὁμιλεῖ μὲ λόγια τόσον φοβερά, διὰ νὰ προκαλέσῃ ὁ φόβος τὴν τιμὴν ποὺ ὀφείλεται. Καὶ ὅταν λέγῃ, «πᾶσαν», ἐννοεῖ τοῦτο, ὅτι δηλαδὴ ἔχει τὴν ἐξουσίαν καὶ νὰ τιμωρῇ καὶ νὰ τιμᾷ καὶ νὰ κάμνῃ καὶ τὰ δύο, ὅπως θέλει. Τὸ δὲ «Ἔδωκεν» ἔχει λεχθῆ, διὰ νὰ μὴ σοῦ περάσῃ ἀπὸ τὸν νοῦν ὅτι αὐτὸς εἶναι ἀγέννητος, οὔτε νὰ νομίσῃς, ὅτι ὑπάρχουν δύο Πατέρες. Διότι, ὅ,τι εἶναι ὁ Πατήρ, εἶναι καὶ ὁ Υἱός, ὁ ὁποῖος ἐγεννήθη καὶ παμένει Υἱός. Καὶ διὰ νὰ ἀντιληφθῇς ὅτι τὸ «ἔδωκεν» εἶναι ἴσον μὲ τὸ ἐγέννησεν, ἄκουσε πῶς τὸ καθιστᾷ φανερὸν μὲ ἄλλα λόγια. Διότι λέγει· «Ὅπως ὁ Πατὴρ ἔχει μέσα του ζωήν, ἔτσι ἔδωκε καὶ εἰς τὸν Υἱὸν νὰ ἔχῃ μέσα του ζωήν».

Τί συμβαίνει, λοιπόν; Πρῶτα τὸν ἐγέννησε καὶ μετὰ τοῦ ἔδωσε ζωήν; Διότι ἐκεῖνος ποὺ δίδει, δίδει εἰς κάποιον ποὺ ὑπάρχει. Ἐγεννήθη λοιπὸν χωρὶς ζωήν; Ἀλλ' αὐτὸ δὲν θὰ ἠμποροῦσαν νὰ τὸ σκεφθοῦν οὔτε οἱ δαίμονες. Διότι μαζὶ μὲ τὴν μεγάλην ἀσέβειαν περιέχει καὶ ἀνοησίαν. Ὅπως λοιπὸν τὸ «Ἔδωκε ζωὴν» σημαίνει ὅτι ἐγέννησεν αὐτὸν μὲ ζωήν, ἔτσι καὶ τό, «Ἔδωκε κρίσιν», σημαίνει ὅτι ἐγέννησεν αὐτὸν κριτήν. Διότι, διὰ νὰ μὴ νομίσῃς, ὅταν ἀκούῃς ὅτι αὐτὸς ἀποδίδει τὴν αἰτίαν εἰς τὸν Πατέρα, ὅτι ὑπάρχει διαφορετικὴ οὐσία καὶ μικροτέρα τιμή, αὐτὸς ὁ ἴδιος ἔρχεται νὰ σὲ κρίνῃ, ἀποδεικνύων καὶ μὲ αὐτὸ τὴν ἰσότητα. Διότι ἐκεῖνος ποὺ ἔχει ἐξουσίαν νὰ τιμωρῇ καὶ νὰ

ἔχων ἐξουσίαν κολάζειν καὶ τιμᾶν οὓς βούλεται, τὰ αὐτὰ δύναται τῷ Πατρί. Ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλ' ὕστερον γεννηθεὶς ἔλαβε τὴν τιμήν, τί γέγονεν ὥστε αὐτὸν ὕστερον τιμηθῆναι; ἐκ ποίας ἐπὶ τοῦτο ἦλθε προκοπῆς ὥστε τὴν ἀξίαν ταύτην λαβεῖν καὶ χειροτονηθῆναι; Οὐκ αἰσχύνεσθε τὰ ἀνθρώπινα ταῦτα καὶ εὐτελῆ νοήματα τῇ ἀκηράτῳ φύσει καὶ οὐδὲν ἐπείσακτον ἐχούσῃ ἀναισχύντως οὕτως ἐπεισάγοντες;

Τίνος οὖν ἕνεκεν οὕτω φθέγγεται, φησίν; Ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ τοῖς ὑψηλοῖς προοδοποιῆσαι ῥήμασι. Διὰ τοῦτο ἀναμίγνυσι ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις. Καὶ ὅρα πῶς· καλὸν γὰρ ἐξ ἀρχῆς ταῦτα ἰδεῖν. Εἶπεν, «Ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι», δεικνὺς ἐκ τούτου τὸ ἴσον καὶ τὸ ὁμότιμον· «Καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι». Τί λοιπὸν ποιεῖ; Τῇ λέξει μὲν καθυφίησι, τὰ νοήματα δὲ τὰ αὐτὰ τίθησιν, οὕτω λέγων· «Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν». Εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ ἀνάγει τὸν λόγον· «Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ», λέγων. Εἶτα πάλιν ἐπὶ τὸ ταπεινότερον· «Ὁ γὰρ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων δείξει αὐτῷ». Εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καὶ μετὰ τοῦτο πάλιν ἐπὶ τὸ ταπεινὸν ὁμοῦ καὶ ὑψηλόν· «Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν ἔδωκε τῷ Υἱῷ». Εἶτα ἐπὶ τὸ ὑψηλότερον· «Ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα».

Εἶδες πῶς τὸν λόγον ποικίλλει, δι' ὑψηλῶν τε καὶ ταπεινῶν αὐτὸν ὑφαίνων ὀνομάτων τε καὶ ῥημάτων, ὥστε καὶ τοῖς τότε γενέσθαι εὐπαράδεκτον καὶ τοὺς μετὰ ταῦτα μη-

Ἀλλ' αὐτὸ τὸ εἶχεν εἰπεῖ πάρα πάνω, τὸ ὑπῃνίχθη ὅμως καὶ ἐδῶ, ὅταν εἶπε, «Διὰ νὰ ἔχετε ζωὴν σεῖς». Παρουσιάζει ὅμως καὶ ἄλλην αἰτίαν. Ποίαν; «Ἀλλὰ γνωρίζω ὅτι δὲν ἔχετε μέσα σας τὴν ἀγάπην διὰ τὸν Θεόν». Ἐπειδὴ πολλὰς φορὰς τὸν κατεδίωκον, διότι δῆθεν ἠγάπων τὸν Θεόν, διότι ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν, ἐγνώριζεν ὅτι δὲν θὰ ἐπίστευαν εἰς αὐτόν. Διὰ νὰ μὴ τὸν ἐρωτήσῃ κανείς, Διὰ ποίαν αἰτίαν τὰ λέγεις αὐτά; ἀπήντησε· Διὰ νὰ σᾶς ἐλέγξω, ὅτι δὲν μὲ καταδιώκετε διὰ τὴν ἀγάπην πρὸς

τε. Καὶ γὰρ καὶ αὐτὸς μαρτυρεῖ μοι καὶ διὰ τῶν ἔργων καὶ διὰ τῶν Γραφῶν. Ὥσπερ οὖν πρὸ τούτου νομίζοντες ἀντίθεον εἶναί με ἠλαύνετε· οὕτω νῦν ἐξ οὗ ταῦτα ἀπέδειξα προσδραμεῖν ὑμᾶς ἔδει, εἴ γε ἠγαπᾶτε τὸν Θεόν· ἀλλ' οὐκ ἠγαπᾶτε.

Διὰ δὴ τοῦτο καὶ ταῦτα εἶπον, ἵνα δείξω ὑμᾶς περιττὸν ἔχοντας τῦφον καὶ κομπάζοντας εἰκῇ, καὶ τὴν οἰκείαν βασκανίαν συσκιάζοντας. Οὐκ ἀπὸ τούτων δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων αὐτὰ κατασκευάζει. «Ἐγὼ γὰρ ἦλθον», φησίν, «ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε». Ὁρᾷς ὅτι ἄνω καὶ κάτω διὰ τοῦτο λέγει ἀπεστάλθαι, καὶ παρὰ τοῦ Πατρὸς εἰληφέναι τὴν κρίσιν, καὶ οὐδὲν δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν ἀγνωμοσύνης; Τίνα δέ φησιν ἥξειν ἐν τῷ ὀνόματι τῷ ἰδίῳ; Τὸν ἀντίχριστον ἐνταῦθα αἰνίττεται, καὶ ἀναντίρρητον τῆς ἀγνωμοσύνης αὐτῶν τίθησιν ἀπόδειξιν. Εἰ γὰρ ὡς ἀγαπῶντες τὸν Θεόν με διώκετε, πολλῷ μᾶλλον ἐπὶ τοῦ ἀντιχρίστου τοῦτο γενέσθαι ἔδει. Ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον ἐρεῖ, οὔτε ἀπεστάλθαι παρὰ τοῦ Πατρός, οὔτε κατὰ τὴν γνώμην ἥκει τὴν ἐκείνου· ἀλλὰ τοὐναντίον ἅπαν, τυραννικῶς τὰ μηδὲν αὐτῷ προσήκοντα ἁρπάζων καὶ τὸν ἐπὶ πάντων Θεὸν ἑαυτὸν εἶναι λέγων, καθὼς καὶ Παῦλός φησιν· «Ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ἀποδεικνύντα ἑαυτὸν ὅτι αὐτός ἐστιν ὁ Θεός». Τοῦτο γάρ ἐστιν ἐν τῷ ὀνόματι τῷ ἰδίῳ ἐλθεῖν.

Ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ' ἐν τῷ ὀνόματι τοῦ Πατρός μου παραγέγονα. Ἱκανὸν μὲν οὖν ἦν καὶ τοῦτο δεῖξαι αὐτοὺς οὐκ ἀγαπῶντας τὸν Θεόν, ὅτι τὸν λέγοντα ἀπεστάλθαι

2. Β' Θεσσ. 2, 4.

τὸν Θεόν. Διότι ὁ Θεὸς σᾶς δίδει μαρτυρίαν δι' ἐμὲ καὶ μὲ τὰ ἔργα καὶ μὲ τὰς ἁγίας Γραφάς. Ὅπως λοιπὸν πρὶν ἀπὸ αὐτὰ μὲ κατεδιώκατε, ἐπειδὴ ἐνομίζατε ὅτι εἶμαι ἐχθρὸς τοῦ Θεοῦ, ἔτσι καὶ τώρα, ἀφοῦ σᾶς ἔδωσα ἀποδείξεις, ἔπρεπε σεῖς νὰ τρέξετε πρὸς ἐμέ, ἂν βέβαια ἀγαπούσατε τὸν Θεόν.

Δι' αὐτὸ λοιπὸν σᾶς εἶπα αὐτά, διὰ νὰ σᾶς ἀποδείξω ὅτι ἔχετε ὑπερβολικὴν ἀλαζονείαν, ὅτι ματαίως ὑπερηφανεύεσθε καὶ ὅτι προσπαθεῖτε νὰ κρύψετε τὸν φθόνον σας. Καὶ δὲν προετοιμάζει αὐτὰ μόνον ἀπὸ τὰ παρόντα ἀλλὰ καὶ ἀπὸ τὰ μέλλοντα. Διότι λέγει· «Ἐγὼ ἔχω ἔλθει ἐξ ὀνόματος τοῦ Πατρός μου καὶ δὲν μὲ δέχεσθε, ἐὰν ἔλθῃ ἄλλος ἐξ ὀνόματος τοῦ ἑαυτοῦ του, ἐκεῖνον θὰ τὸν δεχθῆτε». Βλέπεις λοιπὸν ὅτι ὁ Χριστὸς λέγει παντοῦ, ὅτι ἔχει ἀποσταλῆ δι' αὐτὴν τὴν αἰτίαν, ὅτι ἔχει λάβει τὴν κρίσιν ἀπὸ τὸν Πατέρα καὶ ὅτι δὲν ἠμπορεῖ νὰ κάμῃ τίποτε ἀπὸ τὸν ἑαυτόν του, διὰ ν' ἀποκόψῃ κάθε δικαιολογίαν ἀσεβείας τῶν Ἰουδαίων; Ποῖον ἐννοεῖ δὲ ὅτι θὰ ἔλθῃ ἐξ ὀνόματος τοῦ ἑαυτοῦ του; Ἐδῶ ὑπαινίσσεται τὸν Ἀντίχριστον καὶ παρουσιάζει ἀναμφισβήτητον ἀπόδειξιν τῆς ἀσεβείας των. Διότι, ἐὰν μὲ καταδιώκετε, ἐπειδὴ δῆθεν ἀγαπᾶτε τὸν Θεόν, αὐτὸ ἔπρεπε νὰ γίνῃ πολὺ περισσότερον διὰ τὸν Ἀντίχριστον. Διότι ἐκεῖνος οὔτε τοῦτο θὰ σᾶς εἰπῇ, οὔτε ὅτι ἔχει ἀποσταλῆ ἀπὸ τὸν Πατέρα, οὔτε ὅτι ἔχει ἔλθει σύμφωνα μὲ τὴν θέλησιν ἐκείνου, ἀλλ' ὅλως ἀντιθέτως, ἁρπάζων τυραννικῶς ὅσα δὲν τοῦ ἁρμόζουν καὶ ἰσχυριζόμενος ὅτι εἶναι θεὸς ὅλων, καθὼς λέγει καὶ ὁ Παῦλος· «Ἐναντίον παντὸς ποὺ λέγεται Θεὸς ἢ λατρεύεται προβάλλων τὴν ἀξίωσιν ὅτι αὐτὸς εἶναι ὁ Θεός»[2]. Διότι αὐτὸ σημαίνει, ὅτι θὰ ἔλθῃ ἐξ ὀνόματος τοῦ ἑαυτοῦ του.

Ἐγὼ ὅμως δὲν ἔχω ἔλθει μὲ αὐτὸν τὸν τρόπον ἀλλ' ἐν ὀνόματι τοῦ Πατρός μου. Καὶ ἦτο μὲν ἀρκετὸν τοῦτο, διὰ ν' ἀποδείξῃ ὅτι αὐτοὶ δὲν ἀγαποῦσαν τὸν Θεόν, διότι δὲν ἐδέχοντο ἐκεῖνον ποὺ τοὺς ἐβεβαίωνεν ὅτι εἶχεν ἀπο-

παρ' ἐκείνου οὐκ ἐδέχοντο· νῦν δὲ καὶ ἐκ τοῦ ἐναντίου δεικνυσιν αὐτῶν τὴν ἀναισχυντίαν, ἐκ τοῦ τὸν ἀντίχριστον μέλλειν δέχεσθαι. Ὅταν γὰρ τὸν μὲν ἀπ' ἐκείνου λέγοντα ἀπεστάλθαι μὴ δέχωνται, τὸν δὲ μὴ εἰδότα ἐκεῖνον, κομπάζοντα δὲ καὶ λέγοντα ἑαυτὸν εἶναι τὸν ἐπὶ πάντων Θεὸν μέλλωσι προσκυνεῖν, εὔδηλον ὅτι βασκανίας ἡ δίωξις ἦν, καὶ τοῦ μισεῖν τὸν Θεόν. Διὰ δὴ τοῦτο δύο τίθησιν αἰτίας τῶν εἰρημένων, καὶ πρῶτον μὲν τὴν χρηστοτέραν, λέγων, «Ἵνα σωθῆτε», καί, «Ἵνα ζωὴν ἔχητε»· ἐπειδὴ δὲ ἔμελλον αὐτὸν χλευάζειν, τίθησι καὶ τὴν πληκτικωτέραν, δεικνὺς ὅτι κἂν μὴ πείθωνται οἱ ἀκούοντες, τὰ αὐτοῦ ὁ Θεὸς πανταχοῦ ποιεῖν εἴωθεν.

2. Ὁ μὲν οὖν Παῦλος περὶ τοῦ ἀντιχρίστου διαλεγόμενος, προφητικῶς εἶπεν, ὅτι· «Πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκιμήσαντες τῇ ἀδικίᾳ». Ὁ δὲ Χριστὸς οὐκ εἶπεν ὅτι ἥξει· ἀλλ' «Ἐὰν ἔλθῃ», φειδόμενος τῶν ἀκουόντων. Ἐπειδὴ δὲ οὔπω πᾶσα ἀπηρτισμένη ἦν αὐτῶν ἡ ἀγνωμοσύνη, διὰ τοῦτο αὐτὸς μὲν τὴν αἰτίαν ἐσίγησεν αὐτοῦ τῆς παρουσίας, ὁ δὲ Παῦλος τοῖς δυναμένοις συνιδεῖν μετὰ ἀκριβείας ᾐνίξατο. Καὶ γὰρ ἐκεῖνός ἐστιν ὁ πᾶσαν ἀπολογίαν αὐτοῖς ἀφαιρούμενος. Εἶτα καὶ τὴν αἰτίαν τῆς ἀπιστίας αὐτῶν τίθησιν, ἐπάγων· «Πῶς δύνασθε πιστεύειν, δόξαν τὴν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;»· καὶ ἐντεῦθεν δεικνὺς πάλιν ὅτι οὐ τὰ τοῦ Θεοῦ ἐσκόπουν, ἀλλ' ἐν προσχήματι τοιούτῳ τὸ οἰκεῖον ἐβούλοντο πάθος ἐκδικεῖν.

Καὶ γὰρ τοσοῦτον ἀπεῖχον διὰ τὴν αὐτοῦ δόξαν ποιεῖν ταῦτα, ὅτι αὐτοὶ τὴν ἀνθρωπίνην ᾑροῦντο μᾶλλον ἢ τὴν

---

3. Αὐτόθι, 2, 10-11.

σταλῆ ἐκ μέρους του. Τώρα ὅμως φανερώνουν καὶ τὴν ἀδιαντροπίαν των ἀπὸ τὸ ὅτι μέλλουν νὰ δεχθοῦν τὸν Ἀντίχριστον. Διότι, ὅταν ἐκεῖνον μὲν ποὺ ἐβεβαίωνεν ὅτι εἶχεν ἀποσταλῆ ἀπὸ τὸν Θεὸν δὲν τὸν δέχωνται, τὸν δὲ ἄλλον, ποὺ δὲν ἐγνώριζε τὸν Θεόν, ἀλλ' ὑπερηφανεύετο καὶ ἰσχυρίζετο διὰ τὸν ἑαυτόν του ὅτι εἶναι θεὸς τῶν πάντων, πρόκειται νὰ προσκυνοῦν, εἶναι ὁλοφάνερον ὅτι ἡ καταδίωξις εἶχεν αἰτίαν τὸν φθόνον καὶ τὸ μῖσος ἐναντίον τοῦ Θεοῦ. Διὰ τοῦτο λοιπὸν προβάλλει δύο αἰτίας διὰ τὰ ὅσα λέγει καὶ κατ' ἀρχὴν μὲν τὴν πλέον ἐπωφελῆ, λέγων, «Διὰ νὰ σωθῆτε», καί, «Διὰ νὰ ἔχετε ζωήν». Ἐπειδὴ ὅμως ἐπρόκειτο νὰ τὸν χλευάζουν, ἀναφέρει καὶ τὴν πλέον δελεαστικήν, δεικνύων ἔτσι ὅτι ὁ Θεὸς συνηθίζει νὰ παρέχῃ τὰς εὐεργεσίας του παντοῦ καὶ ἂν ἀκόμη δὲν πιστεύουν αὐτοὶ ποὺ ἀκούουν τοὺς λόγους του.

2. Ὁ Παῦλος λοιπὸν ὁμιλῶν περὶ τοῦ Ἀντιχρίστου εἶπε προφητικῶς· «Διὰ τοῦτο ὁ Θεὸς θὰ στείλῃ εἰς αὐτοὺς μίαν ἐνέργειαν παραπλανητικήν, διὰ νὰ κατακριθοῦν ὅλοι, ὅσοι δὲν ἐπίστευσαν εἰς τὴν ἀλήθειαν, ἀλλ' ἔδειξαν εὐχαρίστησιν εἰς τὴν ἀδικίαν»[2]. Ὁ Χριστὸς ὅμως δὲν εἶπεν, ὅτι θὰ ἔλθῃ, ἀλλ' «Ἐὰν ἔλθῃ», διότι ἐλυπήθη τοὺς ἀκροατάς του. Καὶ ἐπειδὴ δὲν εἶχε συμπληρωθῆ ἀκόμη ἡ ἀγνωμοσύνη των, αὐτὸς μὲν ἀπεσιώπησε τὴν παρουσίαν τοῦ Ἀντιχρίστου, ὁ Παῦλος ὅμως ὑπηνίχθη αὐτὴν μὲ ἀκρίβειαν δι' ὅσους ἠμποροῦσαν νὰ τὴν ἀντιληφθοῦν. Διότι μόνον ὁ Χριστὸς παρουσιάζει τὴν αἰτίαν τῆς ἀπιστίας των καὶ προσθέτει· «Πῶς ἠμπορεῖτε σεῖς νὰ ἔχετε πίστιν, ἀφοῦ δέχεσθε τιμὰς ὁ ἕνας ἀπὸ τὸν ἄλλον καὶ δὲν ζητᾶτε τὴν τιμήν, ποὺ προέρχεται ἀπὸ τὸν μόνον Θεόν;». Καὶ ἀπὸ ἐδῶ πάλιν ἀπέδειξεν, ὅτι αὐτοὶ δὲν ἀπεσκόπουν εἰς ἐκεῖνα ποὺ προέρχονται ἀπὸ τὸν μόνον Θεὸν ἀλλὰ μὲ αὐτὸ τὸ πρόσχημα ἤθελαν νὰ ἐκπληρώσουν τὸ προσωπικόν των πάθος.

Διότι τόσον μακρὰν εὑρίσκοντο ἀπὸ τὸ νὰ κάμουν αὐτὰ διὰ τὴν δόξαν του, ἀφοῦ ἐπροτίμων μᾶλλον τὴν δόξαν

ἐκείνου. Πῶς οὖν ἔμελλον οὗτοι ὑπὲρ αὐτῆς ἀναδέχεσθαι τοσαύτην ἀπέχθειαν, ἧς οὕτω κατεφρόνουν, ὥστε καὶ ἀνθρωπίνην αὐτῆς προτιμᾶν; Εἰπὼν δὲ ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχουσι, καὶ ἀποδείξας τοῦτο διὰ τούτων ἑκατέρων, διά τε τῶν εἰς αὐτὸν γινομένων καὶ διὰ τῶν εἰς τὸν ἀντίχριστον ἐσομένων, καὶ διελέγξας σαφῶς ὅτι πάσης εἰσὶν ἀπεστερημένοι συγγνώμης, οὕτως αὐτοῖς ἐφίστησι καὶ τὸν Μωϋσέα κατήγορον ἐπάγων, καὶ λέγων· «Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, ἐπιστεύετε ἐν ἐμοί· περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύετε;».

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Πρὸ ἐμοῦ ἐκεῖνός ἐστιν ὁ ὑβρισμένος ἐν τοῖς εἰς ἐμέ. Μωϋσεῖ γὰρ μᾶλλον ἠπιστήσατε ἢ ἐμοί. Ὅρα πῶς πανταχόθεν πάσης αὐτοὺς ἐξέβαλεν ἀπολογίας. Θεὸν ἐλέγετε ἀγαπᾶν ἐν τῷ διώκειν με, φησίν· ἔδειξα ὅτι μισοῦντες αὐτὸν τοῦτο ποιεῖτε. Λέγετε λύειν με τὸ Σάββατον καὶ παραλύειν τὸν νόμον· ἀπεδυσάμην καὶ ταύτην τὴν κατηγορίαν. Διισχυρίζεσθε Μωϋσεῖ πιστεύειν δι' ὧν κατ' ἐμοῦ τολμᾶτε· δείκνυμι πάλιν ὅτι τοῦτο μὲν οὖν ἐστι μάλιστα μὴ πιστεύειν τῷ Μωϋσεῖ. Τοσούτῳ γὰρ δέω ἐξ ἐναντίας ἥκειν τῷ νόμῳ, ὅτι οὐδὲ ἔστιν ἄλλος τις ὁ κατηγορήσων ὑμῶν, ἀλλ' ἢ αὐτὸς ὁ τὸν νόμον ὑμῖν δεδωκώς. Ὥσπερ οὖν περὶ τῶν Γραφῶν ἔλεγεν· «Ἐν αἷς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν», οὕτω καὶ περὶ Μωϋσέως φησίν, «Εἰς ὃν ὑμεῖς ἠλπίκατε» ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος

τῶν ἀνθρώπων παρὰ τὴν δόξαν τοῦ Θεοῦ. Μὲ ποῖον λοιπὸν τρόπον θὰ ἐδέχοντο οἱ Ἰουδαῖοι τόσον μῖσος ἀντὶ τῆς δόξης τοῦ Θεοῦ, τὴν ὁποίαν περιεφρόνουν τόσον πολύ, ὥστε νὰ προτιμοῦν τὴν ἀνθρωπίνην ἀντὶ τῆς θείας; Ἀφοῦ λοιπὸν ἐτόνισεν, ὅτι δὲν ἔχουν τὴν ἀγάπην πρὸς τὸν Θεὸν καὶ ἀφοῦ ἀπέδειξε τοῦτο μὲ τὰ ἑπόμενα δύο, δηλαδὴ μὲ ὅσα συμβαίνουν τώρα εἰς αὐτὸν καὶ μὲ ὅσα θὰ συμβοῦν εἰς τὸν Ἀντίχριστον καὶ ἀφοῦ τοὺς διεβεβαίωσε καθαρά, ὅτι ἔχουν στερηθῆ ἀπὸ κάθε συγχώρησιν, κατὰ τὸν ἑξῆς τρόπον τοὺς ἤλεγξε καὶ ἔκαμε τὸν Μωϋσῆν κατήγορόν των προσθέσας· «Μὴ φαντασθῆτε ὅτι ἐγὼ θὰ σᾶς κατηγορήσω εἰς τὸν Πατέρα. Ἐκεῖνος ποὺ σᾶς κατηγορεῖ εἶναι ὁ Μωϋσῆς, εἰς τὸν ὁποῖον ἐσεῖς εἴχατε στηρίξει τὰς ἐλπίδας σας. Διότι, ἐὰν ἐέπιστεύατε εἰς τὸν Μωϋσῆν, θὰ ἐπιστεύατε καὶ εἰς ἐμέ. Διότι ἐκεῖνος ἔγραψε περὶ ἐμοῦ. Ἐὰν δὲ δὲν πιστεύετε εἰς ὅσα ἐκεῖνος ἔγραψε, πῶς θὰ πιστεύσετε εἰς τὰ ἰδικά μου λόγια»;

Αὐτὰ ποὺ εἶπεν ὁ Χριστός, σημαίνουν τοῦτο· Πρὶν ἀπὸ ἐμὲ ὑβρίζετε τὸν Μωϋσῆν, μὲ ὅσα κάμνετε ἐναντίον μου. Διότι περισσότερον ἀρνεῖσθε τὴν πίστιν εἰς τὸν Μωϋσῆν παρὰ εἰς ἐμέ. Πρόσεχε πῶς τοὺς ἀπέκλεισεν ἀπὸ παντοῦ ἀπὸ κάθε ἀπολογίαν. Ἐνῷ μὲ καταδιώκετε, ἰσχυρίζεσθε ὅτι ἀγαπᾶτε τὸν Θεόν. Σᾶς ἀπέδειξα ὅτι μισοῦντες αὐτὸν τὸ κάμνετε αὐτό. Ἰσχυρίζεσθε ὅτι καταργῶ τὸ Σάββατον καὶ καταπατῶ τὸν νόμον. Ἀπέκρουσα καὶ αὐτὴν τὴν κατηγορίαν. Ἰσχυρίζεσθε ὅτι πιστεύετε εἰς τὸν Μωϋσῆν μὲ ὅσα τολμᾶτε ἐναντίον μου. Πάλιν σᾶς ἀποδεικνύω ὅτι μὲ αὐτὸν τὸν τρόπον δὲν πιστεύετε καθόλου εἰς τὸν Μωϋσῆν. Ἀντιθέτως τόσον πολὺ ἀπέχω ἀπὸ τὸ νὰ καταπατήσω τὸν νόμον, ὥστε ἐκεῖνος ποὺ θὰ σᾶς κατηγορήσῃ δὲν εἶναι ἄλλος παρὰ ἐκεῖνος ποὺ σᾶς ἔχει δώσει τὸν νόμον. Ὅπως λοιπὸν ἔλεγε περὶ τῶν ἁγίων Γραφῶν «Διὰ τῶν ὁποίων νομίζετε ὅτι θὰ ἔχετε ζωὴν αἰώνιον», ἔτσι λέγει καὶ περὶ τοῦ Μωϋσέως «Εἰς τὸν ὁποῖον σεῖς εἴχατε στηρίξει τὰς ἐλπίδας σας»,

πανταχοῦ.

Καὶ πόθεν δῆλον, φησίν, ὅτι κατηγορήσει Μωϋσῆς, καὶ οὐ κομπάζεις; τί γάρ σοὶ καὶ Μωϋσεῖ κοινόν; Τὸ Σάββατον ἔλυσας, ὅπερ ἐκεῖνος ἐνομοθέτησε κρατεῖν· πῶς οὖν ἡμῶν ἐκεῖνος κατηγορήσειε; Πόθεν δὲ δῆλον ὅτι καὶ εἰς ἄλλον πιστεύσομεν τὸν ἰδίῳ ὀνόματι ἥξοντα; Ταῦτα γὰρ πάντα ἀμάρτυρα λέγεις. Καὶ μὴν ἅπαντα ταῦτα ἄνωθεν ἔχει τὴν κατασκευήν. Ὅταν γὰρ ὁμολογηθῇ, ὅτι παρὰ τοῦ Θεοῦ ἦλθον ἀπὸ τῶν ἔργων, ἀπὸ τῆς φωνῆς Ἰωάννου, ἀπὸ τῆς μαρτυρίας τοῦ Πατρός, εὔδηλον ὅτι Μωϋσῆς αὐτῶν κατηγορήσει.

Τί γὰρ ἐκεῖνος εἶπεν; ἆρ' οὐχ ὅτι ἐὰν ἔλθῃ τις σημεῖα ποιῶν, καὶ πρὸς τὸν Θεὸν ἄγων, καὶ τὰ μέλλοντα προλέγων μετὰ ἀληθείας, μετὰ πάσης ὑπακούειν αὐτῷ χρὴ τῆς πειθοῦς; Ὁ τοίνυν Χριστὸς μὴ οὐ πάντα ταῦτα πεποίηκε; Καὶ γὰρ σημεῖα εἰργάσατο μετὰ ἀληθείας ἁπάσης, καὶ πρὸς Θεὸν ἅπαντας εἷλκε, καὶ ταῖς προρρήσεσι τὸ τέλος ἐπήγαγεν. Ἀλλὰ πόθεν δῆλον ὅτι ἑτέρῳ πιστεύσουσιν; Ἐκ τοῦ τὸν Χριστὸν μισεῖν. Οἱ γὰρ τὸν μετὰ τῆς τοῦ Θεοῦ γνώμης ἥκοντα ἀποστρεφόμενοι, εὔδηλον ὅτι καὶ τὸν ἀντίθεον δέξονται. Εἰ δὲ Μωϋσέα νῦν προβάλλεται, καίτοι εἰπών, «Ἐγὼ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω», μὴ θαυμάσῃς· οὐδὲ γὰρ εἰς Μωϋσέα, ἀλλ' εἰς τὰ τοῦ Θεοῦ γράμματα αὐτοὺς παραπέμπει. Πλὴν ἀλλ' ἐπειδὴ αἱ Γραφαὶ ἔλαττον αὐτοὺς ἐφόβουν, εἰς τὸ πρόσωπον αὐτὸ περιάγει τὸν λόγον, τὸν νομοθέτην αὐτὸν αὐτοῖς ἐφιστὰς κατήγορον, καὶ πολὺ φρικωδέστερον οὕτω τὸ δέος ποιῶν, καὶ ἕκαστον τῶν παρ' αὐτῶν λεγομένων ἐλέγχει.

Σκόπει δέ· Ἔλεγον διὰ τὴν εἰς τὸν Θεὸν ἀγάπην διώ-

4. Δευτ. 18, 1.

συλλαμβάνων αὐτοὺς ἀπὸ παντοῦ μὲ τὰ ἰδικά τους λόγια.

Καὶ ἀπὸ ποῦ γνωρίζομεν, θὰ ἐρωτήσουν οἱ Ἰουδαῖοι, ὅτι θὰ μᾶς κατηγορήσῃ ὁ Μωϋσῆς καὶ ὅτι σὺ δὲν τὰ λέγεις αὐτὰ ἀπὸ ἀλαζονείαν; Διότι τί κοινὸν ἔχει ὁ Μωϋσῆς μ' ἐσέ; Σὺ κατήργησες τὸ Σάββατον, τὸ ὁποῖον ἐκεῖνος ὥρισε μὲ νόμον νὰ τὸ τηροῦμεν. Καὶ ἀπὸ ποῦ εἶναι φανερόν, ὅτι θὰ πιστεύσωμεν εἰς ἄλλον, ὁ ὁποῖος θὰ ἔλθῃ ἐξ ὀνόματος τοῦ ἑαυτοῦ του; Διότι ὅλ' αὐτὰ τὰ ἰσχυρίζεσαι χωρὶς μαρτυρίαν. Ὅλα ὅμως αὐτὰ ἐπιδοκιμάζονται ἀπὸ ἐπάνω. Διότι, ὅταν ἀποδειχθῇ ἀπὸ τὰ ἔργα, ἀπὸ τὴν φωνὴν τοῦ Ἰωάννου καὶ ἀπὸ τὴν μαρτυρίαν τοῦ Πατρός, ὅτι ἔχω ἔλθει ἀπὸ τὸν Θεόν, εἶναι ὁλοφάνερον ὅτι θὰ τοὺς κατηγορήσῃ ὁ Μωϋσῆς.

Τί εἶχεν εἰπεῖ δηλαδὴ ὁ Μωϋσῆς; Ἆρά γε δὲν εἶχεν εἰπεῖ ὅτι, ἐὰν ἔλθῃ κάποιος ποὺ θὰ κάμνῃ θαύματα[4], ποὺ θὰ σᾶς ὁδηγήσῃ εἰς τὸν Θεόν, ποὺ θὰ σᾶς προείπῃ τὰ μέλλοντα μὲ ἀλήθειαν, πρέπει νὰ πιστεύσετε εἰς αὐτὸν μὲ ὅλην σας τὴν ἀφοσίωσιν; Μήπως ὁ Χριστὸς δὲν τὰ ἔκαμεν ὅλ' αὐτά; Διότι καὶ θαύματα ἀληθινὰ ἐπετέλεσε καὶ πρὸς τὸν Θεὸν σᾶς προσείλκυεν ὅλους καὶ μὲ τὰς προφητείας προέβλεψε τὸ τέλος. Καὶ ἀπὸ ποῦ προκύπτει, ὅτι οἱ Ἰουδαῖοι θὰ πιστεύσουν εἰς ἄλλον; Ἀπὸ τὸ ὅτι μισοῦν τὸν Χριστόν. Διότι ὅσοι μισοῦν αὐτὸν ποὺ ἦλθε μὲ τὴν θέλησιν τοῦ Θεοῦ εἶναι ὁλοφάνερον, ὅτι θὰ δεχθοῦν καὶ τὸν ἐχθρὸν τοῦ Θεοῦ. Ἐπειδὴ ὅμως ἀναφέρει ἐδῶ τὸν Μωϋσῆν, παρ' ὅλον ὅτι εἶχεν εἰπεῖ, «Ἐγὼ δὲν δέχομαι τὴν μαρτυρίαν ἀπὸ ἄνθρωπον», μὴ ἀπορήσῃς. Διότι δὲν παραπέμπει τοὺς Ἰουδαίους εἰς τὴν Γραφὴν τοῦ Μωϋσέως, ἀλλ' εἰς τὴν ἁγίαν Γραφήν. Ἐπειδὴ ὅμως αἱ ἅγιαι Γραφαὶ ὀλιγώτερον φόβον ἐπροξένουν εἰς αὐτούς, φέρει τὸν λόγον εἰς τὸ πρόσωπον τοῦ Μωϋσέως, κάμνων κατήγορον αὐτῶν τὸν ἴδιον τὸν νομοθέτην καὶ προκαλῶν εἰς αὐτοὺς μεγαλύτερον φόβον καὶ ἐλέγχει τὸν κάθε λόγον των.

Πρόσεχε λοιπὸν εἰς τὰ ἑπόμενα· Ἰσχυρίζοντο οἱ Ἰ-

κειν αὐτόν· δείκνυσιν ὅτι διὰ τὸ μισεῖν τὸν Θεὸν τοῦτο ποιοῦσιν. Ἔλεγον ἀντέχεσθαι Μωϋσέως· δείκνυσιν ὅτι διὰ τὸ μὴ πιστεύειν Μωϋσεῖ ταῦτα ἔπραττον. Εἰ γὰρ τὸν νόμον ἐζήλουν, ἔδει δέξασθαι τὸν ἐκεῖνον πληροῦντα· εἰ τὸν Θεὸν ἠγάπων, ἔδει πεισθῆναι τῷ πρὸς ἐκεῖνον ἕλκοντι· εἰ Μωϋσεῖ ἐπίστευον, ἔδει προσκυνῆσαι τὸν ὑπ' ἐκείνου προφητευόμενον. Εἰ δὲ ἐκεῖνος ἀπιστεῖται πρὸ ἐμοῦ, οὐδὲν ἀπεικὸς καὶ ἐμὲ τὸν ὑπ' αὐτοῦ κηρυττόμενον ἐλαύνεσθαι παρ' ὑμῶν. Ὥσπερ οὖν καὶ θαυμάζοντας Ἰωάννην ἔδειξε καταφρονοῦντας Ἰωάννου διὰ τῶν εἰς αὐτὸν γεγενημένων, οὕτω νομίζοντας πιστεύειν Μωϋσεῖ δείκνυσιν ἀπιστοῦντας, καὶ ἀεὶ εἰς τὴν κεφαλὴν αὐτῶν περιτρέπει πάντα, ἅπερ ἐνόμιζον ὑπὲρ ἑαυτῶν προβάλλεσθαι.

Τοσοῦτον γὰρ ἀπέχω, φησίν, ἀπαγαγεῖν ὑμᾶς τοῦ νόμου, ὅτι καὶ αὐτὸν καλῶ κατήγορον ὑμῶν τὸν νομοθέτην· Ὅτι μὲν οὖν αἱ Γραφαὶ μαρτυροῦσιν, εἶπε· ποῦ δὲ μαρτυροῦσιν, οὐκέτι προσέθηκε, τὸν φόβον μείζονα αὐτοῖς ἐνθεῖναι βουλόμενος, καὶ εἰς ἔρευναν παραπέμψαι, καὶ εἰς ἀνάγκην καταστῆσαι ἐρωτήσεως. Εἰ μὲν γὰρ εἶπεν ἐκ τοῦ προχείρου, καὶ μηδὲ ἐρωτῶσιν αὐτοῖς, ἀπέβαλον ἂν τὴν μαρτυρίαν· νυνὶ δὲ εἰ προσεῖχον τοῖς λεγομένοις, ἔδει πρὸ τῶν ἄλλων τοῦτο ἐρωτῆσαι καὶ μαθεῖν παρ' αὐτοῦ. Διὰ γὰρ τοῦτο καὶ ἐν ταῖς ἀποφάσεσι καὶ ἐν ταῖς ἀπειλαῖς πλεονάζει μᾶλλον, οὐκ ἐν ταῖς ἀποδείξεσι μόνον, ἵνα κἂν οὕτως αὐτοὺς ἐπαγάγηται τῷ φόβῳ τῶν λεγομένων. Οἱ δὲ καὶ οὕτω σιγῶσι. Τοιοῦτον γὰρ ἡ πονηρία· ὅσα ἄν τις λέγῃ καὶ ποιῇ, οὐ διανίσταται, ἀλλὰ μένει τὸν οἰκεῖον ἰὸν διατηροῦσα.

ουδαῖοι, ὅτι κατεδίωκαν τὸν Χριστὸν ἕνεκα τῆς ἀγάπης των εἰς τὸν Θεόν. Ὁ Χριστὸς ἀποδεικνύει, ὅτι κάμνουν τοῦτο ἀπὸ μῖσος πρὸς τὸν Θεόν. Ἰσχυρίζοντο ὅτι ὑπήκουον εἰς τὸν Μωϋσῆν. Ἀπέδειξεν ὅτι τὰ ἔκαμναν αὐτά, διότι δὲν ἐπίστευαν εἰς τὸν Μωϋσῆν. Διότι, ἐὰν ἤθελαν νὰ τηρήσουν τὸν νόμον, ἔπρεπε νὰ δεχθοῦν ἐκεῖνον ποὺ ἐξεπλήρωνε τὸν νόμον. Ἐὰν ἀγαποῦσαν τὸν Θεόν, ἔπρεπε νὰ πεισθοῦν εἰς αὐτὸν ποὺ τοὺς προσείλκυε πρὸς ἐκεῖνον. Ἐὰν ἐπίστευον εἰς τὸν Μωϋσῆν, ἔπρεπε νὰ προσκυνήσουν ἐκεῖνον, ποὺ ὁ Μωϋσῆς εἶχε προφητεύσει. Ἐὰν λοιπὸν ἠρνήθησαν νὰ πιστεύσουν εἰς ἐκεῖνον πρὶν ἀπὸ ἐμέ, δὲν εἶναι παράδοξον ὅτι καταδιώκομαι ἀπὸ ἐσᾶς ἐγὼ ποὺ προανηγγέλθην ἀπὸ τὸν Μωϋσῆν. Ὅπως ἀκριβῶς ἀπέδειξεν ὅτι, ὅσοι ἐθαύμαζαν τὸν Ἰωάννην, περιεφρόνουν τὸν Ἰωάννην μὲ ὅσα εἶχαν κάμει ἐναντίον αὐτοῦ, ἔτσι ἐπειδὴ ἐνόμιζαν ὅτι πιστεύουν εἰς τὸν Μωϋσῆν ἀπέδειξεν ὅτι δὲν ἐπίστευαν καὶ διαρκῶς περιφέρει ἐπάνω ἀπὸ τὰς κεφαλάς των ὅλα ὅσα ἐφαντάζοντο ὅτι χρησιμεύουν διὰ τοὺς ἑαυτούς των.

Τόσον πολὺ ἀπέχω, τοὺς λέγει, ἀπὸ τὸ νὰ σᾶς ἀποσπάσω ἀπὸ τὴν τήρησιν τοῦ νόμου, ὥστε καὶ τὸν ἴδιον τὸν νομοθέτην καλῶ κατήγορόν σας. Καὶ ὅτι μὲν μαρτυροῦν αἱ ἅγιαι Γραφαί, εἶπεν. Ποῦ ὅμως μαρτυροῦν δὲν ἐπρόσθεσεν, ἐπειδὴ ἤθελε νὰ τοὺς προξενήσῃ μεγαλύτερον φόβον καὶ νὰ τοὺς παραπέμψῃ εἰς ἔρευναν καὶ νὰ τοὺς φέρῃ εἰς τὴν ἀνάγκην νὰ ἐρωτήσουν. Διότι, ἐὰν μὲν ὡμίλει ἐκ τοῦ προχείρου καὶ χωρὶς αὐτοὶ νὰ ἐρωτοῦν, θ' ἀπέρριπτον τὴν μαρτυρίαν. Ἐὰν ὅμως ἐπρόσεχαν εἰς τὰ λόγια του, ἔπρεπε πρὶν ἀπὸ κάθε ἄλλο τοῦτο νὰ ἐρωτήσουν καὶ νὰ μάθουν ἀπὸ αὐτόν. Διὰ τοῦτο ἀκριβῶς ὄχι μόνον τὰς ἀποδείξεις, ἀλλὰ καὶ τὰς ἀποφάσεις καὶ τὰς ἀπειλὰς χρησιμοποιεῖ συχνότερον, διὰ νὰ τοὺς προξενήσῃ μὲ τὰ λόγια του τὸν φόβον. Ἀλλ' οἱ Ἰουδαῖοι καὶ πάλιν σιωποῦν. Διότι ἔτσι εἶναι ἡ κακία. Δὲν ἐξεγείρεται δι' ὅσα ἠμπορεῖ νὰ λέγῃ καὶ νὰ κάμνῃ κανείς, ἀλλὰ διατηρεῖ πάντοτε τὸ δηλητήριόν της.

3. *Διὸ χρὴ πᾶσαν κακίαν ἀπὸ τῆς ψυχῆς ἐκβαλόντας, μηδένα πλέκειν μηδέποτε δόλον. «Πρὸς γὰρ τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ὁ Θεός», φησίν, «ἀποστέλλει». Καί, «Ἅγιον Πνεῦμα σοφίας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων». Οὐδὲν γὰρ οὕτω ποιεῖ μωρούς, ὡς πονηρία. Ὅταν γὰρ ὕπουλος ᾖ τις, ὅταν ἀγνώμων, ὅταν ἀχάριστος (ταῦτα δὲ τῆς πονηρίας τὰ εἴδη), ὅταν μηδὲν ἠδικημένος λυπῇ, ὅταν πλέκῃ δόλους, πῶς οὐκ ἐσχάτης ἀνοίας ἐξοίσει δεῖγμα;*

Οὐδὲν οὕτω ποιεῖ φρονίμους, ὡς ἀρετή. Καὶ γὰρ εὐχαρίστους καὶ εὐγνώμονας ἐργάζεται, φιλανθρώπους, ἡμέρους, πράους, ἐπιεικεῖς· τὰ ἄλλα ἅπαντα ἀγαθὰ αὕτη τίκτειν εἴωθε. Τί δὲ τοῦ οὕτω διακειμένου συνετώτερον; Πηγὴ γὰρ ὄντως καὶ ῥίζα φρονήσεώς ἐστιν ἡ ἀρετή, ὥσπερ οὖν καὶ πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν. Καὶ γὰρ ὁ ἀλαζὼν καὶ ὁ ὀργίλος ἐξ ἐνδείας φρονήσεως ὑπὸ τῶν παθῶν ἁλίσκεται. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν. «Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου» δεικνὺς ὅτι πᾶσα ἁμαρτία τὴν ἀρχὴν ἐξ ἀφροσύνης ἔχει· ὥσπερ ὁ ἐνάρετος καὶ φόβον ἔχων Θεοῦ, πάντων ἐστὶ συνετώτερος. Διὸ καὶ σοφός τις λέγει, «Ἀρχὴ σοφίας, φόβος Κυρίου». Εἰ τοίνυν τὸ φοβεῖσθαι τὸν Θεόν, σοφίαν ἐστὶν ἔχειν, ὁ δὲ πονηρὸς τοῦτο οὐκ ἔχει, τῆς ὄντως σοφίας ἐστέρηται· τῆς δὲ σοφίας ἐστερημένος τῆς ὄντως, πάντων ἐστὶν ἀνοητότερος.

Καίτοι γε πολλοὶ τοὺς πονηροὺς θαυμάζουσιν, ὡς ἱκανοὺς ὄντας ἀδικεῖν καὶ βλάπτειν, οὐκ εἰδότες ὅτι μάλιστα

---

5. Παροιμ. 21, 8.
6. Σοφ. Σολ. 1, 5.
7. Ψαλμ. 37, 4-6.
8. Παροιμ. 1, 7.

3. Δι' αὐτὸ πρέπει, ἀφοῦ ἀποβάλωμεν ἀπὸ τὴν ψυχήν μας κάθε κακίαν, νὰ μὴ δολοπλοκοῦμεν ποτέ. Διότι ἡ Ἁγία Γραφὴ λέγει· «Διότι εἰς τοὺς πονηροὺς ὁ Θεὸς πονηρὰς ὁδοὺς ἀποστέλλει»[5]. Καὶ «Διότι τὸ ἅγιον Πνεῦμα τῆς σοφίας θ' ἀποφύγῃ τὸν δόλον καὶ θ' ἀπομακρυνθῇ ἀπὸ σκέψεις, αἱ ὁποῖαι δὲν εἶναι συνεταί»[6]. Διότι τίποτε δὲν μωραίνει τόσον τὸν ἄνθρωπον, ὅσον ἡ πονηρία. Διότι, ὅταν κάποιος εἶναι ὕπουλος ἢ ἀγνώμων ἢ ἀχάριστος (διότι αὐτὰ εἶναι τὰ εἴδη τῆς πονηρίας), ὅταν προκαλῇ λύπην χωρὶς ν' ἀδικῆται καὶ ὅταν δολοπλοκῇ, πῶς δὲν θ' ἀποτελῇ παράδειγμα ὑπερτάτης μωρίας;

Τίποτε δὲν κάμνει τοὺς ἀνθρώπους τόσον συνετούς, ὅσον ἡ ἀρετή. Διότι τοὺς καθιστᾷ εὐχαρίστους καὶ εὐγνώμονας, φιλανθρώπους, ἡμέρους, πράους καὶ μετριόφρονας. Καὶ συνήθως γεννᾷ ὅλα τὰ ἄλλα ἀγαθά. Τί δὲ ὑπάρχει συνετώτερον ἀπὸ τὸν φρόνιμον; Διότι πράγματι πηγὴ καὶ ρίζα τῆς φρονήσεως εἶναι ἡ ἀρετή, ὅπως ἀκριβῶς καὶ ἡ κακία ἔχει ἀρχήν της τὴν μωρίαν. Διότι ὁ ἀλαζὼν καὶ ὁ ὀργίλος κυριεύεται ἀπὸ τὰ πάθη ἀπὸ ἔλλειψιν φρονήσεως. Διὰ τοῦτο καὶ ὁ Προφήτης ἔλεγε· «Δὲν ὑπάρχει ὑγιὲς μέρος εἰς τὴν σάρκα μου. Ἐδηλητηριάσθησαν καὶ ἐσάπησαν αἱ πληγαί μου ἐξ αἰτίας τῆς ἀφροσύνης μου»[7], διὰ νὰ δείξῃ, ὅτι κάθε ἁμαρτία ἔχει τὴν ἀρχήν της εἰς τὴν ἀφροσύνην, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ εἶναι ἐνάρετος καὶ ἔχει τὸν φόβον τοῦ Θεοῦ, εἶναι ὁ συνετώτερος ὅλων. Δι' αὐτὸ κάποιος σοφὸς λέγει· «Ἀρχὴ σοφίας, φόβος Κυρίου»[8]. Ἐὰν λοιπὸν τὸ νὰ φοβῆται κανεὶς τὸν Θεόν, σημαίνει ὅτι ἔχει σοφίαν, ὁ δὲ πονηρὸς δὲν ἔχῃ τοῦτο, ἔχει στερηθῇ ἀπὸ τὴν πραγματικὴν σοφίαν. Ἐκεῖνος δὲ ποὺ ἔχει στερηθῇ ἀπὸ τὴν σοφίαν, εἶναι ὁ ἀνοητότερος ὅλων.

Καὶ ὅμως ὑπάρχουν πολλοὶ ποὺ θαυμάζουν τοὺς πονηρούς, διότι τοὺς θεωροῦν ἱκανοὺς ν' ἀδικοῦν καὶ νὰ βλάπτουν, χωρὶς νὰ καταλαβαίνουν αὐτοὺς ἔπρεπε νὰ θεωροῦν ἀθλιωτέρους ὅλων, διότι ἐνῷ νομίζουν ὅτι βλάπτουν

πάντων αὐτοὺς ταλανίζειν χρή, ὅτι νομίζοντες ἑτέρους βλάπτειν, καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦσιν· ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης, ἑαυτὸν πλήττοντα, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ἀλλ' ἕτερον δοκεῖν ἀδικεῖν, ἐν τῷ κατασφάττειν ἑαυτόν. Διὰ τοῦτο καὶ Παῦλος εἰδώς, ὅτι ἐν τῷ πλήττειν ἑτέρους ἑαυτοὺς ἀναιροῦμεν, ἔλεγε· «Διατί μὴ μᾶλλον ἀδικεῖσθε; διατί μὴ μᾶλλον ἀποστερεῖσθε;». Τὸ γὰρ μὴ ἀδικεῖσθαι ἐν τῷ μὴ ἀδικεῖν κεῖται· ὥσπερ οὖν τὸ μὴ πάσχειν κακῶς ἐν τῷ μὴ ποιεῖν κακῶς· κἂν αἴνιγμα εἶναι δοκῇ τὸ λεγόμενον τοῖς πολλοῖς καὶ φιλοσοφεῖν οὐκ ἐθέλουσι.

Ταῦτ' οὖν εἰδότες, μὴ τοὺς ἀδικουμένους μηδὲ τοὺς ἐπηρεαζομένους, ἀλλὰ τοὺς ταῦτα ποιοῦντας ταλανίζωμεν καὶ δακρύωμεν. Οὗτοι γάρ εἰσιν οἱ μάλιστα ἠδικημένοι, οἱ τὸν Θεὸν ἑαυτοῖς ἐκπολεμοῦντες, καὶ μυρίων κατηγόρων ἀνοίγοντες στόματα, καὶ πονηρὰν κτώμενοι κατὰ τὸν παρόντα βίον ὑποψίαν, καὶ μεγάλην τὸν κατὰ τὸν μέλλοντα αἰῶνα ἐπισπώμενοι κόλασιν· ὡς οἵ γε ἀδικούμενοι καὶ πάντα φέροντες γενναίως, τόν τε Θεὸν ἔχουσιν ἵλεων, καὶ πάντας συναλγοῦντας αὐτοῖς, καὶ ἐπαινοῦντας, καὶ ἀποδεχομένους. Οἱ τοιοῦτοι καὶ κατὰ τὸν παρόντα βίον πολλῆς ἀπολαύσονται τῆς εὐφημίας, φιλοσοφίας μέγιστον παρεχόμενοι δεῖγμα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν τῶν αἰωνίων μεθέξουσιν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Α' Κορ. 6, 7.

ἄλλους, ὠθοῦν τὸ ξίφος κατὰ τοῦ ἑαυτοῦ των. Αὐτὸ εἶναι ἀπόδειξις ὑπερτάτης βλακείας, τὸ νὰ πλήττῃ δηλαδὴ κανεὶς τὸν ἑαυτόν του καὶ νὰ μὴ τὸ καταλαβαίνῃ, ἀλλὰ νὰ νομίζῃ ὅτι ἀδικεῖ ἄλλον, ἐνῷ κατασφάζει τὸν ἑαυτόν του. Δι' αὐτὸ καὶ ὁ Παῦλος, ἐπειδὴ ἐγνώριζεν ὅτι μὲ τὸ νὰ πλήττωμεν τοὺς ἄλλους, φονεύομεν τοὺς ἑαυτούς μας, ἔλεγε· «Διατί νὰ μὴ ἀδικῆσθε μᾶλλον; Διατί δὲν ἀφήνετε νὰ διαρπάζεσθε μᾶλλον;»*. Διότι τὸ νὰ μὴ ἀδικῆται κανεὶς εὑρίσκεται εἰς τὸ νὰ μὴ ἀδικῇ, ὅπως ἀκριβῶς τὸ νὰ μὴ κακοπαθαίνῃ εὑρίσκεται εἰς τὸ νὰ μὴ κακοποιῇ, ἔστω καὶ ἂν αὐτὸς ὁ λόγος ἀποτελῇ διὰ πολλοὺς αἴνιγμα καὶ μάλιστα δι' ὅσους δὲν θέλουν νὰ φιλοσοφοῦν.

Αὐτὰ λοιπὸν ἔχοντες ὑπ' ὄψιν ἂς εὐσπλαγχνισθοῦμεν καὶ ἂς δακρύσωμεν ὄχι διὰ τοὺς ἀδικουμένους, οὔτε διὰ τοὺς βλαπτομένους, ἀλλ' δι' ἐκείνους ποὺ κάμνουν τὴν ἀδικίαν. Διότι οἱ πάρα πολὺ ἀδικημένοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι καταπολεμοῦν τὸν Θεὸν καὶ οἱ ὁποῖοι ἀνοίγουν τὰ στόματα ἀπείρων κατηγόρων καὶ οἱ ὁποῖοι ἀπέκτησαν κακὴν φήμην εἰς τὸν παρόντα βίον καὶ προετοιμάζουν διὰ τὸν ἑαυτόν των τὴν κόλασιν εἰς τὸν μέλλοντα βίον. Ἀλλ' ὅσοι ἀδικοῦνται καὶ ὑποφέρουν τὰ πάντα μὲ ὑπομονὴν καὶ τὸν Θεὸν ἔχουν εὔσπλαγχνον καὶ ὅλους ἐκείνους ποὺ τοὺς συμπονοῦν, τοὺς ἐπαινοῦν καὶ τοὺς ἐπιδοκιμάζουν. Αὐτοὶ καὶ εἰς τὴν παροῦσαν ζωὴν θ' ἀπολαύσουν τὸν ἔπαινον, ἐπειδὴ παρέχουν μέγιστον παράδειγμα φιλοσοφίας καὶ εἰς τὴν μέλλουσαν ζωὴν θὰ εἶναι μέτοχοι τῶν αἰωνίων ἀγαθῶν. Εἴθε ταῦτα νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΒ΄.

Ἰω. 6,1 - 15

«Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας εἰς τὰ μέρη τῆς Τιβεριάδος· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀπῆλθε δὲ εἰς ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς τὸ Πάσχα τῶν Ἰουδαίων».

1. Τοῖς δεινοῖς ἀνδράσι μὴ ὁμόσε χωρῶμεν, ἀγαπητοί· ἀλλὰ μανθάνωμεν, ὅταν μηδὲν παραβλάπτῃ τὴν ἡμετέραν ἀρετήν, διδόναι τόπον αὐτῶν ταῖς πονηραῖς ἐπιβουλαῖς. Οὕτω γὰρ παύεται πᾶσα θρασύτης. Καὶ καθάπερ τα ἀκόντια ὅταν εἰς ἐντεταμένον ἐμπέσῃ τι καὶ σκληρὸν καὶ ἀντιτυπές, μετὰ πολλῆς τῆς ῥύμης ἐξακοντίζεται ἐπὶ τοὺς ἀποστείλαντας πάλιν, ὅταν δὲ τὸ ῥαγδαῖον τῆς ἀφέσεως μὴ ἔχῃ τὸ ἀντιπίπτον, ἐκλύεται ταχέως καὶ λήγει, οὕτω καὶ ἐπὶ τῶν θρασυνομένων ἀνθρώπων, ὅταν μὲν αὐτοῖς ὁμόσε χωρῶμεν, ἀγριαίνουσι μᾶλλον, ὅταν δὲ εἴκωμεν καὶ παραχωρῶμεν, χαλῶμεν ῥᾳδίως πᾶσαν αὐτῶν τὴν μανίαν. Διὰ δὲ τοῦτο καὶ ὁ Χριστὸς ἐπειδὴ ἤκουσεν, ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης, ἦλθεν εἰς τὴν Γαλιλαίαν, τὸν φθόνον αὐτῶν σβεννύς, καὶ τὸν θυμόν, ὃν εἰκὸς ἦν ἀπὸ τούτων τεχθῆναι τῶν λόγων, διὰ τῆς ἀναχωρήσεως καταπραΰνων.

Πλὴν εἰς τὴν Γαλιλαίαν πάλιν ἀπερχόμενος, οὐ τοῖς αὐτοῖς ἐπιβαίνει τόποις· οὐ γὰρ εἰς Κανᾶ ἦλθεν, ἀλλὰ πέραν τῆς θαλάσσης. Διὸ καὶ ἠκολούθουν αὐτῷ ὄχλοι πολλοί, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. Ποῖα σημεῖα; διατί μὴ αὐτὰ λέγει κατ᾽ εἶδος; Ὅτι τὸ πλέον τοῦ βιβλίου οὗτος μάλιστα ὁ εὐαγγελιστὴς ἐν τοῖς λόγοις καὶ ταῖς δημηγορίαις καταναλῶσαι ἐσπούδασεν. Ὅρα γοῦν πῶς ἐν ἐνιαυτῷ

1. Ἰω. 6, 1-4.

ΟΜΙΛΙΑ ΜΒ'.

'Ιω. 6,1 - 15

«Ὕστερα ὁ Ἰησοῦς ἔφυγε πέραν ἀπὸ τὴν λίμνην τῆς Γαλιλαίας, δηλαδὴ τῆς Τιβεριάδος. Καὶ τὸν ἠκολούθει πολὺς λαός, διότι ἔβλεπαν τὰ θαύματα ποὺ ἔκαμνεν εἰς τοὺς ἀσθενεῖς. Ἀνῆλθεν εἰς τὸ ὄρος ὁ Ἰησοῦς καὶ ἐκάθητο ἐκεῖ μαζὶ μὲ τοὺς μαθητάς του. Ἐπλησίαζε δὲ τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων»[1].

1. Ἂς μὴ συναναστρεφώμεθα, ἀγαπητοί μου, μὲ πονηροὺς ἀνθρώπους, ἀλλ' ἂς διδασκώμεθα, ὅταν δὲν παραβλάπτεται ἡ ἀρετή μας, νὰ ἀποφεύγωμεν τὰς πονηράς των ἐπιβουλάς. Διότι ἔτσι παύει κάθε θρασύτης των. Ὅπως ἀκριβῶς τὰ ἀκόντια, ὅταν πέσουν ἐπάνω εἰς ἀνθεκτικόν, σκληρὸν καὶ στερεὸν τόπον, ἐπανέρχονται μὲ μεγάλην ὁρμὴν εἰς ἐκείνους ποὺ τὰ ἐξεσφενδόνισαν, ὅταν δὲ ἡ σφοδρότης τῆς ρίψεως δὲν συναντᾷ ἀντίστασιν, τότε σταματᾷ ταχέως καὶ λήγει, ἔτσι καὶ οἱ θρασεῖς ἄνθρωποι, ὅταν μὲν ἀμυνώμεθα, ἐξαγριώνονται περισσότερον, ὅταν ὅμως ὑποχωρῶμεν καὶ κάμνωμεν παραχωρήσεις, εὐκόλως καταπαύομεν ὅλην τὴν μανίαν τους. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Χριστός, ὅταν ἤκουσεν ὅτι οἱ Φαρισαῖοι ἔμαθαν, ὅτι ὁ Ἰησοῦς ἀποκτᾷ καὶ βαπτίζει περισσοτέρους μαθητὰς ἀπὸ τὸν Ἰωάννην, ἐπῆγεν εἰς τὴν Γαλιλαίαν διὰ νὰ καταπαύσῃ τὸ μῖσος καὶ τὸν θυμόν των, ὁ ὁποῖος ἦτο φυσικὸν νὰ προκληθῇ ἀπὸ τὰ λόγια, προσπαθῶν νὰ καθησυχάσῃ αὐτοὺς μὲ τὴν ἀναχώρησίν του.

Ἀφοῦ ἐπέστρεψεν εἰς τὴν Γαλιλαίαν, δὲν ἐπῆγεν εἰς τοὺς ἰδίους τόπους. Διότι δὲν ἐπῆγεν εἰς τὴν Κανᾶ, ἀλλὰ πέραν ἀπὸ τὴν λίμνην. Δι' αὐτὸ καὶ τὸν ἠκολούθει μεγάλο πλῆθος ἀνθρώπων, ποὺ εἶχαν ἰδεῖ τὰ θαύματα, τὰ ὁποῖα ἔκαμνε. Ποῖα θαύματα; Διατί δὲν τὰ ἀπαριθμεῖ κατ' εἶδος; Διότι ὁ Εὐαγγελιστὴς οὗτος ἐφρόντισε νὰ γεμίσῃ μεγάλο μέρος τοῦ βιβλίου του εἰς τὴν ἀπόδοσιν τῶν λόγων τοῦ Χριστοῦ. Κοίταξε λοιπὸν μὲ ποῖον τρόπον δι' ὁλόκληρον

ὁλοκλήρῳ, μᾶλλον δὲ πῶς καὶ νῦν ἐν τῇ ἑορτῇ τοῦ Πάσχα οὐδὲν πλέον ἡμᾶς ἐδίδαξε σημείων ἕνεκεν, ἢ ὅτι τὸν παράλυτον μόνον ἐθεράπευσε καὶ τὸν υἱὸν τοῦ βασιλικοῦ. Οὐ γὰρ τοῦτο ἐσπούδαζεν ὥστε ἅπαντα καταλέγειν, ἐπειδὴ μηδὲ δυνατὸν ἦν· ἀλλ' ἐκ πολλῶν καὶ μεγάλων ὀλίγα.

«Καὶ ἠκολούθει», φησίν, «αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων τὰ σημεῖα ἃ ἐποίει». Οὐ σφόδρα βεβαίας διανοίας ἡ ἀκολούθησις. Τοσαύτης γὰρ διδασκαλίας ἀπολαύσαντες, ἀπὸ τῶν σημείων ἐνήγοντο μᾶλλον· ὃ παχυτέρας γνώμης ἦν. «Τὰ γὰρ σημεῖα», φησί, «τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν». Ἀλλ' οὐκ ἐκεῖνος ὁ δῆμος ὁ παρὰ τῷ Ματθαίῳ οὕτως, ἀλλ' ἄκουε πῶς. «Ἐξεπλήσσοντο πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ», φησίν, «ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων».

Τί δήποτε δὲ τὸ ὄρος καταλαμβάνει νῦν, καὶ ἐκεῖ κάθηται μετὰ τῶν μαθητῶν; Διὰ τὸ μέλλον ἔσεσθαι σημεῖον. Τὸ δὲ τοὺς μαθητὰς ἀναβῆναι μόνους, κατηγορία τοῦ πλήθους ἦν οὐκ ἀκολουθήσαντες αὐτῷ. Οὐ τούτου δὲ ἕνεκεν μόνον τοῦτο ποιεῖ, τὸ ὄρος καταλαμβάνων, ἀλλὰ καὶ παιδεύων ἡμᾶς ἀεὶ διαναπαύεσθαι ἀπὸ τῶν θορύβων καὶ τῆς ἐν μέσῳ ταραχῆς· ἐπιτήδειον γὰρ πρὸς φιλοσοφίαν ἐρημία. Πολλάκις δὲ καὶ μόνος αὐτὸς τὸ ὄρος καταλαμβάνει, καὶ διανυκτερεύει καὶ εὔχεται, διδάσκων ἡμᾶς ὅτι τὸν μάλιστα Θεῷ προσιόντα πάσης ἀπηλλάχθαι δεῖ ταραχῆς καὶ καιρὸν καὶ τόπον θορύβου καθαρὸν ἐπιζητεῖν.

«Καὶ ἦν ἐγγὺς τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων». Πῶς οὖν οὐκ ἀναβαίνει εἰς τὴν ἑορτήν, φησίν, ἀλλὰ πάντων ἐπειγομένων εἰς τὰ Ἱεροσόλυμα, αὐτὸς εἰς τὴν Γαλιλαίαν ἔρχεται, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τοὺς μαθητὰς ἄγων, καὶ ἐκεῖθεν εἰς Καπερναούμ; Ἠρέμα λοιπὸν ὑπεξέ-

---

2. Α' Κορ. 14, 22.
3. Ματθ. 7, 28-29.

ἔτος, ἢ μᾶλλον πῶς καὶ τώρα κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα δὲν μᾶς ὑπενθύμισεν ἄλλο θαῦμα, παρὰ μόνον τὴν θεραπείαν τοῦ παραλυτικοῦ καὶ τοῦ υἱοῦ τοῦ ἀξιωματούχου τοῦ βασιλέως. Διότι ὁ Εὐαγγελιστὴς δὲν ἐσκόπευεν εἰς αὐτὸ ὥστε νὰ τὰ ἀπαριθμῇ ὅλα, ἐπειδὴ δὲν ἦτο δυνατόν, ἀλλὰ τὰ σημαντικώτερα καὶ σπουδαιότερα ἀπὸ τὰ πολλά.

Καὶ προσθέτει· «Καὶ τὸν ἠκολούθει μεγάλο πλῆθος ἀνθρώπων, ποὺ εἶδαν τὰ θαύματα τὰ ὁποῖα ἔκαμνε». Τὸν ἠκολούθουν χωρὶς σταθερὸν πνεῦμα. Διότι, ἂν καὶ εἶχαν ἀπολαύσει τόσην διδασκαλίαν, προσήρχοντο μᾶλλον ἀπὸ τὰ θαύματα, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις ἀτελεστέρας διαθέσεως. Διότι λέγει ὁ Ἀπόστολος «Τὰ θαύματα εἶναι ἀπόδειξις τῶν ἀπίστων καὶ ὄχι ἐκείνων ποὺ πιστεύουν»[2]. Ἀλλ' ὁ λαὸς ἐκεῖνος, ποὺ ἀναφέρει ὁ Ματθαῖος, δὲν ἦτο ἔτσι, ἀλλ' ἄκουε πῶς: «Ἐθαύμαζαν διὰ τὴν διδασκαλίαν του, διότι ἐδίδασκεν αὐτοὺς σὰν κάποιος ποὺ ἔχει ἐξουσίαν»[3].

Διατί ὅμως ὁ Ἰησοῦς ἀνέβηκεν εἰς τὸ ὄρος καὶ κάθεται ἐκεῖ μαζὶ μὲ τοὺς μαθητάς του; Διὰ τὸ θαῦμα ποὺ ἐπρόκειτο νὰ γίνῃ. Τὸ ὅτι ὅμως ἀνέβηκαν εἰς τὸ ὄρος οἱ μαθηταί του μόνοι, εἰς αὐτὸ φταίει τὸ πλῆθος ποὺ δὲν τὸν ἠκολούθησε. Καὶ δὲν ἀνέβη εἰς τὸ ὄρος μόνον ἕνεκα αὐτῆς τῆς αἰτίας, ἀλλὰ καὶ διὰ νὰ μᾶς διδάξῃ, ὅτι πρέπει ν' ἀποφεύγωμεν τὸν θόρυβον καὶ τὸ πλῆθος δι' ἀνάπαυσιν. Διότι ἡ ἀπομόνωσις εἶναι κατάλληλος διὰ νὰ στοχάζεται κανείς. Πολλὰς φορὰς μάλιστα ὁ Χριστὸς ἀνεβαίνει εἰς τὸ ὄρος μόνος του καὶ διανυκτερεύει καὶ προσεύχεται, διὰ νὰ μᾶς διδάξῃ, ὅτι διὰ νὰ πλησιάσωμεν τὸν Θεόν, πρέπει νὰ εἴμεθα ἀπηλλαγμένοι ἀπὸ κάθε θόρυβον καὶ νὰ ζητοῦμεν καιρὸν καὶ τόπον ἥσυχον ἀπὸ θόρυβον.

«Καὶ ἐπλησίαζε τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων». Διατί λοιπόν, θὰ ἐρωτήσῃς, δὲν πηγαίνει εἰς τὴν ἑορτήν, ἀλλ' ἐνῷ ὅλοι τρέχουν εἰς τὰ Ἱεροσόλυμα, αὐτὸς ἔρχεται εἰς τὴν Γαλιλαίαν καὶ ὄχι μόνον αὐτὸς ἀλλὰ μαζὶ μὲ τοὺς μαθητάς του καὶ ἀπὸ ἐκεῖ πηγαίνει εἰς τὴν Καπερναούμ;

λυε τὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τῆς Ἰουδαϊκῆς πονηρίας. «Καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς, ὁρᾷ ὄχλον πολύν». Ἐνταῦθα δείκνυσιν ὅτι οὐδέποτε ἁπλῶς ἐκάθητο μετὰ τῶν μαθητῶν, ἀλλ' ἴσως ἀκριβολογούμενός τι πρὸς αὐτοὺς καὶ διδάσκων καὶ ἐπιστρέφων αὐτοὺς πρὸς ἑαυτόν, οὗ μάλιστα καὶ ἐντεῦθεν τὴν κηδεμονίαν ἔστι μαθεῖν καὶ τὸ ταπεινὸν καὶ συγκαταβατικὸν τὸ πρὸς ἐκείνους. Συνεκάθηντο γὰρ αὐτῷ τάχα πρὸς ἀλλήλους ὁρῶντες. «Εἶτα ἀναβλέψας ὁρᾷ τὸν ὄχλον παραγινόμενον πρὸς αὐτόν».

Οἱ μὲν οὖν ἄλλοι εὐαγγελισταὶ τοὺς μαθητάς φασι προσελθόντας ἐρωτᾶν καὶ παρακαλεῖν, ὥστε μὴ ἀπολῦσαι αὐτοὺς νήστεις· οὗτος δὲ εἰσάγει τὸν Φίλιππον ἐρωτηθῆναι παρὰ τοῦ Χριστοῦ. Καί μοι δοκεῖ ἀμφότερα εἶναι ἀληθῆ, οὐκ ἐπὶ τῶν αὐτῶν γενόμενα δὲ ὅμως καιρῶν, ἀλλ' ἐκεῖνα τούτων εἶναι πρεσβύτερα· ὥστε ἕτερα μὲν ἐκεῖνα λοιπόν, ἕτερα δὲ ταῦτά ἐστι. Τίνος οὖν ἕνεκεν τὸν Φίλιππον ἐρωτᾷ; Ἤδει τῶν μαθητῶν τοὺς μάλιστα πλείονος δεομένους διδασκαλίας. Οὗτος γάρ ἐστιν ὁ μετὰ ταῦτα λέγων· «Δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν». Διὰ τοῦτο ἄνωθεν αὐτὸν ἐρρύθμιζεν. Εἰ μὲν γὰρ ἁπλῶς τὸ σημεῖον ἐγένετο, οὐκ ἂν τοσοῦτον ἐφάνη τὸ θαῦμα· νῦν δὲ πρότερον αὐτὸν ἀναγκάζει ὁμολογῆσαι τὴν οὖσαν σπάνιν, ἵνα γνοὺς ἐν τίσιν ἦν, ἀκριβέστερον οὕτω μάθῃ τοῦ μέλλοντος γίνεσθαι θαύματος τὸ μέγεθος.

Καὶ ὅρα τί φησιν ἐκεῖνος· «Πόθεν ἡμῖν ἄρτοι τοσοῦτοι, ἵνα φάγωσιν οὗτοι;». Οὕτω καὶ ἐν τῇ Παλαιᾷ πρὸς τὸν Μωϋσέα ἔλεγεν. Οὐ γὰρ πρότερον τὸ σημεῖον ἐποίησεν, ἕως ἂν αὐτὸν ἠρώτησε, «Τί ποτέ ἐστιν ἐν τῇ χειρί σου;». Ἐπειδὴ γὰρ τὰ παράδοξα καὶ ἀθρόον συμβαίνοντα, τῶν προτέρων ἡμᾶς εἰς λήθην ἐμβαλεῖν εἴωθε, πρότερον αὐτὸν

4. Ἰω. 14, 8.
5. Ἐξ. 4, 2.

Ὀλίγον κατ' ὀλίγον κατήργει τὸν νόμον, λαμβάνων ἀφορμὴν ἀπὸ τὴν κακίαν τῶν Ἰουδαίων. Ἐδῶ ἀποδεικνύει, ὅτι ποτὲ δὲν ἐκάθετο μαζὶ μὲ τοὺς μαθητάς του χωρὶς αἰτίαν, ἀλλ' ἴσως διὰ νὰ τοὺς ἀναπτύξῃ κάτι μὲ μεγαλυτέραν ἀκρίβειαν καὶ νὰ τοὺς διδάξῃ καὶ νὰ τοὺς συνδέσῃ στενότερον μὲ τὸν ἑαυτόν του, ὁπόθεν μάλιστα ἠμποροῦμεν νὰ μάθωμεν τὴν πρόνοιάν του περὶ αὐτῶν καὶ τὴν ταπεινοφροσύνην του καὶ συγκαταβατικότητα πρὸς ἐκείνους. Διότι ἐκάθηντο μαζὶ μὲ αὐτὸν ἴσως βλέποντες ὁ ἕνας τὸν ἄλλον. «Ἔπειτα, ὅταν ἐσήκωσε τοὺς ὀφθαλμούς του, εἶδεν ὅτι ἔρχεται πρὸς αὐτὸν πολὺς κόσμος».

Οἱ μὲν ἄλλοι Εὐαγγελισταὶ ἀναφέρουν ὅτι οἱ μαθηταὶ ἀφοῦ τὸν ἐπλησίασαν, τὸν ἠρώτων καὶ τὸν παρεκάλουν, νὰ μὴ τοὺς διώξῃ νηστικούς. Ὁ Ἰωάννης ὅμως λέγει, ὅτι ὁ Χριστὸς ἠρώτησε τὸν Φίλιππον. Νομίζω ὅτι καὶ τὰ δύο εἶναι ἀληθινά, ἀλλ' ὅτι δὲν συνέβησαν συγχρόνως, ἀλλὰ τὰ πρῶτα εἶναι παλαιότερα ἀπὸ τὰ δεύτερα. Ὥστε ἄλλα εἶναι ἐκεῖνα καὶ ἄλλα αὐτὰ ἐδῶ. Διατί ὅμως ἐρωτᾷ τὸν Φίλιππον; Ἐγνώριζε, ποῖοι ἀπὸ τοὺς μαθητάς του εἶχαν ἀνάγκην μεγαλυτέρας διδασκαλίας. Διότι ὁ Φίλιππος ἦτο ποὺ τοῦ εἶπεν ἀργότερα· «Δεῖξε μας τὸν Πατέρα καὶ μᾶς ἀρκεῖ»[4]. Διὰ τοῦτο ἤθελε νὰ τὸν διδάξῃ προηγουμένως. Διότι ἐὰν τὸ θαῦμα ἐγίνετο χωρὶς προετοιμασίαν, δὲν θὰ ἐφαίνετο τόσον πολὺ ὡς θαῦμα. Τώρα ὅμως ἀναγκάζει τὸν Φίλιππον νὰ ὁμολογήσῃ τὴν ὑπάρχουσαν ἔλλειψιν, διὰ νὰ μάθῃ τὴν ἔκτασιν τοῦ θαύματος ποὺ ἐπρόκειτο νὰ γίνῃ, γνωρίζων εἰς τί συνίστατο.

Καὶ πρόσεχε τί ἐρωτᾷ τὸν Φίλιππον· «Ἀπὸ ποῦ θὰ προμηθευτοῦμεν τόσους ἄρτους, ὥστε νὰ φάγουν ὅλοι αὐτοί;». Ἔτσι καὶ εἰς τὴν Παλαιὰν Διαθήκην ἔλεγεν ὁ Κύριος εἰς τὸν Μωϋσῆν. Διότι δὲν ἔκαμε τὸ θαῦμα προτύτερα, παρὰ μόνον ὅταν τὸν ἠρώτησε· «Τί ἔχεις μέσα εἰς τὸ χέρι σου;»[5]. Ἐπειδὴ δηλαδὴ τὰ θαύματα ποὺ γίνονται αἰφνιδίως συνήθως μᾶς κάμνουν νὰ λησμονοῦμεν τὰ προηγούμενα, πρῶτα

ἐν τῇ τοῦ παρόντος κατέδησεν ὁμολογίᾳ, ἵνα τῆς ἐκπλήξεως γενομένης, τὴν μνήμην τῶν ὁμολογηθέντων μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν· εἶθ' οὕτως ἀπὸ τῆς συγκρίσεως μάθῃ καὶ τοῦ σημείου τὸ μέγεθος· ὃ δὴ καὶ ἐνταῦθα γίνεται. Καὶ ἐρωτηθεὶς ἀποκρίνεται λέγων· «Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν, ἵνα ἕκαστος βραχύ τι λάβῃ. Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν». Τί ἐστι, «Πειράζων αὐτόν»; ἄρα γὰρ ἠγνόει τὸ μέλλον ὑπ' αὐτοῦ ῥηθήσεσθαι; Οὐκ ἔστι τοῦτο εἰπεῖν.

2. Ἀλλὰ τίς ποτε τῆς λέξεως ἡ διάνοια; Ἀπὸ τῆς Παλαιᾶς δυνατὸν αὐτὴν καταμαθεῖν. Καὶ γὰρ καὶ ἐκεῖ φησιν· «Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἐπείραζεν ὁ Θεὸς Ἀβραάμ, καὶ εἶπεν, Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ». Οὐδὲ γὰρ ἐκεῖ τοῦτο λέγων φαίνεται, ὅτι ἀπὸ τῆς πείρας ἀνέμενεν ἰδεῖν τὸ τέλος, εἴτε ὑπακούσεται, εἴτε μή· (πῶς γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;) ἀλλ' ἀνθρωπίνως ἀμφότερα εἴρηται. Ὥσπερ γὰρ ὅταν λέγῃ, ὅτι «Ἐρευνᾷ τὰς καρδίας τῶν ἀνθρώπων», οὐκ ἀγνοίας τὴν ἔρευναν δείκνυσιν, ἀλλ' ἀκριβοῦς εἰδήσεως· οὕτω δὴ καὶ ὅταν λέγῃ ὅτι «Ἐπείρασεν», οὐδὲν ἄλλο φησίν, ἀλλ' ἢ ὅτι ἠπίστατο ἀκριβῶς. Κἂν ἕτερον δὲ ἔστιν εἰπεῖν, ὅτι δοκιμώτερον αὐτὸν εἰργάζετο, ὥσπερ οὖν τὸν Ἀβραὰμ τότε, οὕτω καὶ τοῦτον διὰ τῆς τοιαύτης ἐρωτήσεως ἐνάγων νῦν εἰς τὴν ἀκριβῆ τοῦ σημείου γνῶσιν. Διὰ δὴ τοῦτο καὶ ὁ εὐαγγελιστής, ἵνα μὴ τῇ ἀσθενείᾳ τῆς λέξεως ἐναπομείνας, ὑποπτεύσῃς τι ἄτοπον περὶ τῶν εἰρημένων, ἐπήγαγεν· «Αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν».

ε *Πλὴν ἐκεῖνο παρατηρεῖν ἀναγκαῖον, πῶς, ὅταν ᾖ ὑπόνοια πονηρά, εὐθὺς αὐτὴν ὁ εὐαγγελιστὴς μετὰ πολλῆς ἐπιδιορθοῦται τῆς σπουδῆς. Ὥσπερ οὖν ἐνταῦθα, ἵνα μή τι*

---

6. Γεν. 22, 1-2.
7. Δαν. 13, 42.
8. Ρωμ. 8, 27.

συνέδεσε τὸν Φίλιππον μὲ τὴν παραδοχὴν τῆς παρούσης καταστάσεως, ὥστε, ὅταν γίνῃ τὸ θαῦμα νὰ μὴ ἠμπορέσῃ πλέον ν' ἀρνηθῇ τὰ ὅσα παρεδέχθη καὶ ἔπειτα νὰ καταλάβῃ τὴν ἔκτασιν τοῦ θαύματος κάμνων τὴν σύγκρισιν. Αὐτὸ λοιπὸν γίνεται καὶ ἐδῶ. Ὅταν ὁ Φίλιππος ἠρωτήθη ἀπὸ τὸν Χριστόν, ἀπήντησεν· «Διακοσίων δηναρίων ἄρτοι δὲν ἀρκοῦν διὰ νὰ πάρῃ ὁ καθένας ἀπὸ λίγο. Αὐτὸ τὸ εἶπε διὰ νὰ τὸν δοκιμάσῃ. Διότι αὐτὸς ἤξευρε τί ἐπρόκειτο νὰ κάμῃ». Τί σημαίνει, «Διὰ νὰ τὸν δοκιμάσῃ»; Ἄρα δὲν ἤξευρε, τί θὰ τοῦ ἀπαντοῦσε; Δὲν εἶναι δυνατὸν νὰ ἰσχυρισθῇ κανεὶς κάτι τέτοιο.

2. Ποία εἶναι λοιπὸν ἡ σημασία τῆς λέξεως; Εἶναι δυνατὸν νὰ τὴν μάθωμεν ἀπὸ τὴν Παλαιὰν Διαθήκην. Διότι καὶ ἐκεῖ λέγει· «Καὶ μετὰ ταῦτα ἐδοκίμαζεν ὁ Θεὸς τὸν Ἀβραὰμ καὶ εἶπε· «Πάρε τὸν υἱόν σου τὸν μονογενῆ, τὸν ὁποῖον ἠγάπησες, τὸν Ἰσαάκ»[6]. Ἀλλ' οὔτε ἐκεῖ φαίνεται νὰ ἐννοῇ τοῦτο, ὅτι δηλαδὴ ἐπερίμενε νὰ ἰδῇ τὸ τέλος τῆς δοκιμασίας, ἂν θὰ ὑπακούσῃ ἢ ὄχι (διότι πῶς ἦτο δυνατὸν δι' αὐτόν, ὁ ὁποῖος ἐγνώριζε τὰ πάντα πρὶν νὰ γίνουν;[7]), ἀλλὰ καὶ τὰ δύο ἔχουν λεχθῇ σύμφωνα μὲ τὴν ἀνθρωπίνην φύσιν. Ὅπως δηλαδή, ὅταν λέγῃ, «Ἐρευνᾷ τὰς καρδίας τῶν ἀνθρώπων»[8] δὲν σημαίνει τὴν ἄγνοιαν, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν, ἔτσι καὶ ὅταν λέγῃ, «Ἐδοκίμασεν», δὲν ἐννοεῖ τίποτε ἄλλο παρὰ ὅτι ἐγνώριζεν ἀκριβῶς. Ἀλλὰ καὶ κάτι ἄλλο ἠμπορεῖ νὰ ἰσχυρισθῇ κανείς, ὅτι δηλαδὴ ὅπως τότε τὸν Ἀβραὰμ ἔτσι καὶ τώρα τὸν Φίλιππον μὲ τὴν ἐρώτησιν αὐτὴν τὸν ὁδηγεῖ εἰς τὴν ἀκριβῆ γνῶσιν τοῦ θαύματος. Δι' αὐτὸ καὶ ὁ Εὐαγγελιστής, διὰ νὰ μὴ ὑποψιασθῇς κάτι τὸ ἀνόητον ἀπὸ ὅσα ἐλέχθησαν ἕνεκα τῆς ἁπλότητος τῆς ἐκφράσεως, προσέθεσεν· «Διότι αὐτὸς ἐγνώριζε, τί ἐπρόκειτο νὰ κάμῃ».

Πρέπει ὅμως νὰ παρατηρήσωμεν ὅτι, ὅταν ἡ ὑποψία προέρχεται ἀπὸ πονηρίαν ὁ Εὐαγγελιστὴς τὴν ἐπανορθώνει ἀμέσως μὲ μεγάλην ἐπιμέλειαν. Ὅπως ἀκριβῶς ἐδῶ,

τοιοῦτον ὑποπτεύσωσιν οἱ ἀκούοντες, προσέθηκε τὴν ἐπιδιόρθωσιν, εἰπών· «Αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν)· οὕτω καὶ ἐκεῖ λέγων, ὅτι ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, «Οὐ μόνον ὅτι ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ», εἰ μὴ ἀπόφασις ἦν αὐτοῦ τοῦ Χριστοῦ διὰ τῶν ἔργων βεβαιουμένη, προσέθηκεν ἂν κἀκεῖ τὴν ἐπιδιόρθωσιν ταύτην. Εἰ γὰρ ἐν οἷς αὐτὸς λέγει, ὑφορᾶται ὁ εὐαγγελιστής, μή τις ὑποπτεύσῃ, πολλῷ μᾶλλον ἐν οἷς ἕτεροι περὶ αὐτοῦ τοῦτο ἔλεγον, ὑπείδετο ἄν, εἰ μὴ προσήκουσαν ἑώρα περὶ αὐτοῦ κρατοῦσαν ὑπόνοιαν. Ἀλλ' οὐκ ἐποίησεν· ᾔδει γὰρ αὐτοῦ τὴν γνώμην οὖσαν τοῦτο καὶ ψῆφον ἀκίνητον. Διὰ τοῦτο εἰπών, «Ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ», οὐκ ἐχρήσατο ἐπιδιορθώσει τινὶ τοιαύτῃ· οὐ γὰρ ἐκείνων ἦν ὑπόνοια διεφθαρμένη τὸ λεγόμενον, ἀλλ' ἀπόφασις αὐτοῦ κεκυρωμένη διὰ τῶν ἔργων

Ἐρωτηθέντος τοίνυν τοῦ Φιλίππου, «Φησὶν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου· Ἔστιν ὧδε παιδάριον ἔχον πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;». Ὑψηλότερος μὲν τοῦ Φιλίππου ὁ Ἀνδρέας, οὐ μὴ εἰς τὸ πᾶν ἔφθασεν. Οἶμαι δὲ μηδὲ ἁπλῶς τοῦτο εἰπεῖν, ἀλλ' ἀκηκοότα αὐτὸν τῶν προφητῶν τὰ θαύματα καὶ πῶς Ἐλισσαῖος ἐποίησε τὸ ἐπὶ τῶν ἄρτων σημεῖον. Διὰ δὴ τοῦτο ἀνέβη μὲν ἐπί τι ὕψος, οὐκ ἴσχυσε δὲ πρὸς αὐτὴν φθάσαι τὴν κορυφήν.

Μάθωμεν ἐντεῦθεν οἱ τῇ τρυφῇ προσέχοντες, τίνα ἐσιτοῦντο οἱ θαυμαστοὶ ἄνδρες ἐκεῖνοι καὶ μεγάλοι, καὶ τῇ ποσότητι τῶν ἐπιφερομένων καὶ τῇ ποιότητι τὴν εὐτέλειαν αὐτῶν τῆς τραπέζης ἴδωμέν τε καὶ μιμησώμεθα. Τὰ γοῦν

διὰ νὰ μὴ ὑποψιασθοῦν κάτι παρόμοιον οἱ ἀκροαταί, προσέθεσε τὴν ἐπανόρθωσιν λέγων· «Διότι αὐτὸς ἐγνώριζε, τί ἐπρόκειτο νὰ κάμῃ». Ἔτσι καὶ εἰς ἄλλο σημεῖον ποὺ ἀναφέρει, ὅτι οἱ Ἰουδαῖοι κατεδίωκαν τὸν Χριστόν, «Ὄχι μόνον διότι κατήργει τὸ Σάββατον, ἀλλὰ καὶ διότι ἰσχυρίζετο ὅτι ὁ Θεὸς εἶναι ἰδικός του Πατὴρ καὶ ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν», ἂν δὲν ἦτο ἀπόφασις τοῦ ἰδίου τοῦ Χριστοῦ ποὺ ἐβεβαιώνετο ἀπὸ τὰ ἔργα του, ὁ Εὐαγγελιστὴς καὶ εἰς ἐκεῖνο τὸ σημεῖον θὰ ἔκαμνεν αὐτὴν τὴν ἐπανόρθωσιν. Διότι ἂν ὁ Εὐαγγελιστὴς φοβῆται, μήπως εἰς τοὺς λόγους τοῦ Ἰησοῦ ἰσχωρήσῃ καμμία ὑποψία, θὰ ὑπωψιάζετο πολὺ περισσότερον ἐκεῖνα ποὺ θὰ ἔλεγαν ἄλλοι περὶ αὐτοῦ, ἐὰν δὲν ἔβλεπεν ὅτι ἐπεκράτει ἡ ἁρμόζουσα γνώμη περὶ αὐτοῦ. Ἀλλ' ὅμως δὲν τὸ ἔκαμεν αὐτό· διότι ἐγνώριζεν ὅτι ἡ γνώμη του ἦτο αὐτὴ καὶ ὅτι ἡ ἀπόφασίς του ἦτο ἀμετακίνητος. Δι' αὐτό, ἀφοῦ ὁ Εὐαγγελιστὴς εἶπεν «Ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν», δὲν ἐχρειάσθη καμμίαν τοιαύτην ἐπανόρθωσιν. Διότι ἡ γνώμη των δὲν εἶχε διαφθαρῇ, ἀλλ' ἦτο ἐπιβεβαιωμένη μὲ τὰ ἔργα του.

Ὅταν λοιπὸν ἠρωτήθῃ ὁ Φίλιππος, «Λέγει ὁ Ἀνδρέας, ὁ ἀδελφὸς τοῦ Σίμωνος Πέτρου· Ὑπάρχει ἐδῶ ἕνα παιδὶ, ποὺ ἔχει πέντε κριθαρένους ἄρτους καὶ δύο ψάρια. Ἀλλὰ τί νὰ κάμουν αὐτὰ εἰς τόσους πολλούς»; Λεπτότερον ἀπὸ τὸν Φίλιππον σκέπτεται ὁ Ἀνδρέας, ἀλλ' ὅμως δὲν κατενόησε τὰ πάντα. Νομίζω μάλιστα, ὅτι αὐτὸ δὲν τὸ εἶπε χωρὶς αἰτίαν, ἀλλ' ἐπειδὴ εἶχεν ἀκούσει διὰ τὰ θαύματα τῶν Προφητῶν καὶ πῶς ὁ Ἐλισσαῖος ἔκαμε τὸ θαῦμα μὲ τοὺς ἄρτους. Διὰ τοῦτο ὁ Ἀνδρέας ἀνῆλθε μὲν εἰς τὸ ὕψωμα, δὲν κατώρθωσεν ὅμως νὰ φθάσῃ εἰς τὴν κορυφήν.

Ἂς διδαχθῶμεν ἀπ' ἐδῶ ὅσοι ἔχομεν τὸν νοῦν μας εἰς τὴν πολυτέλειαν, τί ἔτρωγαν οἱ μεγάλοι καὶ ἀξιωθαύμαστοι ἐκεῖνοι ἄνδρες, ἂς ἴδωμεν καὶ κατὰ τὴν ποσότητα τῶν ἐδεσμάτων καὶ κατὰ τὴν ποιότητα τὴν λιτότητα τῆς τραπέζης των καὶ ἂς τοὺς μιμηθῶμεν. Τὰ ὅσα ἀκολουθοῦν

ἑξῆς τούτων πολλῆς ἀσθενείας. Μετὰ γὰρ τὸ εἰπεῖν, «Ἔχει πέντε ἄρτους κριθίνους», ἐπήγαγεν· «Ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;». Ἐνόμιζε γὰρ ὅτι ἀπὸ μὲν ἐλαττόνων ἐλάττονα, ἀπὸ δὲ πλειόνων πλείονα ἔμελλε ποιεῖν ὁ θαυματουργῶν· ὅπερ οὐκ ἦν. Ὁμοίως γὰρ ἦν αὐτῷ εὔκολον ἀπό τε πλειόνων, ἀπό τε ἐλαττόνων ποιῆσαι πηγάσαι τῶν ἄρτων τὴν φύσιν.

Οὐ γὰρ ὕλης ἐδεῖτο τῆς ὑποκειμένης· ἀλλ' ὥστε μὴ δόξαι τὴν κτίσιν ἀλλοτρίαν εἶναι τῆς αὐτοῦ σοφίας, ὡς οἱ μετὰ ταῦτα διαβάλλοντες οἱ τὰ Μαρκίωνος νοσήσαντες ἔλεγον, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν θαυμάτων. Ἐπεὶ οὖν ἀπέγνωσαν ἀμφότεροι οἱ μαθηταί, τότε θαυματουργεῖ λοιπόν· οὕτω γὰρ μᾶλλον ἐκέρδαναν, πρότερον ὁμολογήσαντες τοῦ πράγματος τὴν δυσκολίαν, ἵνα ὅταν γένηται, μάθωσι τοῦ Θεοῦ τὴν δύναμιν. Ἐπειδὴ γὰρ γίνεσθαι σημεῖον ἔμελλε τὸ καὶ προφήταις κατορθωθέν, εἰ καὶ μὴ ὁμοίως, ἔμελλε δὲ καὶ εὐχαριστήσας αὐτὸ πρότερον ποιεῖν· ἵνα μὴ εἰς ἀσθενῆ τινα καταπέσωσιν ὑπόνοιαν, ὅρα πῶς αὐτὸ καὶ τῷ τρόπῳ διὰ πάντων ἐπῆρε καὶ τὴν διαφορὰν ἔδειξεν. Οὔπω γὰρ τῶν ἄρτων φανέντων, τὸ θαῦμα ποιεῖ, ἵνα μάθῃς ὅτι τὰ μὴ ὄντα ὡς ὄντα αὐτῷ ὑφέστηκε, καθάπερ ὁ Παῦλός φησιν· «Ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα». Ὡς ἑτοίμου γὰρ καὶ παρεσκευασμένης τῆς τραπέζης, ἐκέλευσεν αὐτοὺς εὐθέως ἀναπεσεῖν. Οὕτω καὶ διὰ τούτου τὴν διάνοιαν τῶν μαθητῶν ἀνέστησεν.

Ὅτι δὲ καὶ ἐκέρδαναν ἀπὸ τῆς ἐρωτήσεως, εὐθέως ὑπήκουσαν, καὶ οὐκ ἐθορυβήθησαν, οὐδὲ εἶπον τί ποτε τοῦτό ἐστι; πῶς κελεύεις ἀναπεσεῖν, οὐδενὸς ἐν τῷ μέσῳ φαινομένου; Οὕτω καὶ πρὸ τῆς ὄψεως τοῦ σημείου πιστεύειν ἤρξαν-

---

9. Ρωμ. 4, 17.

φανερώνουν μεγάλην πνευματικὴν ἀδυναμίαν. Διότι, ἀφοῦ ὁ Ἀνδρέας εἶχεν εἰπεῖ, «Ἔχει πέντε κριθαρένιους ἄρτους», ἔπειτα ἐπρόσθεσεν· «Ἀλλὰ τί νὰ κάμουν αὐτὰ εἰς τόσους πολλούς». Διότι ἐνόμιζεν ὅτι ὁ δημιουργὸς τῶν θαυμάτων ἐπρόκειτο νὰ κάμῃ ἀπὸ τὰ ὀλιγώτερα ὀλιγώτερα καὶ ἀπὸ τὰ περισσότερα περισσότερα. Ἀλλὰ δὲν ἦτο ἔτσι. Διότι ἦτο ἐξ ἴσου εὔκολον εἰς αὐτὸν νὰ κάμῃ μεγάλην ἀφθονίαν ἄρτων καὶ ἀπὸ τὰ περισσότερα καὶ ἀπὸ τὰ ὀλιγώτερα.

Διότι δὲν εἶχεν ἀνάγκην τῆς ὑποκειμένης ὕλης, ἀλλὰ διὰ νὰ μὴ θεωρηθῇ ὅτι ἡ δημιουργία ἦτο ξένη πρὸς τὴν ἰδικήν του σοφίαν, πρᾶγμα ποὺ μὲ τὰς συκοφαντίας των ὑπεστήριζον οἱ νοσηροὶ ὀπαδοὶ τοῦ Μαρκίωνος, χρησιμοποιεῖ τὴν ἰδίαν τὴν δημιουργίαν· διὰ τὴν τέλεσιν τῶν θαυμάτων. Ὅταν λοιπὸν καὶ οἱ δύο μαθηταὶ ἔπαυσαν νὰ ἐλπίζουν, τότε ἀκριβῶς κάμνει τὸ θαῦμα. Διότι κατ' αὐτὸν τὸν τρόπον ὠφελοῦντο περισσότερον, νὰ παραδέχωνται πρῶτα τὴν δυσκολίαν τοῦ πράγματος διὰ νὰ γνωρίσουν, ὅταν γίνῃ, τὴν δύναμιν τοῦ Θεοῦ. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ γίνῃ τὸ θαῦμα, τὸ ὁποῖον εἶχε τελεσθῇ καὶ ἀπὸ τοὺς Προφήτας, ἂν καὶ ὄχι μὲ τὸν ἴδιον τρόπον καὶ ἐπρόκειτο νὰ εὐχαριστήσῃ τὸν Θεὸν πρὶν τὸ κάμῃ, διὰ νὰ μὴ πέσουν εἰς κάποιαν ἀδύνατον ὑποψίαν, πρόσεχε πῶς καὶ μὲ ποῖον τρόπον αἰχμαλωτίζει ὅλων τὰς σκέψεις καὶ ἀπέδειξε τὴν διαφοράν. Διότι κάμνει τὸ θαῦμα, πρὶν φανοῦν ἀκόμη οἱ ἄρτοι, διὰ νὰ καταλάβῃς ὅτι ὅσα δὲν ὑπῆρχον εἶχον ὑποταχθῆ εἰς αὐτὸν ὡς νὰ ὑπῆρχον, καθὼς λέγει ὁ Παῦλος «ὁ ὁποῖος καλεῖ ὅ,τι δὲν ὑπάρχει σὰν νὰ ὑπῆρχε»*. Συνέστησεν εἰς τοὺς ἀνθρώπους νὰ καθήσουν, σὰν νὰ ἦτο τὸ τραπέζι ἕτοιμον καὶ στρωμένον. Καὶ μὲ αὐτὸν ἐπίσης τὸν τρόπον διήγειρε τὸν νοῦν τῶν μαθητῶν.

Ὅτι ὅμως εἶχον ὠφεληθῆ ἀπὸ τὴν ἐρώτησιν, ἀποδεικνύεται ἀπὸ τὸ ὅτι ὑπήκουσαν ἀμέσως καὶ δὲν ἐταράχθησαν, οὔτε εἶπαν· τί εἶναι αὐτό; πῶς συνιστᾷς νὰ καθήσουν κάτω, χωρὶς νὰ ἔχῃ φανῇ εἰς τὸ μεταξὺ τίποτε; Ἔτσι ἤρχισαν

το οἱ παρὰ τὴν ἀρχὴν τοσοῦτον ἀποστήσαντες ὡς εἰπεῖν, «Πόθεν ἀγοράσομεν ἄρτους;» ὅτι καὶ μετὰ προθυμίας ἀνέκλιναν τοὺς ὄχλους. Ἀλλὰ τί δήποτε τὸν παραλυτικὸν μέλλων ἀνορθοῦν οὐκ εὔχεται, οὐδὲ τὸν νεκρὸν ἐγείρων, οὐδὲ τὴν θάλατταν χαλινῶν· ἐνταῦθα δὲ ἐπὶ τῶν ἄρτων τοῦτο ποιεῖ; Δεικνὺς ὅτι τοὺς τροφῆς ἀρχομένους εὐχαριστεῖν δεῖ τῷ Θεῷ. Καὶ ἄλλως δέ, ἐπὶ τῶν ἐλαττόνων αὐτὸ μάλιστα ἐργάζεται, ἵνα μάθῃς ὅτι οὐ δεόμενος αὐτὸ ποιεῖ. Εἰ γὰρ δεόμενος, πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων ἂν αὐτὸ ἐποίησεν. Ὁ δὲ ἐκεῖνα αὐθεντίᾳ ποιήσας, εὔδηλον ὅτι καὶ ταῦτα συγκαταβατικῶς ἔπραττεν.

3. Ἔτι τε καὶ ὅτι ὄχλος πολὺς ἦν παρών, καὶ ἐχρῆν αὐτοὺς πεισθῆναι, ὅτι κατὰ γνώμην Θεοῦ παρεγένετο. Διὰ τοῦτο ὅσον μὲν μόνος ποιῇ τι σημεῖον, οὐδὲν τοιοῦτον ἐπιδείκνυται· ὅταν δὲ ἐπὶ πολλῶν αὐτὸ ποιῇ, ὥστε πιστεῦσαι αὐτοὺς ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, οὐδὲ ἐναντίος τῷ γεγεννηκότι, διὰ τῆς εὐχαριστίας ἀναιρεῖ τὴν ὑποψίαν. «Καὶ ἔδωκε τοῖς ἀνακειμένοις, καὶ ἐνεπλήσθησαν». Εἶδες πόσον δούλου καὶ δεσπότου τὸ μέσον; Ἐκεῖνοι μὲν γὰρ ἐκ μέτρου ἔχοντες τὴν χάριν, οὕτως ἐθαυματούργουν· ὁ δὲ Θεὸς ἀπολελυμένῃ δυνάμει ποιῶν, μετὰ πολλῆς ἅπαντα εἰργάζετο τῆς περιουσίας.

«Καὶ εἶπε τοῖς μαθηταῖς· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα. Οἱ δὲ συνήγαγον, καὶ ἐγέμισαν δώδεκα κοφίνους». Οὐκ ἐπίδειξις ἦν τοῦτο περιττή, ἀλλ' ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ πρᾶγμα· διὰ δὴ τοῦτο καὶ ἐξ ὑποκειμένης ὕλης δημιουργεῖ. Τίνος δὲ ἕνεκεν οὐ τοῖς ὄχλοις ἔδωκεν βαστάσαι, ἀλλὰ τοῖς μαθηταῖς; Ὅτι μάλιστα

νὰ πιστεύουν, πρὶν ἰδοῦν τὸ θαῦμα, αὐτοὶ ποὺ εἰς τὴν ἀρχὴν τόσον πολὺ δὲν ἐπίστευσαν, ὥστε νὰ ἐρωτήσουν· «Ἀπὸ ποῦ θὰ ἀγοράσωμεν ἄρτους;». Ἐπὶ πλέον μὲ προθυμίαν ἔβαλαν τὸν κόσμον νὰ καθήσῃ κάτω. Ἀλλὰ διατί δὲν προσεύχεται, ὅταν πρόκειται νὰ σηκώσῃ τὸν παραλυτικόν, οὔτε ὅταν ἀνασταίνῃ τὸν νεκρόν, οὔτε ὅταν γαληνεύῃ τὴν θάλασσαν, κάμνει ὅμως αὐτὸ εἰς τὴν περίπτωσιν τῶν ἄρτων; Διὰ νὰ δείξῃ, ὅτι, ὅταν ἀρχίζωμεν νὰ τρώγωμεν, πρέπει νὰ εὐχαριστοῦμεν τὸν Θεόν. Ἄλλωστε καὶ διὰ πολὺ μικρότερα θαύματα προσεύχεται, διὰ νὰ μάθῃς ὅτι δὲν τὸ κάμνει ἀπὸ ἀνάγκην. Διότι, ἂν εἶχεν ἀνάγκην, θὰ ἔκαμνε τοῦτο διὰ μεγαλύτερα θαύματα. Ἐκεῖνος δὲ ποὺ ἐτέλεσεν αὐτὰ μὲ πλήρη ἐξουσίαν, εἶναι ὁλοφάνερον ὅτι δὲν ἠμποροῦσε νὰ κάμῃ αὐτὰ εἰς τὴν παροῦσαν περίπτωσιν παρὰ μόνον κατὰ συγκατάβασιν.

3. Ἐπὶ πλέον, ὑπῆρχε καὶ πολὺς κόσμος καὶ ἔπρεπε νὰ πεισθῇ, ὅτι ἦλθε μὲ τὴν θέλησιν τοῦ Θεοῦ. Διὰ τοῦτο, ὅταν κάμνῃ κάποιο θαῦμα μόνος του, δὲν χρησιμοποιεῖ παρόμοιον τρόπον. Ὅταν ὅμως κάμνῃ θαῦμα ἐνώπιον πολλῶν χρησιμοποιεῖ τοῦτο, ὥστε νὰ πιστεύσουν ὅτι δὲν εἶναι κάποιος ἐχθρὸς τοῦ Θεοῦ, οὔτε ἀντίθετος πρὸς τὸν Πατέρα καὶ διὰ τῆς προσευχῆς ἀναιρεῖ τὴν ὑποψίαν. «Καὶ ἐμοίρασεν εἰς τοὺς καθισμένους καὶ ἐχόρτασαν». Εἶδες διαφορὰν μεταξὺ δούλου καὶ κυρίου; Διότι οἱ μὲν μαθηταὶ ἔχοντες μὲ μέτρον τὴν χάριν ἔκαμνον θαύματα, ὁ δὲ Θεὸς ἔχων ἀπόλυτον ἐξουσίαν, ἔκαμεν ὅλα τὰ θαύματα μὲ πλήρη αὐθεντίαν.

«Καὶ εἶπεν εἰς τοὺς μαθητάς· «Μαζεύσετε τὰ κομμάτια ποὺ ἐπερίσσευσαν». Αὐτοὶ δὲ τὰ ἐμάζευσαν καὶ ἐγέμισαν δώδεκα κοφίνια». Αὐτὸ δὲν ἦτο περιττὴ ἐπίδειξις, ἀλλ' ἔγινε διὰ νὰ μὴ νομισθῇ ὅτι τὸ γεγονὸς ἦτο φανταστικόν. Δι' αὐτὸ ὁ Χριστὸς δημιουργεῖ καὶ ἀπὸ τὴν ὕλην ποὺ ἔχει εἰς τὴν ἐξουσίαν του. Διατί ὅμως δὲν ἔδωσεν ἐντολὴν εἰς τοὺς ἀνθρώπους νὰ κάμουν αὐτὴν τὴν ἐργασίαν, ἀλλὰ εἰς τοὺς

τούτους παιδεῦσαι ἠβούλετο τοὺς μέλλοντας εἶναι διδασκάλους τῆς οἰκουμένης. Τὸν μὲν γὰρ πλῆθος οὐδὲν μέγα ἔμελλε καρπώσασθαι ἐκ τῶν θαυμάτων τέως· εὐθέως γοῦν ἐπελανθάνοντο αὐτοί, καὶ ᾔτουν ἕτερον θαῦμα· οὗτοι δὲ οὐ τὰ τυχόντα κερδαίνειν ἔμελλον. Ἦν δὲ καὶ τῷ Ἰούδᾳ κατάκριμα τὸ γινόμενον οὐ τὸ τυχόν, βαστάζοντι τὸν κόφινον. Ὅτι δὲ τῆς αὐτῶν παιδεύσεως ἕνεκεν ταῦτα ἐγένετο, ἐκ τοῦ εἰρημένου ὕστερον δῆλον, οὗπερ ἀνέμνησεν αὐτοὺς λέγων· «Οὔπω νοεῖτε πόσους κοφίνους ἐλάβετε;». Καὶ τὸ ἰσαρίθμους εἶναι τοῖς μαθηταῖς τοὺς κοφίνους τῶν λειψάνων, τῆς αὐτῆς ἕνεκεν αἰτίας γέγονεν. Ὕστερον δὲ ἐπειδὴ ἐπαιδεύθησαν, οὐκ ἔτι τοσούτους, ἀλλὰ σπυρίδας ἑπτά.

Ἐγὼ δὲ οὐ τὸ πλῆθος θαυμάζω τῶν γεγονότων ἄρτων μόνον, ἀλλὰ μὴν μετὰ τοῦ πλήθους καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύματος, ὅτι οὔτε πλεῖον οὔτε ἔλαττον ἐποίησε περισσευθῆναι, ἀλλὰ τοσοῦτον ὅσον ἐβούλετο, προειδὼς πόσα ἀναλώσουσιν· ὅπερ ἀφάτου δυνάμεως ἦν. Ἐπιστοῦτο μὲν οὖν τὰ κλάσματα τὸ γεγονός, ἀμφότερα ἐμφαίνοντα, καὶ ὅτι οὐ φαντασία τις ἦταν τὰ γεγενημένα καὶ ὅτι ἐξ ἐκείνων ἦν ὧν ἐτράφησαν. Τὸ δὲ τῶν ἰχθύων, τότε μὲν ὑποκειμένων ἐγένετο· ὕστερον δὲ μετὰ τὴν ἀνάστασιν, οὐκ ἔτι ἐξ ὕλης ὑποκειμένης. Τίνος ἕνεκεν; Ἵνα μάθῃς ὅτι καὶ νῦν τῇ ὕλῃ ἐκέχρητο, οὐ δι' ἔνδειαν, οὐδὲ δεόμενος ὑποβάθρας, ἀλλ' ὥστε τὰ τῶν αἱρετικῶν ἐμφράξαι στόματα. «Οἱ δὲ ὄχλοι ἔλεγον, ὅτι Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης». Ὢ γαστριμαργίας ὑπερβολή· μυρία τούτων εἰργάσατο θαυμαστότερα

---

10. Ματθ. 16, 9.
11. Αὐτόθι 15, 57.

μαθητάς; Διότι ἤθελε νὰ παιδαγωγήσῃ πρὸ παντὸς αὐτούς, οἱ ὁποῖοι ἐπρόκειτο νὰ γίνουν διδάσκαλοι τῆς οἰκουμένης. Διότι ὁ πολὺς κόσμος δὲν ἐπρόκειτο νὰ ὠφεληθῇ τίποτε τὸ σπουδαῖον ἀπὸ τὰ θαύματα πλέον. Διότι οἱ ἄνθρωποι ἐλησμόνουν ταχέως καὶ ἐζήτουν ἄλλο θαῦμα. Αὐτοὶ ὅμως ἐπρόκειτο νὰ ἔχουν ὄχι τυχαίας ὠφελείας. Δὲν ἦτο δὲ καὶ τυχαία ἡ τιμωρία ποὺ ἔγινεν εἰς τὸν Ἰούδαν, τὸ ὅτι δηλαδὴ ἐβάσταζε τὸ κοφίνι. Ὅτι δὲ αὐτὰ ἔγιναν μὲ σκοπὸν τὴν διαπαιδαγώγησίν των, ἀπεδείχθη ἀπὸ ἐκεῖνο ποὺ ἐλέχθη ἀργότερα καὶ τὸ ὁποῖον ὁ Χριστὸς τοὺς τὸ ὑπενθύμισε λέγων· «Δὲν γνωρίζετε πόσα κοφίνια ἐπήρατε;»[10]. Καὶ τὸ ὅτι οἱ μαθηταὶ ἦσαν ἴσοι μὲ τὸν ἀριθμὸν τῶν περισσευμάτων τῶν κοφινιῶν, ἔγινε διὰ τὴν ἰδίαν αἰτίαν. Ἔπειτα ὅμως, ἀφοῦ ἐξεπαιδεύθησαν, δὲν ἐσήκωσαν μόνον αὐτά, ἀλλὰ ἑπτὰ γεμᾶτα καλάθια[11].

Ἐγὼ ὅμως δὲν θαυμάζω μόνον τὴν ἀφθονίαν τῶν ἄρτων ποὺ ἔγιναν, ἀλλὰ μαζὶ μὲ τὴν ἀφθονίαν καὶ τὴν ἀκρίβειαν τοῦ ἀριθμοῦ τῶν κομματιῶν ποὺ ἐπερίσσευσαν, ὅτι δηλαδὴ ἔκαμε νὰ μὴ περισσεύσουν οὔτε περισσότερα οὔτε ὀλιγώτερα, ἀλλὰ τόσον, ὅσον ἤθελε, ἐπειδὴ προέβλεψε πόσα θὰ καταναλώσουν. Καὶ αὐτὸ εἶναι ἀπόδειξις ἀναμφισβητήτου δυνάμεως. Τὸ θαῦμα λοιπὸν ἐπεβεβαίωναν τὰ κομμάτια τοῦ ἄρτου, ποὺ ἐσήμαιναν καὶ τὰ δύο: καὶ ὅτι αὐτὰ ποὺ ἔγιναν δὲν ἦσαν φανταστικὰ καὶ ὅτι τὰ κομμάτια εἶχαν περισσεύσει ἀπὸ ἐκείνους ποὺ ἔφαγαν. Τὸ δὲ θαῦμα τῶν ἰχθύων εἰς αὐτὴν ἐδῶ τὴν περίπτωσιν ἔγινεν ἀπὸ τοὺς ἰχθῦς ποὺ τοῦ ἐδόθησαν, ὕστερα ὅμως μετὰ τὴν Ἀνάστασίν του δὲν ἔγινε πλέον ἀπὸ τὴν προηγουμένην ὕλην. Διατί αὐτὴ ἡ διαφορά; Διὰ νὰ μάθῃς, ὅτι καὶ τώρα ἐχρησιμοποίησε τὴν ὕλην ὄχι ἀπὸ ἔλλειψιν, οὔτε διότι εἶχεν ἀνάγκην θεμελιώσεως, ἀλλὰ διὰ νὰ βουλώσῃ τὰ στόματα τῶν αἱρετικῶν. «Οἱ δὲ ἄνθρωποι ἔλεγαν· Αὐτὸς εἶναι ἀληθινὰ ὁ προφήτης». Ὢ ὑπερβολικὴ γαστριμαργία. Εἶχε κάμει ἄπειρα, ποὺ ἦσαν ἀξιοθαυμαστότερα τούτων, ἀλλὰ πουθενὰ δὲν

καὶ οὐδαμοῦ τοῦτο ὡμολόγησαν, ἀλλ' ὅτε ἐνεπλήσθησαν.

Ἄρα ἐκ τούτου δῆλον, ὅτι προφήτην τινὰ προσεδόκων ἐξαίρετον. Καὶ γὰρ ἐκεῖνοι ἔλεγον· «Σὺ εἶ ὁ προφήτης;»· καὶ οὗτοι· «Οὗτός ἐστιν ὁ προφήτης. Ὁ γοῦν Ἰησοῦς, γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτόν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησεν εἰς τὸ ὄρος». Βαβαὶ πόση τῆς γαστριμαργίας ἡ τυραννίς! πόση τῆς γνώμης ἡ εὐκολία! οὐκ ἔτι αὐτοῖς τῆς τοῦ Σαββάτου παραβάσεως μέλει· οὐκ ἔτι ζηλοῦσιν ὑπὲρ Θεοῦ, ἀλλὰ πάντα ἔρριπτο, τῆς γαστρὸς αὐτοῖς ἐμπλησθείσης. Καὶ προφήτης ἦν παρ' αὐτοῖς, καὶ βασιλέα χειροτονεῖν ἔμελλον· ὁ δὲ Χριστὸς φεύγει. Τί δήποτε; Παιδεύων ἡμᾶς τῶν κοσμικῶν καταφρονεῖν ἀξιωμάτων, καὶ δεικνὺς ὅτι οὐδενὸς δεῖται τῶν ἐπὶ τῆς γῆς.

Ὁ γὰρ πάντα εὐτελῆ ἐπιλεξάμενος, καὶ μητέρα καὶ οἰκίαν καὶ πόλιν καὶ ἀνατροφὴν καὶ ἱματίων στολήν, οὐκ ἔμελλεν ὕστερον ἀπὸ τῶν ἐν τῇ γῇ φαίνεσθαι. Τὰ μὲν γὰρ ἀπὸ τῶν οὐρανῶν, λαμπρά τε ἦν καὶ μεγάλα, ἄγγελοί τε καὶ ἀστὴρ καὶ Πατὴρ βοῶν καὶ Πνεῦμα μαρτυροῦν καὶ προφῆται πόρρωθεν ἀνακηρύττοντες· τὰ δὲ ἐν τῇ γῇ πάντα εὐτελῆ, ἵνα καὶ οὕτω μειζόνως ἡ δύναμις φαίνηται. Ἦλθε δὲ καὶ παιδεύων ἡμᾶς καταφρονεῖν τῶν ἐνταῦθα, καὶ μηδαμοῦ τεθηπέναι μηδὲ ἐκπλήττεσθαι τὰ τοῦ βίου λαμπρά, ἀλλὰ καταγελᾶν ἁπάντων τούτων καὶ τῶν μελλόντων ἐρᾶν. Ὁ γὰρ τὰ ἐνταῦθα θαυμάζων, οὐ θαυμάσεται τὰ ἐν τοῖς οὐρανοῖς. Διὰ τοῦτο καὶ τῷ Πιλάτῳ ἔλεγεν· «Ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐντεῦθεν», ἵνα μὴ δόξῃ λοιπὸν ἀνθρωπίνῳ φόβῳ καὶ δυναστείᾳ πρὸς τὸ πείθειν ἀποκεχρῆσθαι. Πῶς οὖν εἶπεν ὁ προφήτης· «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι

---

12. Ἰω. 18, 36.

ὡμολόγησαν τοῦτο παρὰ μόνον ἀφοῦ ἐχόρτασαν.

Ἑπομένως καὶ ἀπὸ αὐτὸ εἶναι φανερόν, ὅτι ἐπερίμενον κάποιον διάσημον προφήτην. Διότι οἱ Ἰουδαῖοι τὸν ἠρώτων· «Σὺ εἶσαι ὁ προφήτης;». Καὶ αὐτοὶ ἐδῶ ἔλεγαν, «Αὐτὸς εἶναι ὁ Προφήτης. Ὁ Ἰησοῦς λοιπὸν ἐπειδὴ ἀντελήφθη, ὅτι πρόκειται νὰ ἔλθουν καὶ νὰ τὸν ἁρπάξουν διὰ νὰ τὸν κάμουν βασιλέα, ἔφυγε πάλιν εἰς τὸ ὄρος». Ἀλλοίμονον, πόσον μεγάλη εἶναι ἡ τυραννὶς τῆς γαστριμαργίας! Πόση ἡ εὐκολία ἀλλαγῆς γνώμης τῶν Ἰουδαίων! Δὲν ἐνδιαφέρονται πλέον αὐτοὶ διὰ τὴν παράβασιν τῆς ἀργίας τοῦ Σαββάτου, οὔτε ἔχουν ζῆλον διὰ τὸν Θεόν, ἀλλ' ἀφοῦ ἐγέμισαν τὴν κοιλίαν των, τὰ ἀπέρριψαν ὅλα. Καὶ Προφήτης ἦτο πλέον δι' αὐτοὺς καὶ βασιλέα ἤθελαν νὰ τὸν στέψουν. Ἀλλ' ὁ Χριστὸς φεύγει. Διατί; Διὰ νὰ μᾶς διδάξῃ νὰ περιφρονῶμεν τὰ κοσμικὰ ἀξιώματα καὶ διὰ ν' ἀποδείξῃ, ὅτι δὲν ἔχει ἀνάγκην κανενὸς ἀπὸ τὰ ἐπίγεια.

Διότι αὐτὸς ποὺ ἐπέλεξε τὰ πλέον ἀσήμαντα καὶ ὡς πρὸς τὴν μητέρα καὶ ὡς πρὸς τὴν οἰκίαν καὶ ὡς πρὸς τὴν πόλιν καὶ ὡς πρὸς τὴν ἀνατροφὴν καὶ ὡς πρὸς τὴν ἐνδυμασίαν, δὲν ἐνδιεφέρετο νὰ διακριθῇ ἀπὸ τὰ ἐπίγεια. Διότι τὰ ἐπουράνια ἦσαν λαμπρὰ καὶ σπουδαῖα, ὅπως ἄγγελοι καὶ ἀστήρ, Πατὴρ ἐκβάλλων φωνὴν καὶ Πνεῦμα δῖδον μαρτυρίαν καὶ Προφῆται προαναγγέλλοντες αὐτὸν ἀπὸ μακροῦ χρόνου. Τὰ ἐπίγεια ὅμως ἦσαν ὅλα εὐτελῆ, διὰ νὰ φαίνεται μεγαλυτέρα ἡ δύναμίς του. Ἦλθε λοιπὸν διὰ νὰ μᾶς διδάξῃ νὰ περιφρονῶμεν τὰ ἐπίγεια, νὰ μὴ θαυμάζωμεν καὶ νὰ μὴ ἐκπληττώμεθα ἀπὸ τὴν λαμπρότητα τῆς παρούσης ζωῆς, ἀλλὰ νὰ περιφρονῶμεν ὅλα αὐτὰ καὶ νὰ ἐπιθυμῶμεν τὰ μέλλοντα. Διότι ἐκεῖνος ποὺ θαυμάζει τὰ ἐπίγεια, δὲν θὰ θαυμάσῃ τὰ ἐπουράνια. Δι' αὐτὸ ὁ Χριστὸς ἔλεγεν εἰς τὸν Πιλᾶτον· «Ἡ ἰδική μου βασιλεία δὲν εἶναι ἀπὸ τὸν κόσμον τοῦτον»[12], διὰ νὰ μὴ φανῇ ὅτι χρησιμοποιεῖ τὸν ἀνθρώπινον φόβον καὶ τὴν δύναμιν τῆς πειθοῦς. Διατί λοιπὸν ὁ Προφήτης εἶχεν εἰπεῖ, «Ἰδές, ἔρχεται ὁ βασιλεύς σου

πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον»; Ὅτι βασιλείαν ἐκείνην λέγει, τὴν ἐν τοῖς οὐρανοῖς, ἀλλ' οὐχὶ ταύτην. Διὰ δὴ τοῦτο πάλιν ἔλεγε· «Δόξαν παρὰ ἀνθρώπου οὐ λαμβάνω».

4. Μάθωμεν τοίνυν, ἀγαπητοί, τῆς τιμῆς τῆς παρὰ ἀνθρώποις καταφρονεῖν καὶ μὴ ἐφίεσθαι. Τετιμήμεθα γὰρ τιμὴν μεγίστην καὶ πρὸς ἣν αὕτη παραβαλλομένη, ὕβρις καὶ γέλως καὶ κωμῳδία ὄντως ἐστίν· ὥσπερ οὖν καὶ ὁ πλοῦτος οὗτος πρὸς ἐκεῖνον πενία, καὶ ἡ ζωὴ αὕτη χωρὶς ἐκείνης νέκρωσις («Ἄφες», φησί, «τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς»)· οὕτω καὶ ἡ δόξα αὕτη πρὸς ἐκείνην αἰσχύνη καὶ γέλως ἐστί. Μὴ τοίνυν αὐτὴν διώκωμεν. Εἰ γὰρ οἱ παρέχοντες αὐτὴν σκιᾶς καὶ ὀνείρων εἰσὶν εὐτελέστεροι, πολλῷ μᾶλλον αὐτὴ ἡ δόξα· «Δόξα γὰρ ἀνθρώπου ὡς ἄνθος χόρτου». Τί δὲ ἄνθους χόρτου εὐτελέστερον γένοιτ' ἄν; Εἰ δὲ καὶ μόνιμος ἦν, τί τὴν ψυχὴν ὠφελῆσαι ἴσχυσεν ἄν; Οὐδέν· ἀλλὰ καὶ καταβλάπτει τὰ μέγιστα, δούλους ποιοῦσα, δούλους ἀργυρωνήτων χείρους, δούλους οὐχ ἑνὶ δεσπότῃ μόνον, ἀλλὰ καὶ δυσὶ καὶ τρισὶ καὶ μυρίοις διάφορα ἐπιτάττουσιν ὑπακούοντας.

Πόσῳ βέλτιον ἐλεύθερον εἶναι, ἢ δοῦλον, ἐλεύθερον μὲν τῆς τῶν ἀνθρώπων δουλείας, δοῦλον δὲ τῆς τοῦ Θεοῦ δεσποτείας; Ὅλως δὲ εἰ βούλει δόξης ἐρᾶν, ἔρα δόξης, ἀλλὰ τῆς ἀθανάτου. Καὶ γὰρ λαμπρότερον αὐτῆς τὸ θέατρον, καὶ μεῖζον τὸ κέρδος. Οὗτοι μὲν γάρ σε κελεύουσι δαπανώμενον ἀρέσκειν αὐτοῖς· ὁ δὲ Χριστὸς τοὐναντίον ἅπαν. Καὶ γὰρ

---

13. Ζαχ. 9, 9.
14. Ματθ. 8, 22.
15. Ἠσ. 40, 6.
16. Α΄ Πέτρ. 1, 24.

γεμᾶτος πρᾳότητα καὶ ἀνεβασμένος ἐπάνω εἰς πῶλον ὄνου»[13]; Διότι ἐννοεῖ ἐκείνην τὴν βασιλείαν, τὴν ἐπουράνιον καὶ ὄχι αὐτὴν ἐδῶ. Δι' αὐτὸ ἔλεγε πάλιν, «Τιμὰς ἀπὸ ἄνθρωπον δὲν δέχομαι».

4. Ἂς μάθωμεν λοιπόν, ἀγαπητοί μου, νὰ περιφρονοῦμεν καὶ νὰ μὴ ἐπιθυμοῦμεν τὰς τιμὰς ποὺ προέρχεται ἀπὸ τοὺς ἀνθρώπους. Διότι ἔχομεν τιμηθῆ μὲ μεγίστην τιμήν, μὲ τὴν ὁποίαν ἂν συγκρίνωμεν ταύτην, θὰ ἰδοῦμεν ὅτι πράγματι εἶναι ὕβρις, γέλως καὶ κωμωδία. Ἔτσι καὶ ὁ ἐπίγειος πλοῦτος ἂν συγκριθῇ μὲ τὸν οὐράνιον εἶναι φτώχεια καὶ ἡ παροῦσα ζωὴ χωρὶς τὴν μέλλουσαν εἶναι νέκρωσις («Ἄφησε», λέγει, «τοὺς νεκροὺς νὰ θάψουν τοὺς ἰδικούς των νεκρούς»[14]). Ἔτσι καὶ ἡ παροῦσα δόξα ἐν σχέσει πρὸς ἐκείνην εἶναι αἰσχύνη καὶ περίγελως. Ἂς μὴ τὴν ἐπιδιώκωμεν λοιπόν. Διότι, ἐὰν ἐκεῖνοι ποὺ παρέχουν αὐτὴν τὴν δόξαν εἶναι περισσότερον ἀσήμαντοι ἀπὸ τὴν σκιὰν καὶ τὸ ὄνειρον, πολὺ ὀλιγώτερον εἶναι ἡ ἰδίᾳ ἡ δόξα. «Διότι ἡ δόξα τοῦ ἀνθρώπου εἶναι σὰν ἄνθος χόρτου»[15]. Διότι, τί περισσότερον ταπεινὸν ὑπάρχει ἀπὸ τὸ ἄνθος τοῦ χόρτου;[16] Ἀλλὰ καὶ ἂν ἀκόμη ἦτο σταθερά, εἰς τί θὰ ἠμποροῦσε νὰ ὠφελήσῃ τὴν ψυχήν; Ὄχι μόνον δὲν τὴν ὠφελεῖ καθόλου, ἀλλὰ καὶ τὴν βλάπτει πάρα πολύ, διότι κάμνει τοὺς ἀνθρώπους δούλους καὶ μάλιστα δούλους χειροτέρους ἀπὸ τοὺς ἀγορασμένους δούλους ποὺ ὑπακούουν εἰς διαφόρους διαταγὰς ὄχι μόνον ἑνὸς κυρίου, ἀλλὰ δύο, τριῶν καὶ χιλιάδων ἄλλων.

Πόσον εἶναι προτιμότερον νὰ εἶναι κανεὶς ἐλεύθερος παρὰ δοῦλος, ἐλεύθερος μὲν ἀπὸ τὴν δουλείαν τῶν ἀνθρώπων, δοῦλος δὲ εἰς τὴν κυριαρχίαν τοῦ Θεοῦ; Ἐὰν λοιπὸν ἐπιθυμῇς τόσον πολὺ ν' ἀγαπᾷς τὴν δόξαν, ν' ἀγαπᾷς τὴν ἀθάνατον δόξαν. Διότι καὶ ἡ θέα της εἶναι λαμπροτέρα καὶ τὸ κέρδος μεγαλύτερον. Διότι οἱ μὲν ἄνθρωποι σὲ διατάσσουν νὰ δαπανᾷς τὰ ἰδικά σου, διὰ νὰ εἶναι ἀρεστὸς εἰς αὐτούς. Ὁ Χριστὸς ὅμως ὅλως ἀντιθέτως. Διότι σοῦ δίδει

ἑκατονταπλασίονά σοι δίδωσι τῶν διδομένων παρὰ σοῦ, καὶ ζωὴν αἰώνιον τούτοις προστίθησι. Τί τοίνυν βέλτιον, ἐν τῇ γῇ, ἢ ἐν τοῖς οὐρανοῖς, ὑπὸ ἀνθρώπων, ἢ ὑπὸ Θεοῦ θαυμάζεσθαι; ἐπὶ ζημίᾳ, ἢ ἐπὶ κέρδει; στεφανοῦσθαι πρὸς μίαν ἡμέραν, ἢ πρὸς ἀπείρους αἰῶνας; Δὸς τῷ δεομένῳ, καὶ μὴ δῷς τῷ ὀρχουμένῳ, ἵνα μὴ μετὰ τῶν σῶν χρημάτων καὶ τὴν ψυχὴν ἀπολέσῃς τὴν ἐκείνου. Σὺ γὰρ αἴτιος εἶ τῆς ἀπωλείας τῆς ἐκείνου διὰ τῆς ἀκαίρου φιλοτιμίας.

Εἰ γὰρ οἱ ἐπὶ τῆς ὀρχήστρας ᾔδεσαν ὅτι τὸ ἐπιτήδευμα αὐτοῖς ἀκερδὲς ἔμελλεν ἔσεσθαι, πάλαι ἂν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες· ὅταν δέ σε κροτοῦντα, συντρέχοντα, ἀναλίσκοντα, ἅπαντα τὰ σαυτοῦ δαπανῶντα θεάσωνται, κἂν μὴ βούλωνται τοῦτο μετιέναι, τῇ τοῦ κέρδους ἐπιθυμίᾳ κατέχονται. Εἰ δὲ ἔγνωσαν, ὅτι οὐδεὶς ἂν ἐπαινέσειε τὰ ἐκείνων, ταχέως ἂν ἀπέστησαν τῶν πόνων διὰ τὸ ἀκερδές· ὅταν δὲ ἴδωσι τὸ πρᾶγμα παρὰ πολλῶν θαυμαζόμενον, γίνεται δέλεαρ αὐτοῖς ὁ τῶν ἄλλων ἔπαινος.

Ἀποστῶμεν τοίνυν τῆς ἀκερδοῦς δαπάνης· μάθωμεν ἐπὶ τίσιν ἀναλίσκειν καὶ πότε χρή. Μὴ δὴ ἀμφοτέρωθεν παροξύνωμεν τὸν Θεόν, καὶ συνάγοντες ὅθεν οὐ χρή, καὶ σκορπίζοντες εἰς ἅπερ οὐ δεῖ. Πόσης γὰρ οὐκ ἂν ἄξιον εἴη ὀργῆς, ὅταν τῇ πόρνῃ διδῷς, παρατρέχων τὸν πένητα; Εἰ γὰρ καὶ ἐκ δικαίων πόνων παρεῖχες, οὐχὶ ἔγκλημα ἦν τὸ πρᾶγμα, μισθὸν κακίας παρέχειν, καὶ ὑπὲρ ὧν κολάζειν ἐχρῆν, ὑπὲρ τούτων τιμᾶν; Ὅταν δὲ καὶ ὀρφανοὺς ἀποδύων, καὶ χήρας ἀδικῶν, τρέφῃς ἀσέλγειαν, ἐννόησον ἡλίκον τοῖς ταῦτα τολμῶσιν ἔσται τὸ πῦρ. Ἄκουσον τί φησιν ὁ Παῦλος· «Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι».

---

17. Ρωμ. 1, 32.

ἑκατὸ φορὰς περισσότερα ἀπὸ ὅσα τοῦ δίδεις ἐσὺ καὶ εἰς αὐτὰ προσθέτει τὴν αἰώνιον ζωήν. Τί εἶναι λοιπὸν προτιμότερον, νὰ θαυμάζεσαι εἰς τὴν γῆν ἀπὸ τοὺς ἀνθρώπους ἢ εἰς τὸν οὐρανὸν ἀπὸ τὸν Θεόν; Νὰ ζημιώνῃς ἢ νὰ κερδίζῃς; Νὰ ἀποκτᾷς τὸν στέφανον διὰ μίαν ἡμέραν, ἢ αἰωνίως; Δῶσε εἰς ἐκεῖνον ποὺ ἔχει ἀνάγκην καὶ ὄχι εἰς ἐκεῖνον ποὺ χορεύει, διὰ νὰ μὴ καταστρέψῃς μαζὶ μὲ τὰ χρήματά σου καὶ τὴν ψυχὴν ἐκείνου. Διότι ἐσὺ εἶσαι ὁ αἴτιος τῆς καταστροφῆς του μὲ τὴν ἄκαιρον φιλοδοξίαν σου.

Διότι, ἐὰν οἱ χορευταὶ ἐγνώριζαν, ὅτι τὸ ἐπάγγελμά τους θὰ εἶναι χωρὶς κέρδος, θὰ εἶχαν σταματήσει πρὸ πολλοῦ νὰ ἀσκοῦν αὐτὸ τὸ ἐπάγγελμα. Ὅταν ὅμως σὲ βλέπουν νὰ χειροκροτῇς, νὰ τρέχῃς καὶ νὰ ἐξοδεύῃς τὰ χρήματά σου, καὶ ἂν ἀκόμη δὲν θέλουν ν' ἀσκήσουν αὐτὸ τὸ ἐπάγγελμα, καταλαμβάνονται ἀπὸ τὴν ἐπιθυμίαν τοῦ κέρδους. Ἐὰν ὅμως ἤξευραν, ὅτι κανεὶς δὲν θὰ τοὺς ἐπαινοῦσε, ταχέως θὰ ἐγκατέλειπαν τοὺς κόπους ἀπὸ ἔλλειψιν κέρδους. Ὅταν ὅμως ἰδοῦν ὅτι τὸ πρᾶγμα προκαλεῖ τὸν θαυμασμὸν πολλῶν ἀνθρώπων, γίνεται δι' αὐτοὺς δόλωμα ὁ ἔπαινος τῶν ἄλλων.

Ἂς ἀποφεύγωμεν λοιπὸν τὴν δαπάνην χωρὶς κέρδος. Ἂς προσέχωμεν νὰ μὴ ἐξοργίσωμεν τὸν Θεὸν ἀπὸ δύο μέρη, δηλ. καὶ συγκεντρώνοντες χρήματα ἀπὸ ἐκεῖ ποὺ δὲν πρέπει καὶ σκορπίζοντες αὐτὰ εἰς ὅσα δὲν πρέπει. Διότι, πόσην ὀργὴν δὲν προκαλεῖ, ὅταν δίδῃς εἰς πόρνην καὶ ἀφήνῃς τὸν πτωχόν; Διότι καὶ ἂν ἀκόμη ἔδιδες χρήματα ποὺ ἀπέκτησες μὲ δικαίους κόπους, δὲν θὰ ἦταν ἔγκλημα νὰ ἀνταμείβῃς τὴν κακίαν καὶ ὅσα ἔπρεπε νὰ θεωρῇς ἄξια τιμωρίας, ἀντιθέτως νὰ τὰ ἐπαινῇς; Ὅταν δὲ τρέφῃς ἀσέλγειαν ἀπογυμνώνων ὀρφανὰ καὶ ἀδικῶν χήρας, πρέπει νὰ καταλάβῃς πόσον μεγάλον θὰ εἶναι τὸ πῦρ δι' ἐκείνους ποὺ τολμοῦν νὰ κάμνουν αὐτά. Ἄκουσε, τί λέγει ὁ Παῦλος· «Ὄχι μόνον κάμνουν αὐτά, ἀλλὰ καὶ ἐπιδοκιμάζουν ἐκείνους ποὺ τὰ κάμνουν»[17].

Τάχα σφοδρῶς ὑμῶν καθηψάμεθα, ἀλλὰ κἂν ἡμεῖς μὴ καθαψώμεθα, αἱ διὰ τῶν πραγμάτων μένουσι τιμωρίαι τοὺς ἀδιόρθωτα ἁμαρτάνοντας. Τί οὖν ὄφελος ἐν τοῖς λόγοις χαρίζεσθαι τοῖς διὰ τῶν ἔργων κολάζεσθαι μέλλουσι; Συνευδοκεῖς τῷ ὀρχουμένῳ, ἀπαινεῖς καὶ θαυμάζεις; Οὐκοῦν ἐκείνου γέγονας χείρων. Τῷ μὲν γὰρ ἡ πανία συγγνώμην δίδωσιν, εἰ καὶ λόγον οὐκ ἔχουσαν· σὺ δὲ καὶ ταύτης ἀπεστέρησαι τῆς ἀπολογίας. Κἀκεῖνον μὲν ἐὰν ἔρωμαι, τί δήποτε τὰς ἄλλας τέχνας ἀφείς, ἐπὶ ταύτην ἦλθες τὴν ἐναγῆ καὶ μιαράν; ἐρεῖ, ὅτι ἔξεστιν ὀλίγα πονοῦντα, πολλὰ καρποῦσθαι. Σὲ δὲ ἐὰν ἔρωμαι, τί δήποτε θαυμάζεις τὸν ἐν ἀσελγείᾳ βιοῦντα καὶ ἐπὶ λύμῃ ζῶντα πολλῶν; οὐκ ἔχεις ἐπὶ τὴν αὐτὴν πρόφασιν καταφεύγειν, ἀλλὰ ἀνάγκη κάτω κύπτειν καὶ αἰσχύνεσθαι καὶ ἐρυθριᾶν.

Εἰ δὲ παρ' ἡμῶν εὐθύνας ἀπαιτούμενος οὐδὲν ἂν σχοίης εἰπεῖν, ὅταν τὸ φοβερὸν ἐκεῖνο καὶ ἀπαραίτητον παραγένηται δικαστήριον, ἔνθα τῶν νοημάτων καὶ πραγμάτων καὶ πάντων τίνομεν εὐθύνας, πῶς στησόμεθα; ποίοις ὀφθαλμοῖς τὸν κριτὴν ὀψόμεθα; τί ἐροῦμεν; τί ἀπολογησόμεθα; ποίαν εὔλογον, ποίαν ἄλογον προβαλούμεθα πρόφασιν; τὴν τῆς δαπάνης; τὴν τῆς τέρψεως; ἢ τὴν τῆς ἑτέρων ἀπωλείας, οὓς διὰ τῆς ἐκείνου τέχνης ἀπόλλυμεν; Οὐκ ἔστιν οὐδὲν εἰπεῖν, ἀλλ' ἀνάγκη κολάζεσθαι κόλασιν τέλος οὐκ ἔχουσαν, πέρας οὐκ ἐπισταμένην. Ὅπερ ἵνα μὴ γένηται, ἐντεῦθεν ἤδη πάντα φυλαξώμεθα, ἵνα μετὰ χρηστῆς ἐλπίδος ἀπελθόντες, τύχωμεν τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἴσως σᾶς ἐπεκρίναμεν βαρύτερον, ἀλλ' ἂν δὲν σᾶς ἐπικρίνωμεν ἡμεῖς, αἱ τιμωρίαι περιμένουν ἐκείνους ποὺ ἁμαρτάνουν καὶ δὲν μετανοοῦν. Ποῖον ὄφελος ὑπάρχει νὰ εἶναι κανεὶς εὐχάριστος μὲ τὰ λόγια εἰς ἐκείνους ποὺ πρόκειται νὰ τιμωρηθοῦν; Ἐπιδοκιμάζεις τὸν χορευτήν, τὸν ἐπαινεῖς καὶ τὸν θαυμάζεις; Ἔχεις γίνει λοιπὸν χειρότερος ἀπὸ ἐκεῖνον. Διότι ἐκεῖνον μὲν τὸν συγχωρεῖ ἡ φτώχεια, ἂν καὶ δὲν εἶναι ἀμέτοχος τιμωρίας. Ἐσὺ ὅμως ἔχεις στερηθῆ ἀπὸ αὐτὴν τὴν ὑπεράσπισιν. Καὶ ἐὰν ἐρωτήσω ἐκεῖνον, διατί ἄφησες τὰς ἄλλας τέχνας καὶ ἔμαθες αὐτὴν τὴν ἀκάθαρτον καὶ ἀσεβῆ; θ' ἀπαντήσῃ· διότι ἐπιτρέπει νὰ κουράζωμαι ὀλίγον καὶ νὰ κερδίζω πολλά. Ἐὰν πάλιν ἐρωτήσω ἐσέ, διατί θαυμάζεις αὐτὸν ποὺ ζῇ εἰς τὴν ἀσέλγειαν καὶ ἐπὶ ζημίᾳ τῶν πολλῶν; δὲν ἠμπορεῖς νὰ καταφύγῃς εἰς τὴν ἰδίαν πρόφασιν, ἀλλὰ θ' ἀναγκασθῇς νὰ σκύψῃς τὸ κεφάλι κάτω καὶ νὰ ἐντραπῇς καὶ νὰ κοκκινίσῃς.

Ἐὰν λοιπόν, ὅταν ἡμεῖς σοῦ ζητοῦμεν εὐθύνας, δὲν θὰ ἠμπορεῖς νὰ εἰπῇς τίποτε, ὅταν ἔλθῃ τὸ φοβερὸν ἐκεῖνο καὶ ἀπαραίτητον δικαστήριον, ὅπου θὰ λογοδοτήσωμεν δι' ὅλας τὰς σκέψεις καὶ τὰς πράξεις μας, πῶς θὰ σταθῶμεν; Μὲ ποῖα μάτια θ' ἀντικρύσωμεν τὸν κριτήν; Τί θὰ εἰποῦμεν; Τί θ' ἀπολογηθοῦμεν; Ποίαν εὔλογον ἢ παράλογον πρόφασιν θὰ προβάλωμεν; Τὴν πρόφασιν τῆς δαπάνης; τῆς εὐχαριστήσεως; ἢ τῆς καταστροφῆς τῶν ἄλλων, ποὺ τοὺς κατεστρέψαμεν χάριν ἐκείνης τῆς τέχνης; Δὲν εἶναι δυνατὸν ν' ἀπαντήσωμεν τίποτε, ἀλλ' εἶναι ἀνάγκη νὰ τιμωρηθοῦμεν μὲ κόλασιν ποὺ δὲν ἔχει τέλος καὶ ποὺ δὲν γνωρίζει τέλος. Διὰ νὰ μὴ συμβῇ λοιπὸν αὐτό, ἂς τὰ τηρήσωμεν ὅλα ἐφ' ὅσον εὑρισκόμεθα ἐδῶ, διὰ νὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθά, ὅταν φύγωμεν ἀπὸ ἐδῶ. Εἴθε ὅλοι μας νὰ τὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΓ΄.

Ἰω. 6,16 - 25

«Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν θάλασσαν. Καὶ ἀναβάντες εἰς τὸ πλοῖον, ἤρχοντο εἰς τὸ πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. Καὶ σκοτία ἤδη ἐγένετο, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς. Ἥ τε θάλασσα, ἀνέμου μεγάλου πνέοντος, διηγείρετο».

1. Οὐχὶ παρὼν τοῖς μαθηταῖς ὁ Χριστὸς σωματικῶς μόνον, ἀλλὰ καὶ μακρὰν γενόμενος τὸ συμφέρον οἰκονομεῖ. Καὶ γὰρ εὔπορος ὢν καὶ εὐμήχανος, διὰ τῶν ἐναντίων πραγμάτων ἓν καὶ τὸ αὐτὸ κατασκευάζει. Ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ. Ἀφίησι τοὺς μαθητάς, καὶ ἀνέρχεται εἰς τὸ ὄρος. Οἱ δὲ τοῦ διδασκάλου ἀπολειφθέντες, ὡς ὀψία ἐγένετο, κατέβησαν εἰς τὴν θάλασσαν· καὶ μέχρι μὲν τῆς ἑσπέρας περιέμενον αὐτόν, ἥξειν προσδοκῶντες πρς αὐτούς. Γενομένης δὲ ἑσπέρας, οὐκ ἔτι ἀνέχονται μὴ ἐπιζήτησιν αὐτοῦ ἐλθεῖν· τοσοῦτος αὐτοὺς κατεῖχεν ἔρως. Οὐδὲ γὰρ εἶπον· Ἑσπέρα νῦν ἐστι καὶ νὺξ κατέλαβε, ποῦ νῦν ἀπελευσόμεθα; ἐπικίνδυνος ὁ τόπος, ἐπισφαλὴς ὁ καιρός· ἀλλ᾽ ὑπὸ τοῦ πόθου πυρούμενοι, ἐνέβησαν εἰς τὸ πλοῖον.

Οὐ γὰρ ἁπλῶς ὁ εὐαγγελιστὴς καὶ τὸν καιρὸν ἐπισημαίνεται, ἀλλ᾽ ὥστε διὰ τούτου τὴν θερμὴν αὐτῶν ἀγάπην ἐμφῆναι. Τίνος οὖν ἕνεκεν ἀφίησιν αὐτοὺς καὶ ἀναχωρεῖ; μᾶλλον δέ, τίνος ἕνεκεν φαίνεται πάλιν μόνος ἐπὶ τῆς θαλάσσης βαδίζων; Ἐκείνῳ μὲν διδάσκων αὐτοὺς πόσον ἐστὶν ἡ ἀπόλειψις καὶ τὸν πόθον ἐργαζόμενος μείζονα· τούτῳ δὲ πάλιν τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος. Ὥσπερ γὰρ ἐν τῇ διδασκαλίᾳ οὐ μετὰ τοῦ ὄχλου πάντα ἤκουον, οὕτω καὶ

---

1. Ἰω. 6, 16 - 18.

ΟΜΙΛΙΑ ΜΓ'.

'Ιω. 6,16 - 25

«Όταν δὲ ἐβράδυασε, κατέβηκαν οἱ μαθηταί του εἰς τὴν λίμνην. Καὶ ἀφοῦ ἐπεβιβάσθησαν εἰς τὸ πλοιάριον, ἐπήγαιναν εἰς τὴν ἀπέναντι ὄχθην τῆς λίμνης, εἰς τὴν Καπερναούμ. Εἶχε πλέον σκοτεινιάσει καὶ δὲν εἶχεν ἔλθει ἀκόμη ὁ 'Ιησοῦς. Καὶ ἡ θάλασσα ἐφούσκωνε, διότι ἐφυσοῦσε δυνατὸς ἄνεμος»[1].

1. Χωρὶς νὰ εἶναι μαζὶ μὲ τοὺς μαθητάς του ὁ Χριστὸς σωματικῶς μόνον, ἀλλὰ καὶ μακρὰν εὑρισκόμενος φροντίζει διὰ τὴν ὠφέλειάν τους. 'Επειδὴ δηλαδὴ εἶναι ἰσχυρὸς καὶ συνετὸς καὶ εἰς τὰς ἀντιθέτους περιστάσεις εἰς τὸ ἴδιο ἀποτέλεσμα καταλήγει. Πρόσεχε, τί κάμνει ἐδῶ. 'Αφήνει τοὺς μαθητάς του καὶ ἀνεβαίνει εἰς τὸ ὄρος. Οἱ δὲ μαθηταί, ἐπειδὴ ἐγκατελείφθησαν ἀπὸ τὸν διδάσκαλον, κατέβηκαν εἰς τὴν θάλασσαν, ὅταν πλέον εἶχε βραδυάσει. Καὶ ἐπερίμεναν αὐτὸν μέχρις ἀργὰ τὸ βράδυ, ἐλπίζοντες ὅτι θὰ ἔλθῃ πρὸς τὸ μέρος τους. Όταν ὅμως ἐβράδυασε καλά, δὲν συγκρατοῦνται πλέον νὰ μὴ τὸν ἀναζητήσουν. Τόσον πολὺ τὸν εἶχαν ἐπιθυμήσει. Διότι δὲν εἶπαν· Βράδυ εἶναι τώρα καὶ ἐντὸς ὀλίγου θὰ νυχτώσῃ, ποῦ θὰ ταξιδεύσωμεν τέτοιαν ὥραν. Ὁ τόπος εἶναι ἐπικίνδυνος καὶ ὁ καιρὸς ἄστατος. 'Αλλ' ἐπειδὴ εἶχαν καταληφθῆ ἀπὸ τὴν ἐπιθυμίαν, ἐμπῆκαν εἰς τὸ πλοιάριον.

Διότι ὁ Εὐαγγελιστὴς δὲν ἐπισημαίνει τὸν καιρὸν χωρὶς αἰτίαν, ἀλλὰ θέλει νὰ φανερώσῃ μὲ αὐτὸ τὴν θερμὴν ἀγάπην των διὰ τὸν Χριστόν. Διατί ὅμως ὁ Χριστὸς ἀφήνει τοὺς μαθητάς του καὶ φεύγει; Ἢν μᾶλλον, διατί φαίνεται πάλιν νὰ περιπατῇ ἐπάνω εἰς τὴν θάλασσαν; Διότι, ἀφ' ἑνὸς μὲν ἤθελε νὰ τοὺς διδάξῃ, πόσον βαρὺ εἶναι ἡ ἐγκατάλειψις καὶ ν' αὐξήσῃ τὴν προθυμίαν τους, ἀφ' ἑτέρου δὲ διὰ νὰ δείξῃ πάλιν τὴν δύναμίν του. Διότι, ὅπως οἱ μαθηταί του δὲν ἤκουον ὅλην τὴν διδασκαλίαν του μαζὶ μὲ

ἐπὶ τῶν σημείων οὐ μετὰ τοῦ πλήθους πάντα ἑώρων. Ἐχρῆν γὰρ αὐτοὺς μέλλοντας ἐγχειρίζεσθαι τῆς οἰκουμένης τὴν προστασίαν, ἔχειν τι τῶν λοιπῶν πλέον. Καὶ ποῖα σημεῖα καθ' ἑαυτοὺς εἶδον; φησί. Τὴν μεταμόρφωσιν τὴν ἐπὶ τοῦ ὄρους, τοῦτο τὸ ἐπὶ τῆς θαλάσσης, τὰ μετὰ τὴν ἀνάστασιν πολλὰ καὶ μεγάλα ὄντα.

Ἐγὼ δὲ καὶ ἕτερα στοχάζομαι ἀπὸ τούτων. Ἤρχοντο δὲ εἰς Καπερναούμ, τὸ μὲν σαφὲς οὐκ εἰδότες, ἐκεῖ δὲ προσδοκῶντες, εὑρήσειν αὐτόν, ἢ καὶ κατὰ μέσον τὸν πλοῦν. Τοῦτο γοῦν ὁ Ἰωάννης ᾐνίξατο εἰπών, ὅτι «σκοτία ἤδη ἐγένετο καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, ἥ τε θάλασσα μεγάλου ἀνέμου πνέοντος διηγείρετο». Τί οὖν ἐκεῖνοι; Ταράσσονται· πολλὰ δὲ ἦν τὰ τοῦτο ποιεῖν αὐτοὺς ἀναγκάζοντα καὶ πολλαχόθεν· καὶ γὰρ καὶ ἀπὸ τοῦ καιροῦ· σκοτία γὰρ ἦν· καὶ ἀπὸ τοῦ χειμῶνος· ἡ γὰρ θάλασσα διηγείρετο· καὶ ἀπὸ τοῦ τόπου· οὐ γὰρ ἦσαν ἐγγὺς τῆς γῆς, ἀλλ' «Ἐληλακότες ὡς σταδίους εἰκοσιπέντε»· καὶ ἀπὸ τοῦ παραδόξου τὸ τελευταῖον· «Θεωροῦσι γὰρ αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα»· οἷς καὶ ταραχθεῖσι σφόδρα λέγει· «Ἐγώ εἰμι, μὴ φοβεῖσθε».

Τίνος οὖν ἕνεκεν ἐφάνη; Δεικνὺς ὅτι οὗτός ἐστιν ὁ τὸν χειμῶνα λύσων. Τοῦτο γὰρ ἐνέφηνεν ὁ εὐαγγελιστὴς εἰπών, ὅτι «Ἤθελον λαβεῖν αὐτόν· καὶ εὐθέως τὸ πλοῖον ἐγγὺς τῆς γῆς ἐγένετο». Οὐ γὰρ μόνον ἀσφαλῆ, ἀλλὰ καὶ ἐξ οὐρίων αὐτοῖς παρέσχε τὸν πλοῦν. Τῷ ὄχλῳ δὲ οὐκ ἐπέδειξεν ἑαυτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα· μεῖζον γὰρ ἢ κατὰ τὴν ἐκείνων ἀσθένειαν τὸ σημεῖον ἦν. Ἀλλ' οὐδὲ τοῖς μαθηταῖς ὤφθη ἐπὶ τὸ πολὺ τοῦτο ποιῶν, ἀλλὰ ἅμα τε ὤφθη καὶ ἀπέστη ἀπ' αὐτῶν. Ἐμοὶ δὲ καὶ τοῦτο

τὸν κόσμον, ἔτσι δὲν ἔβλεπον καὶ ὅλα τὰ θαύματά του μαζὶ μὲ τὸ πλῆθος. Διότι ἔπρεπεν, ἀφοῦ θὰ τοὺς ἐνεπιστεύετο τὸν φωτισμὸν τῆς οἰκουμένης, νὰ πλεονεκτοῦν ἔναντι τῶν ἄλλων. Καὶ ποῖα θαύματα εἶδαν αὐτοὶ ἰδιαιτέρως; Τὴν Μεταμόρφωσιν τοῦ Χριστοῦ ἐπάνω εἰς τὸ ὄρος, αὐτὸ ἐδῶ ἐπάνω εἰς τὴν θάλασσαν καὶ τὰ πολλὰ καὶ σπουδαῖα μετὰ τὴν Ἀνάστασίν του.

Ἐγὼ ὅμως νομίζω, ὅτι ὑπάρχουν καὶ πολλὰ ἄλλα ἐκτὸς αὐτῶν. Ἐπήγαιναν λοιπὸν εἰς τὴν Καπερναοὺμ χωρὶς νὰ ξέρουν καλά, μὲ τὴν ἐλπίδα ὅτι θὰ εὕρουν τὸν Χριστὸν ἐκεῖ ἢ κατὰ τὸ διάστημα τοῦ ταξιδίου των. Αὐτὸ ἄλλωστε ἐννοεῖ καὶ ὁ Ἰωάννης, ὅταν λέγῃ ὅτι «εἶχεν ἤδη βραδυάσει καὶ ἐφούσκωνεν ἡ θάλασσα ἐπειδὴ ἐφύσα δυνατὸς ἄνεμος». Τί κάμνουν λοιπὸν ἐκεῖνοι; Ταράσσονται. Διότι πολλὰ τοὺς κάμνουν νὰ ταραχθοῦν. Καὶ πρῶτα ὁ καιρός. Διότι ὑπῆρχε πολὺ σκοτάδι. Ἔπειτα ἡ κακοκαιρία. Διότι ἡ θήλασσα. ἐφούσκωνεν. Ἔπειτα ὁ τόπος. Διότι δὲν ἦσαν πλησίον τῆς ξηρᾶς, ἀλλ' «Εἶχαν προχωρήσει περὶ τὰ εἴκοσι πέντε στάδια». Καὶ τὸ τελευταῖον ποὺ ἦτο καὶ τὸ παραδοξότερον «Βλέπουν τὸν Χριστὸν νὰ περιπατῇ ἐπάνω εἰς τὴν θάλασσαν». Καὶ ἐπειδὴ ἐφοβήθησαν πάρα πολύ, τοὺς λέγει· «Ἐγὼ εἶμαι, μὴ φοβῆσθε».

Διατί λοιπὸν ἐνεφανίσθη; Διὰ ν' ἀποδείξῃ, ὅτι αὐτὸς θὰ σταματήσῃ τὴν κακοκαιρίαν. Διότι αὐτὸ ἤθελε νὰ ἐπισημάνῃ ὁ Εὐαγγελιστής, ὅταν εἶπεν, «Ἤθελαν τότε νὰ τὸν παραλάβουν εἰς τὸ πλοιάριον. Καὶ ἀμέσως τὸ πλοιάριον ἔφθασεν εἰς τὴν ξηράν». Διότι δὲν τοὺς ἔκαμεν ἀσφαλὲς τὸ ταξίδι ἀλλὰ τοὺς ἔστειλε καὶ εὐνοϊκοὺς ἀνέμους. Ἀλλὰ δὲν ἔδειξε τὸν ἑαυτόν του εἰς τὸν κόσμον νὰ περιπατῇ ἐπάνω εἰς τὴν θάλασσαν, διότι αὐτὸ τὸ θαῦμα ὑπερέβαινε τὰς πνευματικάς των δυνάμεις. Ἀλλ' οὔτε καὶ εἰς τοὺς μαθητὰς παρουσιάσθη νὰ κάμνῃ τοῦτο ἐπὶ πολύ, ἀλλὰ μόλις παρουσιάσθη, ἀμέσως ἀπεμακρύνθη ἀπὸ αὐτούς. Ἐγὼ νομίζω ὅτι καὶ αὐτὸ τὸ θαῦμα εἶναι διαφορετικόν, ἀπὸ ἐκεῖνο

δοκεῖ τὸ σημεῖον ἕτερον εἶναι τοῦ παρὰ τῷ Ματθαίῳ κειμένου. Καὶ ὅτι ἕτερον, πολλαχόθεν δῆλον. Πολλάκις γὰρ τὰ αὐτὰ ποιεῖ σημεῖα, ὥστε παρασκευάσαι μὴ μόνον σφόδρα ξενίζεσθαι τοὺς ὁρῶντας, ἀλλὰ καὶ μετὰ πολλῆς αὐτὰ δέχεσθαι πίστεως.

«Ἐγώ εἰμι, μὴ φοβεῖσθε». Μετὰ τοῦ ῥήματος καὶ τὴν δειλίαν ἐξέβαλεν ἀπὸ τῆς ἐκείνων ψυχῆς. Ἀλλαχοῦ δὲ οὐχ οὕτω ποιεῖ. Διὰ τοῦτο γοῦν καὶ ὁ Πέτρος ἔλεγε· «Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν». Πόθεν οὖν τότε μὲν οὐκ εὐθέως τοῦτο ἐδέξαντο, νῦν δὲ ἐπείσθησαν; Ὅτι τότε μὲν ἔτι ὁ χειμὼν ἐπέμενε σαλεύων τὸ πλοῖον· νῦν δὲ μετὰ τῆς φωνῆς ἡ γαλήνη παρεγένετο· ἢ εἰ μὴ τοῦτο, τὸ πρότερον ἐκεῖνό ἐστιν ὅπερ ἔφθην εἰπών, ὅτι πολλάκις τὰ αὐτὰ ποιῶν σημεῖα, εὐπαράδεκτα τῷ χρόνῳ τὰ δεύτερα ἀπὸ τῶν προτέρων εἰργάζετο. Τίνος δὲ ἕνεκεν οὐκ ἀνέβη εἰς τὸ πλοῖον; Τὸ θαῦμα μεῖζον ἐργάσασθαι βουλόμενος, καὶ ἅμα τὴν θεότητα αὐτοῖς ἐκκαλύψαι τρανότερον, καὶ δεῖξαι ὅτι τότε εὐχαριστήσας, οὐχὶ δεόμενος βοηθείας τοῦτο ἐποίησεν, ἀλλ' ἐκείνοις συγκαταβαίνων. Καὶ εἴασε μὲν γενέσθαι τὸν χειμῶνα, ἵνα ἀεὶ αὐτὸν ἐπιζητῶσιν· ἔπαυσε δὲ πάλιν εὐθέως, ἵνα μὴ δύναμιν αὐτοῦ γνωρίσῃ· οὐκ ἀνέβη δὲ εἰς τὸ πλοῖον, ἵνα τὸ θαῦμα μεῖζον ἐργάσηται.

«Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς ἰδὼν ὅτι ἄλλο πλοιάριον οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν εἰς ὃ ἀνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι ὁ Ἰησοῦς οὐ συνεισῆλθεν»· ἐνέβησαν καὶ αὐτοὶ εἰς ἕτερα πλοιάρια, ἐλθόντα ἀπὸ Τιβεριάδος. Καὶ τίνος ἕνεκεν ἀκριβολογεῖται ὁ Ἰωάννης; διατί γὰρ οὐκ εἶπεν, ὅτι Οἱ δὲ ὄχλοι τῇ ἑξῆς περάσαντες ἀπῆλθον; Ἕτερόν τι ἡ-

2. Ματθ. 14, 28.

ποὺ ἀναφέρει ὁ Ματθαῖος. Καὶ ὅτι εἶναι διαφορετικόν, διαπιστώνεται ἀπὸ πολλὰς πλευράς. Πολλὰς φορὰς δηλαδὴ ὁ Χριστὸς κάμνει τὰ ἴδια θαύματα, ὥστε νὰ προετοιμάσῃ τοὺς θεατὰς ὄχι μόνον νὰ μὴ παραξενεύωνται πολύ, ἀλλὰ καὶ νὰ τὰ δέχωνται μὲ μεγάλην πίστιν.

«Ἐγὼ εἶμαι, μὴ φοβῆσθε». Μαζὶ μὲ τὰ λόγια ἔβγαλε ἀπὸ τὴν ψυχήν τους καὶ τὸν φόβον. Τὸ ἴδιο κάμνει καὶ εἰς ἄλλας περιπτώσεις. Δι' αὐτὸ ἀκριβῶς ἔλεγεν ὁ Πέτρος· «Κύριε, ἐὰν εἶσαι ἐσύ, δῶσε μου διαταγὴν νὰ ἔλθω»[2]. Διατί λοιπὸν τότε δὲν παρεδέχθησαν τοῦτο ἀμέσως, ἐνῷ τώρα ἐπίστευσαν; Διότι τότε μὲν ἡ κακοκαιρία ἐπέμενε νὰ σκαμπανεβάζῃ τὸ πλοιάριον, τώρα ὅμως μαζὶ μὲ τὴν φωνὴν τοῦ Χριστοῦ ἦλθε καὶ ἡ γαλήνη. Ἢ ἂν δὲν πρόκειται περὶ αὐτοῦ, τότε εἶναι ἐκεῖνο ποὺ μόλις εἶπα, ὅτι δηλαδὴ κάμνει πολλὰς φορὰς τὰ ἴδια θαύματα καὶ τὰ προετοιμάζει κατὰ τρόπον ὥστε τὰ δεύτερα νὰ γίνωνται εὔκολα παραδεκτὰ ἀπὸ τὰ πρῶτα. Καὶ διατί δὲν ἀνέβη εἰς τὸ πλοιάριον; Ἐπειδὴ ἤθελε νὰ καταστήσῃ τὸ θαῦμα μεγαλύτερον καὶ ν' ἀποκαλύψῃ συγχρόνως εἰς τοὺς μαθητὰς τὴν θεότητα λαμπροτέραν καὶ ν' ἀποδείξῃ, ὅτι, ἂν προηγουμένως τοὺς ηὐχαρίστησε, δὲν τὸ ἔκαμε διότι ἐχρειάζετο βοήθειαν, ἀλλ' ἀπὸ συγκατάβασιν πρὸς ἐκείνους. Καὶ ἄφησε μὲν νὰ γίνῃ κακοκαιρία, διὰ ν' ἀναγκασθοῦν νὰ τὸν ζητήσουν, τὴν ἐσταμάτησεν ὅμως ἀμέσως πάλιν διὰ νὰ γίνῃ περισσότερον γνωστὴ ἡ δύναμίς του. Καὶ δὲν ἀνέβη εἰς τὸ πλοιάριον, διὰ νὰ καταστήσῃ τὸ θαῦμα λαμπρότερον.

«Τὴν ἄλλην ἡμέραν ὁ κόσμος ποὺ ἐστέκετο εἰς τὴν ἀπέναντι ὄχθην εἶδεν ὅτι δὲν ὑπῆρχεν ἄλλο πλοιάριον ἐκεῖ, παρὰ ἕν, ἐκεῖνο εἰς τὸ ὁποῖον εἶχαν ἐπιβιβασθῆ οἱ μαθηταί του καὶ ὅτι ὁ Ἰησοῦς δὲν εἶχεν εἰσέλθει εἰς αὐτὸ μαζὶ μὲ τοὺς μαθητάς του». Ἐμπῆκαν λοιπὸν οἱ ἄνθρωποι εἰς ἄλλα πλοιάρια ποὺ ἤρχοντο ἀπὸ τὴν Τιβεριάδα. Καὶ διατί τὰ ἀναφέρει ὁ Ἰωάννης μὲ τόσην ἀκρίβειαν; Διατί δηλαδὴ δὲν εἶπε· Τὴν ἄλλην ἡμέραν οἱ ἄνθρωποι, ἀφοῦ

μᾶς βούλεται διδάξαι. Ποῖον τοῦτο; Ὅτι καὶ τοῖς ὄχλοις, εἰ καὶ μὴ οὕτω φανερῶς, ἔδωκε γοῦν ὅμως λανθανόντως ὑπονοῆσαι τὸ γεγενημένον.

«Εἶδον» γάρ, φησίν, «ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἕν, καὶ ὅτι Ἰησοῦς οὐ συνεισῆλθε», καὶ ἐμβάντες εἰς τὰ ἐκ Τιβεριάδος πλοιάρια, «Ἦλθον ζητοῦντες τὸν Ἰησοῦν εἰς Καπερναούμ». Τί γὰρ ἦν ἕτερον ὑποπτεῦσαι, ἀλλ' ἢ ὅτι τὴν θάλασσαν πεζεύων παρεγένετο; Οὐδὲ γὰρ ἔνι εἰπεῖν, ὅτι ἑτέρῳ πλοίῳ διέβη. Ἓν γὰρ ἦν, φησίν, εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ. Ἀλλ' ὅμως μετὰ θαῦμα τηλικοῦτον ἐλθόντες, οὐκ ἠρώτησαν αὐτὸν πῶς διέβη, πῶς παρεγένετο, οὐδὲ ἐζήτησαν τὸ τοσοῦτον σημεῖον μαθεῖν· ἀλλὰ τί φασι; «Ραββί, πότε ὧδε γέγονας;». Πλὴν εἰ μὴ τὸ «Πότε» τις ἐνταῦθα ἀντὶ τοῦ Πῶς εἰρῆσθαι παρ' αὐτῶν.

2. Ἄξιον δὲ καὶ ἐντεῦθεν συνιδεῖν τὴν εὔκολον αὐτῶν γνώμην. Οἱ γὰρ λέγοντες, «Οὗτός ἐστιν ὁ προφήτης»· οἱ σπουδάζοντες ἁρπάσαι καὶ ποιῆσαι βασιλέα, εὑρόντες αὐτόν, οὐδὲν τοιοῦτον βουλεύονται, ἀλλὰ τὸ θαῦμα ἐκβαλόντες, ὡς ἔγωγε οἶμαι, οὐκ ἔτι λοιπὸν ὑπὲρ τῶν προτέρων θαυμάζουσι. Διὰ τοῦτο ἄρα ἐπεζήτουν, βουλόμενοι πάλιν τραπέζης ἀπολαύειν, οἵας καὶ πρότερον.

Διέβησαν μὲν οὖν τὴν ἐρυθρὰν θάλασσαν καὶ Ἰουδαῖοι, Μωϋσέως ἡγουμένου, ἀλλὰ πολὺ τὸ μέσον ἐνταῦθα. Ὁ μὲν γὰρ εὐχόμενος καὶ ὡς δοῦλος πάντα εἰργάζετο· οὗτος δέ, μετὰ ἐξουσίας ἁπάσης. Κἀκεῖ μέν, νότου τότε πνέοντος, εἶξε τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν· ἐνταῦθα

ἐπέρασαν ἀπέναντι, ἔφυγαν; Διότι θέλει νὰ μᾶς διδάξῃ κάτι ἄλλο. Ποῖο εἶναι αὐτό; Ὅτι καὶ τὸν κόσμον, ἂν καὶ δὲν ἦτο τόσον φανερόν, ἄφησε νὰ ὑποψιασθῇ αὐτὸ ποὺ εἶχε συμβῆ.

Συνεχίζει λοιπὸν ὁ Εὐαγγελιστής· «Εἶδαν ὅτι δὲν ὑπῆρχεν ἄλλο πλοιάριον ἐκεῖ, ἐκτὸς ἀπὸ ἓν καὶ ὅτι ὁ Ἰησοῦς δὲν εἶχεν εἰσέλθει εἰς αὐτὸ μαζὶ μὲ τοὺς μαθητάς του» καὶ ἀφοῦ ἐμπῆκαν εἰς ἄλλα πλοιάρια ποὺ ἤρχοντο ἀπὸ τὴν Τιβεριάδα, «Ἦλθαν εἰς τὴν Καπερναοὺμ καὶ ἐζητοῦσαν τὸν Ἰησοῦν». Διότι, τί ἄλλο ἠμποροῦσαν νὰ ὑποπτευθοῦν, παρὰ ὅτι ἦλθεν εἰς τὴν Καπερναοὺμ περιπατῶν ἐπάνω εἰς τὴν θάλασσαν; Διότι ἦτο ἀδύνατον νὰ εἰποῦν, ὅτι ἦλθε μὲ ἄλλο πλοιάριον. Διότι, λέγει, ἕνα μόνον ὑπῆρχεν, εἰς τὸ ὁποῖον εἶχαν εἰσέλθει οἱ μαθηταί του. Ἀλλ' ὅμως ἀφοῦ ἔφθασαν ὕστερον ἀπὸ τόσον μεγάλο θαῦμα, δὲν τὸν ἠρώτησαν πῶς εἶχε διαπεραιωθῇ, πῶς εἶχεν ἔλθει, οὔτε ἐζήτησαν νὰ μάθουν δι' αὐτὸ τὸ θαῦμα. Ἀλλὰ τί τὸν ἠρώτησαν; «Διδάσκαλε πότε ἔφθασες ἐδῶ;». Ἐκτὸς ἂν δεχθῇ κανεὶς ὅτι, τὸ «Πότε» ἐδῶ ἔχει λεχθῇ ἀπὸ αὐτοὺς ἀντὶ τοῦ Πῶς.

2. Ἀξίζει νὰ ἰδῇ κανεὶς ἐδῶ τὴν εὐμετάβλητον θέλησίν των. Διότι αὐτοὶ ποὺ ἔλεγαν, «Αὐτὸς εἶναι ὁ Προφήτης», αὐτοὶ ποὺ ἑτοιμάζοντο νὰ τὸν ἁρπάσουν καὶ νὰ τὸν ἀνακηρύξουν βασιλέα, ἀφοῦ τὸν συνήντησαν, δὲν σκέπτονται κάτι παρόμοιον, ἀλλὰ ἀφοῦ ἐλησμόνησαν τὸ θαῦμα, κατὰ τὴν γνώμην μου, δὲν τὸν θαυμάζουν πλέον διὰ τὰ προηγούμενα. Ἑπομένως τὸν ἐζήτουν, ἐπειδὴ ἤθελαν νὰ ἀπολαύσουν φαγητόν, ὅπως καὶ προηγουμένως.

Ἐπέρασαν ὡς γνωστὸν καὶ οἱ Ἰουδαῖοι τὴν Ἐρυθρὰν θάλασσαν, ὑπὸ τὴν ἀρχηγίαν τοῦ Μωϋσέως, ἀλλὰ ἡ διαφορὰ μὲ τὸ ἐδῶ γεγονὸς εἶναι μεγάλη. Διότι ὁ μὲν Μωϋσῆς ἐνήργει τὰ πάντα προσευχόμενος καὶ ὡς δοῦλος, ὁ Χριστὸς ὅμως μὲ ὅλην τὴν δύναμίν του. Καὶ τότε μέν, ἐπειδὴ ἐφύσα νότιος ἄνεμος, ὑπεχώρησε τὸ ὕδωρ καὶ τοὺς ἄφησε νὰ

δὲ τὸ θαῦμα μεῖζον ἐγίνετο. Μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν Δεσπότην ἐπὶ τῶν νώτων, μαρτυροῦσα ἐκείνῃ τῇ ῥήσει τῇ λεγούσῃ· «Ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους». Εἰκότως δὲ μέλλων εἰς Καπερναοὺμ ἐμβαλεῖν τὴν σκληρὰν καὶ ἀπειθῆ, τὸ σημεῖον τῶν ἄρτων εἰργάσατο· οὐ μόνον τοῖς ἐν αὐτῇ γινομένοις, ἀλλὰ καὶ τοῖς ἔξω τῆς πόλεως θαυματουργουμένοις, μαλάξαι βουλόμενος τῶν ἐν αὐτῇ τὴν ἀπείθειαν. Τὸ γὰρ ὄχλους παραγενέσθαι τοσούτους εἰς τὴν πόλιν ἐκείνην, πολλὴν τεθειμένους σπουδήν, ποῖον οὐκ ἦν ἱκανὸν μαλάξαι λίθον; Ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτον οὐδὲν ἔπαθον, ἀλλὰ πάλιν τροφῆς ἐπεθύμουν σωματικῆς· διὸ καὶ ὀνειδίζονται παρὰ τοῦ Ἰησοῦ.

Ταῦτα οὖν εἰδότες, ἀγαπητοί, εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῶν αἰσθητῶν μὲν ἕνεκεν, πολλῷ δὲ μᾶλλον τῶν πνευματικῶν. Οὕτω γὰρ καὶ αὐτὸς βούλεται, καὶ διὰ ταῦτα καὶ ἐκεῖνα δίδωσι, τοὺς ἀτελεστέρους ἐνάγων τούτοις καὶ προπαιδεύων, ἐπειδὴ πρὸς τὸν κόσμον ἔτι κεχήνασιν. Ἀλλ' ὅταν αὐτὰ λαβόντες, ἐν αὐτοῖς ἀναπομείνωσιν, ἐγκαλοῦνται καὶ ἐπιτιμῶνται. Ἐπεὶ καὶ ἐπὶ τοῦ παραλυτικοῦ πρῶτον ἐκεῖνο ἐβούλετο δοῦναι, ἀλλ' οὐκ ἠνείχοντο οἱ παρόντες. Εἰπόντος γάρ, ὅτι «Ἀφέωνταί σου αἱ ἁμαρτίαι», ἔλεγον· «Οὗτος βλασφημεῖ».

Μὴ δή, παρακαλῶ, τοιοῦτον πάθωμέν τι ἡμεῖς, ἀλλ' ἐκείνων ἡμῖν πλείων ἔστω λόγος. Διατί; Ὅτι τῶν πνευματικῶν παρόντων, οὐδεμία ἀπὸ τῆς τῶν σαρκικῶν ἀπουσίας γίνεται βλάβη· ἐκείνων δὲ οὐκ ὄντων, τίς ἔσται ἡμῖν λοιπὸν ἐλπίς; τίς δὲ παραμυθία; Διὸ χρὴ περὶ τούτων ἀεὶ τὸν Θεὸν παρακαλεῖν, καὶ ταῦτα αἰτεῖν. Τοιαῦτα γὰρ καὶ ὁ

3. Ἰώβ, 9, 8.
4. Ματθ. 9, 2 - 3.

περάσουν σὰν ἀπὸ ξηράν. Ἐδῶ ὅμως τὸ θαῦμα ἦτο μεγαλύτερον. Διότι ἡ θάλασσα παραμένουσα εἰς τὴν φυσικήν της κατάστασιν ἐκράτει εἰς τὴν ράχην της τὸν Κύριον, ἐπιβεβαιώνουσα τὴν προφητείαν ποὺ ἔλεγεν· «Αὐτὸς ποὺ περιπτεῖ ἐπάνω εἰς τὴν θάλασσαν σὰν νὰ περιπατῇ ἐπάνω εἰς τὸ ἔδαφος»[3]. Δικαίως δὲ ἔκαμε τὸ θαῦμα τῶν ἄρτων, ἐπειδὴ ἐπρόκειτο νὰ εἰσέλθῃ εἰς τὴν σκληρὰν καὶ ἄπιστον Καπερναοὺμ, ἐπειδὴ ἤθελε νὰ μαλακώσῃ τὴν ἀπιστίαν τῶν κατοίκων της ὄχι μόνον μὲ τὰ ὅσα εἶχον γίνει ἐντὸς αὐτῆς, ἀλλὰ καὶ μὲ τὰ θαύματα ποὺ εἶχε κάμει ἔξω ἀπὸ αὐτήν. Τὸ ὅτι εἶχαν συγκεντρωθῆ τόσοι ἄνθρωποι εἰς ἐκείνην τὴν πόλιν, ποὺ ἐδείκνυαν μεγάλην προθυμίαν, ποίαν πέτραν δὲν ἠμποροῦσαν νὰ μαλακώσουν; Ἀλλὰ ἐκεῖνοι ὄχι μόνον δὲν ᾐσθάνθησαν κάτι παρόμοιον, ἀλλὰ ἐπεθύμουν πάλιν σωματικὴν τροφήν. Δι' αὐτὸ καὶ ἐπεπλήττοντο ἀπὸ τὸν Ἰησοῦν.

Αὐτὰ λοιπὸν ἂς ἔχωμεν ὑπ' ὄψιν, ἀγαπητοί μου, καὶ ἂς εὐχαριστοῦμεν τὸν Θεὸν ὄχι μόνον διὰ τὰ ὑλικά, ἀλλὰ πολὺ περισσότερον διὰ τὰ πνευματικὰ ἀγαθά. Διότι καὶ αὐτὸς ἔτσι θέλει καὶ δι' αὐτὸ δίδει ἐκεῖνα τὰ ἀγαθὰ ὥστε νὰ ὁδηγήσῃ καὶ νὰ ἐκπαιδεύσῃ τοὺς ἀτελεστέρους ἐπειδὴ ἀκόμη θαυμάζουν τὸν ὑλικὸν κόσμον. Ἀλλ' ὅταν ἀποκτήσουν αὐτὰ τὰ ἀγαθὰ καὶ ἐπιμείνουν εἰς αὐτά, τότε κατηγοροῦνται καὶ ἐπιπλήττονται. Ἐπειδὴ καὶ εἰς τὸν παραλυτικὸν ἐκεῖνο ἤθελε νὰ δώσῃ πρῶτα, ἀλλ' οἱ παρόντες δὲν ἠνείχοντο. Διότι, ὅταν τοῦ εἶπε «Σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι», ἐκεῖνοι ἔλεγαν· «Αὐτὸς βλασφημεῖ»[4].

Ἂς μὴ πάθωμεν, παρακαλῶ, καὶ ἡμεῖς κάτι παρόμοιον, ἀλλ' ἂς ὁμιλῶμεν διὰ πνευματικώτερα ἀγαθά. Διατί; Διότι ὅταν τὰ πνευματικὰ εἶναι παρόντα, καμμία ζημία δὲν γίνεται ἀπὸ τὴν ἀπουσίαν τῶν σαρκικῶν. Ὅταν ὅμως ἐκεῖνα ἀπουσιάζουν, ποία ἐλπὶς μᾶς ἀπομένει; Καὶ ποία παρηγορία; Δι' αὐτὸ πρέπει νὰ παρακαλοῦμεν τὸν Θεὸν περὶ αὐτῶν καὶ αὐτὰ νὰ ζητοῦμεν. Διότι καὶ ὁ Χριστὸς αὐτὰ μᾶς

Χριστὸς ἡμᾶς εὔχεσθαι, ἐδίδαξεν. Κἂν ἀναπτύξωμεν τὴν εὐχὴν ἐκείνην, οὐδὲν εὑρήσομεν ἐν αὐτῇ σαρκικόν, ἀλλὰ πάντα τὰ πνευματικά. Καὶ αὐτὸ δὲ τὸ μικρόν, ἐκεῖνο τὸ αἰσθητόν, τῷ τρόπῳ γινόμενον πνευματικόν. Τὸ γὰρ παραινεῖν μηδὲν πλέον ἐπιζητεῖν τοῦ ἄρτου τοῦ ἐπιουσίου, τουτέστι, τοῦ καθημερινοῦ, πνευματικῆς ἂν εἴη καὶ φιλοσόφου διανοίας.

Τὰ δὲ πρὸ τούτου ὅρα· «Ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς». Εἶτα εἰπὼν τὸ αἰσθητὸν ἐκεῖνο, ταχέως ἀπηλλάγη αὐτοῦ, καὶ πάλιν ἐπὶ τὴν πνευματικὴν ἦλθε διδασκαλίαν, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», λέγων, «ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Οὐδαμοῦ ἀρχήν, οὐδαμοῦ πλοῦτον, οὐδαμοῦ δόξαν, οὐδαμοῦ δυναστείαν, ἀλλὰ πάντα εἰς ψυχῆς ὠφέλειαν συντελοῦντα ἐνέθηκε τῇ εὐχῇ· οὐδὲν γήϊνον, ἀλλὰ πάντα οὐράνια.

Εἰ τοίνυν κελευόμεθα ἀπέχεσθαι τῶν βιωτικῶν καὶ παρόντων, πῶς οὐκ ἂν εἴημεν ἄθλιοι καὶ ταλαίπωροι ταῦτα αἰτοῦντες παρὰ Θεοῦ, ἃ ἐκέλευσε καὶ ἔχοντας ἐκβάλλειν, φροντίδος ἀπαλλάττων ἡμᾶς, ὑπὲρ ὧν δὲ ἐπέταξε, μηδεμίαν τίθεσθαι σπουδήν· μᾶλλον δὲ μήτε ἔχειν μήτε ἐπιθυμεῖν; Τοῦτο γάρ ἐστι τὸ βαττολογεῖν. Διὰ τοῦτο καὶ εὐχόμενοι οὐκ ἀνύομεν. Πῶς οὖν οἱ πονηροί, φησί, πλουτοῦσι; πῶς οἱ ἄδικοι καὶ μιαροί, ἁρπάζοντες, πλεονεκτοῦντες; Οὐ τοῦ Θεοῦ παρέχοντες, ἄπαγε. Καὶ πῶς ὁ Θεὸς συγχωρεῖ; Ὅτι καὶ τῷ πλουσίῳ τότε συνεχώρησε, μείζονι τηρῶν αὐτὸν κολάσει. Ἄκουσον οὖν καὶ τί φησι πρὸς αὐτόν· «Τέκνον, ἀπέλαβες

4α. Ματθ. 6, 11.
5. Λουκᾶ 11, 3, Ματθ. 6, 9 - 10.
6. Ματθ. 6, 12.

ἐδίδαξε νὰ προσευχώμεθα. Διότι, ἂν ἀναλύσωμεν ἐκείνην τὴν προσευχήν, δὲν θὰ εὕρωμεν κανὲν σαρκικὸν εἰς αὐτήν, ἀλλὰ ὅλα τὰ πνευματικά. Ἀκόμη καὶ τὸ πολὺ μικρὸν ὑλικὸν ἀντικείμενον ἠμπορεῖ νὰ γίνῃ πνευματικὸν μὲ τὸν ἑπόμενον τρόπον. Δηλαδὴ τὸ νὰ μὴ παρακαλοῦμεν μόνον οὔτε νὰ ζητοῦμεν τὸν ἐπιούσιον ἄρτον, ἤτοι τὸν καθημερινόν[4α], αὐτὸ εἶναι ἀπόδειξις πνευματικῆς καὶ φιλοσοφικῆς διανοίας.

Βλέπε ὅμως τὰ προηγούμενα. «Ἂς τιμᾶται ὡς ἅγιον τὸ ὄνομά σου, ἂς ἔλθῃ ἡ βασιλεία σου, ἂς γίνῃ τὸ θέλημά σου ὅπως εἰς τὸν οὐρανόν, ἔτσι καὶ εἰς τὴν γῆν»[5]. Ἔπειτα, ἀφοῦ εἶπεν ἐκεῖνο τὸ αἰσθητόν, ταχέως τὸ ἐγκατέλιψε καὶ ἦλθε πάλιν εἰς τὴν πνευματικὴν διδασκαλίαν, λέγων· «Συγχώρησε ὅ,τι κακὸν ἔχομεν κάμει, ὅπως καὶ ἡμεῖς συγχωροῦμεν ἐκείνους ποὺ μᾶς ἔχουν κάμει κακόν»[6]. Πουθενὰ τὴν ἀρχήν, πουθενὰ τὸν πλοῦτον, πουθενὰ τὴν δόξαν, πουθενὰ τὴν δύναμιν δὲν ἔβαλε μέσα εἰς τὴ προσευχήν, ἀλλὰ ὅλα ἐκεῖνα ποὺ συντελοῦν εἰς τὴν ὠφέλειαν τῆς ψυχῆς. Οὔτε κανὲν γήϊνον, ἀλλὰ ὅλα οὐράνια.

Ἐὰν λοιπὸν προτρεπώμεθα νὰ εἴμεθα μακρὰν τῶν βιωτικῶν καὶ τῶν παρόντων πραγμάτων, πῶς δὲν θὰ εἴμεθα ἄθλιοι καὶ δυστυχεῖς, ὅταν ζητοῦμεν ἀπὸ τὸν Θεὸν αὐτά, ποὺ μᾶς διέταξε καὶ ἂν τὰ ἔχωμεν νὰ τὰ ἀποβάλωμεν, διὰ νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰς φροντίδας, δι' ὅσα ὅμως διέταξε, νὰ μὴ καταβάλωμεν καμμίαν προσπάθειαν; καὶ μᾶλλον οὔτε νὰ ἔχωμεν, οὔτε νὰ ἐπιθυμοῦμεν; Διότι αὐτὸ εἶναι περιττολογία. Δι' αὐτὸ μὲ μόνην τὴν παράκλησιν δὲν ἐπιτυγχάνομεν τίποτε. Ἀλλά, θὰ ἐρωτήσῃς, πῶς πλουτοῦν οἱ πονηροί; Πῶς οἱ ἄδικοι καὶ οἱ ἀσεβεῖς γίνονται πλούσιοι μὲ τὴν ἁρπαγὴν καὶ τὴν πλεονεξίαν; Ὄχι ἐπειδὴ τοὺς τὰ δίδει, ὁ Θεός. Μὴ τὸ πιστεύσῃς. Καὶ διατί ὁ Θεὸς τοὺς συγχωρεῖ; Διότι καὶ τὸν πλούσιον ἐσυγχώρησε τότε, ἀφοῦ τοῦ ἐπεφύλαξε βαρυτέραν τιμωρίαν. Ἄκου λοιπόν, τὸ τοῦ εἶπεν ὁ Ἀβραάμ· «Παιδί μου, σὺ ἀπήλαυσες τὰ ἀγαθά σου,

τὰ ἀγαθά σου καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι».

Ἵν' οὖν μὴ καὶ ἡμεῖς ταύτης ἀκούσωμεν τῆς φωνῆς, τρυφῶντες εἰκῇ καὶ μάτην καὶ πολλὰ συνάγοντες ἑαυτοῖς ἁμαρτήματα, τὸν ἀληθῆ πλοῦτον ἑλώμεθα καὶ τὴν ἀκριβῆ φιλοσοφίαν, ὥστε τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅσον ἐζοῦσες καὶ ὁ Λάζαρος τὰ κακά. Καὶ τώρα αὐτὸς παρηγορεῖται καὶ ἐσὺ ὑποφέρεις».

Διὰ νὰ μὴ ἀκούσωμεν λοιπὸν καὶ ἡμεῖς αὐτὴν τὴν φωνήν, ζῶντες τρυφηλὴν ζωὴν τυχαίως καὶ ματαίως καὶ συγκεντρώνοντες διὰ τοὺς ἑαυτούς μας πολλὰς ἁμαρτίας, ἂς προτιμήσωμεν τὸν ἀληθινὸν πλοῦτον καὶ τὴν πραγματικὴν φιλοσοφίαν, διὰ νὰ ἐπιτύχωμεν τὰ ὑπεσχημένα ἀγαθά. Εἴθε εἰς ὅλα αὐτὰ νὰ γίνωμεν μέτοχοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΔ΄.

'Ιω. 6,26 - 27

«'Απεκρίθη αὐτοῖς ὁ 'Ιησοῦς καὶ εἶπεν· "Ἀμήν, ἀμήν, λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. 'Εργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον"».

1. Τὸ προσηνὲς καὶ λεῖον οὐ πανταχοῦ χρήσιμον, ἀλλ' ἔστιν ὅτε καὶ τοῦ πληκτικωτέρου δεῖ τῷ διδασκάλῳ. Ὅταν γὰρ νωθὴς ᾖ ὁ μαθητὴς καὶ παχύς, κέντρῳ χρῆσθαι πρὸς αὐτὸν λοιπὸν χρή, ὥστε τῆς πολλῆς καθικέσθαι νωθείας. Τοῦτο καὶ ὁ Υἱὸς τοῦ Θεοῦ πεποίηκεν, ἀλλαχοῦ τε πολλαχοῦ, καὶ ἐν τῷ παρόντι τόπῳ. 'Ελθόντων γὰρ τῶν ὄχλων καὶ εὑρόντων τὸν 'Ιησοῦν, καὶ κολακευόντων αὐτὸν καὶ λεγόντων· «Ραββί, πότε ὧδε γέγονας;», δεικνὺς ὅτι τῆς παρὰ ἀνθρώπων οὐκ ἐφίεται τιμῆς, ἀλλ' ἓν μόνον ὁρᾷ, τὴν σωτηρίαν αὐτῶν, ἐπιπληκτικῶς αὐτοῖς ἀποκρίνεται· οὐ ταύτῃ μόνον διορθῶσαι βουλόμενος, ἀλλὰ καὶ τῷ τὴν διάνοιαν αὐτῶν ἐκκαλύψαι καὶ εἰς μέσον ἀγαγεῖν.

Τί γάρ φησιν, «Ἀμήν, ἀμὴν λέγω ὑμῖν»· μετὰ διορισμοῦ καὶ βεβαιώσεως· «ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε» Πλήττει μὲν τῷ λόγῳ καὶ ἐλέγχει, ἀλλ' οὐκ ἀποτόμως καὶ σφόδρα, ἀλλὰ μετὰ πολλῆς τῆς φειδοῦς τοῦτο ποιῶν. Οὐ γὰρ εἶπεν, Ὦ λαίμαργοι καὶ γαστρίδουλοι, τοσαῦτα ἐθαυματούργησα καὶ οὐδαμοῦ οὔτε ἠκολουθήσατε, οὔτε ἐθαυμάσατε τὰ γεγενημένα· ἀλλὰ προσηνῶς οὕτω πως καὶ ἠρέμα, «Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε»· οὐ περὶ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ περὶ τοῦ παρόντος σημείου ἐμφαίνων. Μονονουχὶ γὰρ τοῦτο

---

1. 'Ιω. 6, 26-27.

ΟΜΙΛΙΑ ΜΔ΄.

'Ιω. 6,26 - 27

«'Απεκρίθη ὁ 'Ιησοῦς καὶ εἶπεν· «'Αλήθεια, ἀλήθεια, σᾶς λέγω, μὲ ζητεῖτε ὄχι διότι εἴδατε θαύματα, ἀλλὰ διότι ἐφάγατε ἀπὸ τοὺς ἄρτους καὶ ἐχορτάσατε. Νὰ ἐργάζεσθε ὄχι διὰ τὴν τροφὴν τὴν φθαρτήν, ἀλλὰ διὰ τὴν τροφὴν ποὺ μένει εἰς ζωὴν αἰώνιον»[1].

1. Ἡ ἐπιείκεια καὶ ἡ πραότης δὲν ὠφελοῦν πάντοτε, ἀλλ' ἐνίοτε ὁ διδάσκαλος πρέπει νὰ χρησιμοποιῇ καὶ τὴν αὐστηρότητα. Διότι, ὅταν ὁ μαθητὴς εἶναι νωθρὸς καὶ χονδροκέφαλος, τότε πρέπει νὰ χρησιμοποιῇ τὸ κέντρισμα, ὥστε νὰ ἀποβάλῃ τὴν μεγάλην νωθρότητα. Αὐτὸ ἔχει κάμει καὶ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ εἰς πολλὰς ἄλλας περιπτώσεις καὶ εἰς τὴν παροῦσαν. Διότι, ὅταν οἱ ἄνθρωποι ἦλθαν καὶ εὑρῆκαν τὸν 'Ιησοῦν καὶ τὸν ἐκολάκευαν καὶ τοῦ ἔλεγαν, «Διδάσκαλε, πότε ἦλθες ἐδῶ;», ἀφοῦ ἐδήλωσεν ὅτι δὲν ἐπιθυμεῖ τιμὰς ποὺ προέρχονται ἀπὸ ἀνθρώπους, ἀλλ' εἰς ἕνα μόνον ἀποβλέπει, δηλαδὴ εἰς τὴν σωτηρίαν των, ἀποκρίνεται εἰς αὐτοὺς καὶ τοὺς ἐπιπλήττει, ὄχι μόνον διότι ἤθελε μὲ αὐτὸν τὸν τρόπον νὰ τοὺς διορθώσῃ ἀλλὰ καὶ ν' ἀποκαλύψῃ τὴν σκέψιν των καὶ νὰ τὴν φέρῃ εἰς τὸ μέσον.

Τί τοὺς εἶπεν; «'Αλήθεια, ἀλήθεια, σᾶς λέγω», κατὰ τρόπον ὁριστικὸν καὶ βεβαιωτικόν, «μὲ ζητεῖτε ὄχι διότι εἴδατε θαύματα, ἀλλὰ διότι ἐφάγατε ἀπὸ τοὺς ἄρτους καὶ ἐχορτάσατε». Τοὺς ἐπιπλήττει μὲ τὸν λόγον καὶ τοὺς ἐλέγχει, ὄχι ὅμως μὲ αὐστηρότητα μεγάλην, ἀλλὰ κάμνει αὐτὸ μὲ πολλὴν φειδώ. Διότι δὲν εἶπεν· Ὦ λαίμαργοι καὶ κοιλιόδουλοι, τόσα θαύματα ἔκαμα καὶ ποτὲ δὲν μὲ ἠκολουθήσατε οὔτε ἐθαυμάσατε αὐτὰ ποὺ ἔγιναν. 'Αλλὰ τοὺς ὁμιλεῖ μὲ κάποιαν γλυκύτητα καὶ ἠρεμίαν· «Μὲ ζητεῖτε, ὄχι διότι εἴδατε θαύματα, ἀλλὰ διότι ἐφάγατε ἀπὸ τοὺς ἄρτους καὶ ἐχορτάσατε», κάμνων λόγον ὄχι μόνον διὰ τὰ περασμένα, ἀλλὰ καὶ διὰ τὸ παρὸν θαῦμα. Σὰν νὰ τοὺς λέγῃ

λέγει, δι' ὧν πρὸς αὐτοὺς ἀποτείνεται· Οὐ τὸ θαῦμα ὑμᾶς ἐξέπληξε τὸ ἐπὶ τοῖς ἄρτοις, ἀλλὰ τὸ ἐμπλησθῆναι. Καὶ ὅτι οὐ καταστοχαζόμενος αὐτῶν ἔλεγεν, εὐθέως ἔδειξαν ἐκεῖνοι.

Καὶ γὰρ διὰ τοῦτο πάλιν ἦλθον, ὡς μέλλοντες τῶν αὐτῶν ἀπολαύσεσθαι. Διὰ τοῦτο καὶ ἔλεγον· «Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ»· πάλιν ἐπὶ τροφὴν αὐτὸν ἕλκοντες σαρκικήν, ὅπερ ἦν ἔγκλημα καὶ κατηγορία μεγίστη. Ἀλλ' αὐτὸς οὐχ ἵσταται μέχρι τῶν ἐλέγχων, ἀλλὰ καὶ διδασκαλίαν τούτοις προστίθησι, λέγων· «Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δίδωσιν ὑμῖν. Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Μηδεὶς ὑμῖν ἔστω λόγος ταύτης τῆς τροφῆς, ἀλλ' ἐκείνης τῆς πνευματικῆς.

Ἀλλ' ἐπειδή τινες τῶν βουλομένων ἀργῶς τρέφεσθαι, ἀποκέχρηνται τούτῳ τῷ λόγῳ, ὡς τὴν ἐργασίαν ἐκκόπτοντος τοῦ Χριστοῦ, εὔκαιρον καὶ πρὸς αὐτοὺς εἰπεῖν. Ὅλον γάρ, ὡς εἰπεῖν, διαβάλλουσι τὸν Χριστιανισμὸν καὶ ἐπὶ ἀργίᾳ κωμῳδεῖσθαι παρασκευάζουσι. Πρότερον δὲ εἰπεῖν ἀναγκαῖον τὸ τοῦ Παύλου. Τί δὲ ἐκεῖνός φησι; «Μνημονεύετε τοῦ Κυρίου εἰρηκότος· Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν». Καίτοι πόθεν ἂν γένοιτο διδόναι τῷ οὐκ ἔχοντι; Πῶς οὖν τῇ Μάρθᾳ ὁ Ἰησοῦς εἶπεν· «Μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο»· καὶ πάλιν, «Μὴ μεριμνήσητε εἰς τὴν αὔριον».

Ἀναγκαῖον γὰρ πάντα νῦν ταῦτα ἐπιλῦσαι, οὐχ ἵνα μόνον παύσωμεν αὐτοὺς ἀργοῦντας, εἰ βούλοιντο, ἀλλ' ἵνα μὴ μάχην εἰσάγειν τινὰ δείξωμεν τὰ λόγια τοῦ Θεοῦ. «Πα-

---

2. Ἰω. 6, 31.
2α. Πράξ. 20, 23.
3. Λουκᾶ, 10, 41-42.
4. Ματθ. 6, 34.

δηλαδὴ τὸ ἑξῆς, μὲ ὅσα τοὺς τονίζει· Δὲν σᾶς ἐξέπληξε τὸ θαῦμα τῶν ἄρτων, ἀλλ' ὁ χορτασμός σας. Καὶ ὅτι δὲν τὸ ἔλεγεν ἀπὸ εἰκασίαν, τὸ ἀπέδειξαν ἐκεῖνοι ἀμέσως.

Ἄλλωστε αὐτοὶ εἶχαν ἔλθει πάλιν μὲ τὸν σκοπὸν ν' ἀπολαύσουν τὰ ἴδια. Δι' αὐτὸ ἔλεγαν· «Οἱ πατέρες μας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον»[2], προσπαθοῦντες νὰ ἐπιτύχουν παρ' αὐτοῦ τὴν σαρκικὴν τροφήν, ποὺ ἦτο πράγματι ἄξιον μεγάλης ἐπιτιμήσεως. Ἀλλ' ὁ Χριστὸς δὲν σταματᾷ μόνον εἰς τὸν ἔλεγχον, ἀλλὰ καὶ προσθέτει εἰς ταῦτα διδασκαλίαν λέγων «Νὰ ἐργάζεσθε ὄχι διὰ τὴν τροφὴν τὴν φθαρτήν, ἀλλὰ διὰ τὴν τροφήν, ἡ ὁποία μένει εἰς ζωὴν αἰώνιον, τὴν ὁποίαν δίδει εἰς σᾶς ὁ Υἱὸς τοῦ ἀνθρώπου. Διότι τοῦτον ὁ Πατήρ, ὁ Θεὸς ἐσφράγισεν». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Νὰ μὴ συζητῆτε δι' αὐτὴν τὴν τροφήν, ἀλλὰ διὰ τὴν ἄλλην, τὴν πνευματικήν.

Ἀλλ' ἐπειδὴ μερικοὶ θέλουν νὰ ζοῦν χωρὶς νὰ ἐργάζωνται, χρησιμοποιοῦν αὐτὰ τὰ λόγια, διὰ ν' ἀποδείξουν ὅτι δῆθεν ὁ Χριστὸς ἀπαγορεύει τὴν ἐργασίαν, εἶναι εὐκαιρία κατάλληλος νὰ τοὺς ἀπαντήσωμεν. Γενικῶς συκοφαντοῦν τὸν Χριστιανισμὸν καὶ ἑτοιμάζουν τὴν διακωμῴδησίν του ἰσχυριζόμενοι, ὅτι διδάσκει τὴν ἀργίαν. Προηγουμένως ὅμως ἂς ἀκούσωμεν, τί λέγει ὁ Παῦλος· «Νὰ ἐνθυμῆσθε τὰ λόγια τοῦ Κυρίου, ποὺ εἶπεν· 'Εἶναι εὐτυχέστερον νὰ δίδῃ κανείς, παρὰ νὰ παίρνῃ»[2α]. Ἀλλὰ ἀπὸ ποῦ νὰ δώσῃ ἐκεῖνος ποὺ δὲν ἔχει τίποτε; Πῶς λοιπὸν ὁ Ἰησοῦς εἶπεν εἰς τὴν Μάρθαν· «Μεριμνᾷς καὶ ἀνησυχεῖς διὰ πολλὰ πράγματα, ἀλλὰ ἕνα μόνον εἶναι ἀναγκαῖον. Ἡ Μαρία ἐδιάλεξε τὴν καλὴν μερίδα, ἡ ὁποία δὲν θὰ τῆς ἀφαιρεθῇ»[3]. Καὶ πάλιν· «Μὴ μεριμνᾶτε διὰ τὴν αὔριον»[4].

Εἶναι λοιπὸν ἀνάγκη ὅλα αὐτὰ τὰ ζητήματα νὰ τὰ λύσωμεν τώρα, ὄχι μόνον διὰ νὰ παρακινήσωμεν τοὺς ἀργούς, ἂν βέβαια θέλουν, ἀλλὰ καὶ διὰ ν' ἀποδείξωμεν, ὅτι δὲν ἀντιμάχονται μεταξύ των τὰ λόγια τοῦ Θεοῦ. Διότι καὶ εἰς ἄλλο μέρος λέγει ὁ Ἀπόστολος· «Σᾶς προτρέπομεν νὰ κά-

ρακαλοῦμεν δὲ ὑμᾶς περισσεύειν καὶ φιλοτιμεῖσθαι, ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, ἵνα εὐσχημόνως περιπατῆτε πρὸς τοὺς ἔξω»· καὶ πάλιν, «Ὁ κλέπτων, μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος ταῖς ἰδίαις χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι». Ἐνταῦθα γὰρ ὁ Παῦλος οὐδὲ ἁπλῶς ἐργάζεσθαι ἐκέλευσεν, ἀλλ' οὕτω μετὰ πόνου, ὡς ἔχειν ἐντεῦθεν καὶ ἑτέρῳ μεταδιδόναι. Καὶ ἑτέρωθι πάλιν ὁ αὐτὸς λέγει, «Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται». Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγε· «Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον». Καὶ ἐν τῇ πόλει δὲ ἐκείνῃ γενόμενος, «Ἔμενε πρὸς Ἀκύλαν καὶ Πρίσκιλλαν, καὶ εἰργάζετο. Ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην». Ἀλλὰ ταῦτα τὴν μάχην δείκνυσι σφοδροτέραν κατὰ τὸ ῥητόν. Οὐκοῦν ἀνάγκη λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν.

Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; Ὅτι τὸ μὴ μεριμνᾶν οὐ τὸ μὴ ἐργάζεσθαί ἐστιν, ἀλλὰ τὸ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς πράγμασι· τουτέστι, τὸ μὴ ποιεῖσθαι φροντίδα περὶ τῆς εἰς αὔριον ἀναπαύσεως, ἀλλὰ πάρεργον αὐτὴν εἶναι νομίζειν. Ἔνεστι γὰρ καὶ ἐργαζόμενον, μηδὲν εἰς τὴν αὔριον θησαυρίζειν, καὶ ἔνεστιν ἐργαζόμενον, μηδὲν μεριμνᾶν. Οὐ γὰρ ταὐτόν ἐστι μέριμνα καὶ ἐργασία. Οὐδὲ γὰρ ὡς τῷ ἔργῳ θαρρῶν ἐργάζεταί τις, ἀλλ' ἵνα μεταδῷ τῷ χρείαν ἔχοντι.

Καὶ τὸ πρὸς Μάρθαν δὲ εἰρημένον οὐ περὶ ἔργου καὶ ἐργασίας ἐστίν, ἀλλὰ περὶ τοῦ δεῖν καιρὸν εἰδέναι, καὶ μὴ τὸν τῆς ἀκροάσεως χρόνον πρὸς τὰ σαρκικώτερα ἀναλίσκειν. Οὐ τοίνυν εἰς ἀργίαν αὐτὴν ἐμβάλλων, ταῦτα ἔλεγεν, ἀλλὰ

---

5. Α' Θεσ. 4, 10-11.
6. Ἐφ. 4, 28.
7. Πράξ. 20, 34.
8. Α' Κορ. 9, 18.

μνετε τοῦτο περισσότερον καὶ νὰ φιλοδοξῆτε νὰ ἔχετε ἥσυχον ζωὴν νὰ φροντίζετε διὰ τὰς ἰδικάς σας ὑποθέσεις, διὰ νὰ συμπεριφέρεσθε ἀξιοπρεπῶς πρὸς τοὺς ἔξω»[5]. Καὶ πάλιν· «Ὁ κλέπτης νὰ μὴ κλέπτῃ πλέον, ἀλλὰ μᾶλλον νὰ κοπιάζῃ ἐργαζόμενος μὲ τὰ χέρια του, διὰ νὰ ἔχῃ νὰ δώσῃ κάτι εἰς ἐκεῖνον ποὺ ἔχει ἀνάγκην»[6]. Ἐδῶ ὁ Παῦλος δὲν προτρέπει ἁπλῶς νὰ ἐργάζωνται, ἀλλὰ μὲ τόσον κόπον, ὥστε νὰ κερδίζῃ κανεὶς ἀπὸ τὴν ἐργασίαν καὶ νὰ δίδῃ καὶ εἰς ἄλλους. Καὶ ἀλλοῦ πάλιν λέγει ὁ ἴδιος· «Τὰς ἀνάγκας τὰς ἰδικάς μου καὶ τῶν συντρόφων μου ἐξυπηρέτησαν τὰ χέρια μου αὐτά»[7]. Καὶ εἰς τοὺς Κορινθίους ἔλεγε· «Ποῖος λοιπὸν ὁ μισθός μου; Τὸ νὰ κάνω ἀδάπανον τὸ Εὐαγγέλιον»[8]. Καὶ ὅταν ἐπῆγεν εἰς ἐκείνην τὴν πόλιν «Ἔμενε μαζὶ μὲ τὸν Ἀκύλαν καὶ τὴν Πρίσκιλλαν καὶ εἰργάζετο. Διότι ἦσαν ὡς πρὸς τὴν τέχνην σκηνοποιοί»[9]. Αὐτὰ ὅλα φαίνεται ὅτι ἀντικρούουν πολὺ ἐπιτυχῶς ἐκεῖνο ποὺ ἐλέχθη προηγουμένως. Ἐπομένως εἶναι ἀνάγκη νὰ δώσωμεν τὴν λύσιν.

Τί θ' ἀπαντήσωμεν εἰς αὐτά; Ὅτι τὸ νὰ μὴ μεριμνᾷ κανεὶς δὲν σημαίνει καὶ νὰ μὴ ἐργάζεται, ἀλλὰ νὰ μὴ ἀφοσιώνεται εἰς τὰ ἐπίγεια, δηλαδὴ νὰ μὴ φροντίζῃ διὰ τὴν αὐριανὴν ἀνάπαυσιν, ἀλλὰ νὰ θεωρῇ αὐτὴν ὡς πάρεργον. Διότι εἶναι δυνατὸν καὶ ἐργαζόμενος κανεὶς νὰ μὴ ἀποταμιεύῃ διὰ τὴν αὔριον ἀλλὰ καὶ ἐργαζόμενος νὰ μὴ μεριμνᾷ. Διότι δὲν εἶναι τὸ ἴδιο μέριμνα καὶ ἐργασία. Διότι δὲν ἐργάζεται κανείς, ἐπειδὴ ἔχει ἐμπιστοσύνην εἰς τὴν ἐργασίαν, ἀλλὰ διὰ νὰ δίδῃ εἰς ἐκεῖνον ποὺ ἔχει ἀνάγκην.

Ἀλλὰ καὶ ἐκεῖνο ποὺ ὁ Χριστὸς εἶχεν εἰπεῖ εἰς τὴν Μάρθαν δὲν ἀναφέρεται εἰς τὸ ἔργον καὶ τὴν ἐργασίαν, ἀλλ' εἰς τὸ ὅτι πρέπει νὰ ἔχῃ ἐπίγνωσιν τοῦ χρόνου καὶ νὰ μὴ σπαταλᾷ τὸν χρόνον τῆς ἀκροάσεως εἰς τὰ σαρκικώτερα ἔργα. Δὲν ἔλεγεν αὐτὰ διὰ νὰ τὴν παρακινήσῃ εἰς ἀργίαν, ἀλλὰ διὰ νὰ τὴν προσηλώσῃ εἰς τὴν ἀκρόασιν τῶν λόγων

9. Πράξ. 18, 2.

προσηλῶν τῇ ἀκροάσει. Παρεγενόμην, φησίν, διδάξων ὑμᾶς τὰ δέοντα· σὺ δὲ περὶ ἄριστον ἐσπούδακας; Ὑποδέξασθαί με βούλει καὶ πολυτελῆ παρασκευάσαι τράπεζαν; Ἑτέραν παρασκεύασον ἑστίασιν, τὴν μετὰ προθυμίας ἀκρόασίν μοι παρεχομένη καὶ τὸν τῆς ἀδελφῆς μιμουμένη πόθον. Οὔτε οὖν τὴν φιλοξενίαν κωλύων ταῦτα ἔλεγεν· ἄπαγε· πῶς γάρ; ἀλλὰ τὸ μὴ δεῖν ἀκροάσεως καιρῷ περὶ ἕτερα ἠσχολῆσθαι. Τὸ δὲ λέγειν, «Μὴ ἐργάζεσθε τὴν βρῶσιν τὴν ἀπολλυμένην», οὐ τοῦτό ἐστιν αἰνιττομένου, ὥστε δεῖν ἀργεῖν· καὶ γὰρ καὶ τοῦτο μάλιστα ἀπολλυμένη βρῶσίς ἐστι· («Πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία»)· ἀλλ' ὥστε ἐργάζεσθαι καὶ μεταδιδόναι. Τοῦτο γὰρ οὐκ ἀπολλυμένη βρῶσίς ἐστι λοιπόν. Εἰ δέ τις ἀργῶν γαστρίζοιτο καὶ τρυφῆς ἐπιμελοῖτο, οὗτος τὴν βρῶσιν ἐργάζεται τὴν ἀπολλυμένην· ὥσπερ εἴ τις ἐργαζόμενος τὸν Χριστὸν τρέφοι καὶ ποτίζοι καὶ ἐνδύοι, οὐδεὶς οὕτως ἀναίσθητος καὶ ἀμαθής, ὡς εἰπεῖν, ἀπολλυμένην βρῶσιν ἐργάζεσθαι τὸν τοιοῦτον, δι' ἣν τῆς βασιλείας ἡ ἐπαγγελία τῆς μελούσης καὶ τῶν ἀγαθῶν ἐκείνων. Αὕτη γὰρ μένει διηνεκῶς ἡ βρῶσις. Ἄλλως δέ, καὶ τότε δὲ ἐπειδὴ τῆς μὲν πίστεως οὐδένα λόγον ἐποιοῦντο, οὐδὲ ἐσκόπουν μαθεῖν, τίς ὁ ταῦτα ἐργαζόμενος καὶ ποίᾳ δυνάμει, ἓν δὲ μόνον ἐβούλοντο, γαστρίζεσθαι μηδὲν ποιοῦντες, τὴν τοιαύτην τροφὴν εἰκότως βρῶσιν ἀπολλυμένην ἐκάλεσεν.

Ἔθρεψα ὑμῶν τὰ σώματα, φησίν, ἵνα ἀπὸ τούτου τὴν ἑτέραν ἐπιζητήσητε τροφήν, τὴν μένουσαν, τὴν τρέφουσαν ὑμῶν τὴν ψυχήν· ὑμεῖς δὲ πάλιν ἐπὶ τὴν γηΐνην τρέχετε. Διὰ τοῦτο οὐ συνίετε ὅτι οὐκ ἐπὶ ταύτην ὑμᾶς ἄγω τὴν ἀτελῆ, ἀλλ' ἐπ' ἐκείνην τὴν οὐ πρόσκαιρον παρέχουσαν ζωήν, ἀλλ' αἰώνιον, τὴν οὐ σῶμα, ἀλλὰ ψυχὴν τρέφουσαν. Εἶτα

10. Σοφ. Σειρ. 33, 29.

του. Ἦλθα, τῆς λέγει, διὰ νὰ σᾶς διδάξω τὰ δέοντα καὶ σὺ ἀσχολεῖσαι μὲ τὸ γεῦμα; Θέλεις νὰ μὲ ὑποδεχθῇς καὶ ἑτοιμάζεις πολυτελὲς τραπέζι; Νὰ ἑτοιμάσῃς ἄλλην τροφήν, δηλαδὴ νὰ μὲ ἀκούσῃς μὲ προθυμίαν καὶ νὰ μιμηθῇς τὴν ἐπιθυμίαν τῆς ἀδελφῆς σου. Αὐτὰ τὰ ἔλεγεν ὄχι διὰ νὰ ἐμποδίσῃ τὴν φιλοξενίαν. Διότι πῶς ἦτο δυνατὸν τοῦτο; Ἀλλὰ ὅτι δὲν ἔπρεπε τὸν καιρὸν τῆς διδασκαλίας νὰ ἀσχολῆται μὲ ἄλλα.

Μ' ἐκεῖνο λοιπὸν ποὺ εἶχεν εἰπεῖ, «Νὰ μὴ ἐργάζεσθε διὰ τὴν τροφὴν τὴν φθαρτήν», δὲν ὑπαινίσσεται, ὅτι δὲν πρέπει νὰ ἐργάζεται κανεὶς καθόλου, διότι καὶ αὐτὸ φθαρτὴ τροφὴ εἶναι («Διότι ὅλην τὴν κακίαν ἡ ἀργία τὴν διδάσκει»[10]), ἀλλὰ νὰ ἐργάζεται διὰ νὰ ἠμπορῇ νὰ δίδῃ. Διότι αὐτὸ μόνον δὲν εἶναι βρῶσις φθαρτή. Ἐὰν ὅμως κάποιος ποὺ δὲν ἐργάζεται, εἶναι κοιλιόδουλος καὶ φροντίζῃ διὰ τρυφηλὴν ζωήν, αὐτὸς ἐργάζεται διὰ φθαρτὴν τροφήν. Ἀντιθέτως, ὅποιος μὲ τὴν ἐργασίαν του τρέφει, ποτίζει καὶ ἐνδύει τὸν Χριστόν, δὲν εἶναι κανεὶς τόσον ἀναίσθητος καὶ ἀνόητος, ὥστε νὰ ἰσχυρισθῇ, ὅτι αὐτὸς ὁ ἄνθρωπος ἐργάζεται διὰ φθαρτὴν τροφήν, ἕνεκα τῆς ὁποίας ὑπάρχει ἡ ὑπόσχεσις τῆς μελλούσης βασιλείας καὶ τῶν ἀγαθῶν ἐκείνων. Διότι αὐτὴ ἡ τροφὴ μένει αἰωνίως. Ἄλλωστε, ἐπειδὴ τότε δὲν ἔκαμναν καθόλου λόγον περὶ τῆς πίστεως, οὔτε ἐσκόπευαν νὰ μάθουν, ποῖος ἠσχολεῖτο μὲ αὐτὰ καὶ μὲ ποίαν ἐξουσίαν, ἕνα δὲ μόνον ἤθελαν, νὰ τρώγουν χωρὶς νὰ κάμνουν τίποτε, δικαίως ὁ Χριστὸς ὠνόμασεν αὐτὴν φθαρτὴν τροφήν.

Ἔθρεψα τὰ σώματά σας, λέγει, διὰ νὰ ζητήσετε κατόπιν τούτου τὴν ἄλλην τροφήν, αὐτὴν ποὺ μένει, αὐτὴν ποὺ τρέφει τὴν ψυχήν σας, ἀλλὰ ἐσεῖς πάλιν εἰς τὴν γηΐνην τρέχετε. Δι' αὐτὸ δὲν καταλάβατε, ὅτι δὲν σᾶς ὁδηγῶ εἰς αὐτὴν τὴν ἀτελῆ τροφήν, ἀλλ' εἰς ἐκείνην ποὺ δίδει ὄχι πρόσκαιρον, ἀλλὰ αἰωνίαν ζωήν, ἐκείνην ποὺ τρέφει ὄχι τὸ σῶμα, ἀλλὰ τὴν ψυχήν. Ἔπειτα, ἐπειδὴ τόσον σοβαρὰ

ἐπειδὴ οὕτω μέγα περὶ ἑαυτοῦ ἐφθέγξατο, καὶ ἔφησεν αὐτὸς δώσειν αὐτήν, ἵνα μὴ πάλιν αὐτοῖς προστῇ τὸ λεγόμενον, ἀξιόπιστον τὸν λόγον ποιῶν, ἐπὶ τὸν Πατέρα τὴν χορηγίαν αὐτῆς ἀνάγει. Εἰπὼν γάρ, «Ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δώσει ὑμῖν», ἐπήγαγε, «Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός»· τουτέστιν, ἐπὶ τούτῳ ἔπεμψε ταύτην ὑμῖν κομίζοντα τὴν τροφήν.

Δηλοῖ δὲ καὶ ἑτέραν ἑρμηνείαν ἡ λέξις. Καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν ὁ Χριστός· «Ὁ ἀκούων μου τοὺς λόγους, τοῦτον ἐσφράγισεν ὁ Πατήρ, ὅτι ὁ Θεὸς ἀληθής ἐστι»· τουτέστιν, ἀπέδειξεν ἀναντιρρήτως· ὃ δή μοι δοκεῖ καὶ ἐνταῦθα ἡ λέξις αἰνίττεσθαι. Οὐδὲν γάρ ἐστιν ἄλλο τό, «Ἐσφράγισεν ὁ Πατήρ», ἀλλ' ἢ ἀπέδειξεν, ἐξεκάλυψε διὰ τῆς αὐτοῦ μαρτυρίας. Ἔδειξε μὲν γὰρ καὶ αὐτὸς ἑαυτόν· ἐπειδὴ δὲ πρὸς Ἰουδαίους διελέγετο, τὴν τοῦ Πατρὸς μαρτυρίαν εἰς μέσον ἤγαγε.

2. Μάθωμεν τοίνυν, ἀγαπητοί, ταῦτα αἰτεῖν τὸν Θεόν, ἃ ἄξιόν ἐστι παρ' αὐτοῦ αἰτεῖν. Ἐκεῖνα μὲν γάρ, ὅπως ἂν τύχῃ, τὰ βιωτικὰ λέγω, βλάβην οὐδεμίαν φέρει. Ἄν τε γὰρ πλουτήσωμεν, ἐνταῦθα μόνον ἀπολαυσόμεθα τῆς τρυφῆς· ἄν τε εἰς πενίαν καταπέσωμεν, οὐδὲν πεισόμεθα δεινόν. Οὔτε γὰρ τὸ λαμπρὰ τοῦ παρόντος βίου, οὔτε τὰ λυπηρὰ εἰς ἀθυμίας καὶ ἡδονῆς λόγον ἔχει τὴν ἰσχύν, ἀλλ' ἑκάτερα εὐκαταφρόνητα, καὶ μετὰ πολλῆς παραρρεῖ τῆς ταχυτῆτος. Διὸ καὶ ὁδὸς κέκληται εἰκότως ἅτε παροδεύοντα, καὶ ἐπὶ πλεῖστον μένειν οὐ πεφυκότα· τὰ δὲ μέλλοντα ἑκάτερα ἀθάνατα μένει, τά τε κολάσεως, τά τε τῆς βασιλείας. Ὑπὲρ ἐκείνων τοίνυν πολλὴν ποιώμεθα σπουδήν, ὥστε τὰ μὲν φυγεῖν, τὰ δὲ ἑλέσθαι.

Τί γὰρ τῆς ἐνταῦθα τρυφῆς ὄφελος; Σήμερόν ἐστι, καὶ αὔριον οὐκ ἔστι· σήμερον ἄνθος λαμπρὸν καὶ αὔριον

---

11. Ἰω. 8, 38.

ὡμίλησε περὶ τοῦ ἑαυτοῦ του καὶ εἶπεν, ὅτι αὐτὸς θὰ δώσῃ αὐτὴν τὴν ζωήν, διὰ νὰ μὴ προσκρούσουν τὰ λόγια του εἰς τὴν ἔχθραν των καὶ διὰ νὰ κάμῃ ταῦτα πιστευτά, ἀναφέρει εἰς αὐτοὺς τὴν χάριν τοῦ Πατρός. Διότι ἀφοῦ εἶπε· «Τὴν ὁποίαν ζωὴν θὰ σᾶς δώσῃ ὁ Υἱὸς τοῦ Θεοῦ», προσέθεσεν· «Διότι ὁ Πατήρ, ὁ Θεὸς ἐσφράγισεν αὐτόν», δηλαδὴ ἔστειλεν αὐτὸν νὰ σᾶς φέρῃ αὐτὴν τὴν τροφήν.

Ἔχει ὅμως καὶ ἄλλην σημασίαν ἡ λέξις. Διότι καὶ ἀλλοῦ ὁ Χριστὸς λέγει· «Ἐκεῖνος ποὺ ἀκούει τοὺς λόγους μου, αὐτὸν ἐβεβαίωσεν ὁ Πατήρ, ὅτι ὁ Θεὸς εἶναι ἀληθινός»[11], δηλαδὴ ἐβεβαίωσεν ἀναμφισβητήτως. Αὐτὸ νομίζω, ὅτι ὑπαινίσσεται αὐτὴ ἡ λέξις. Διότι αὐτὸ τὸ «Ἐσφράγισεν ὁ Πατὴρ» σημαίνει ἀπέδειξεν, ἀπεκάλυψε διὰ τῆς μαρτυρίας του. Διότι ἔδειξε μὲν καὶ αὐτὸς τὸν ἑαυτόν του, ἐπειδὴ ὅμως ὡμίλει πρὸς Ἰουδαίους, προσεκόμισε τὴν μαρτυρίαν τοῦ Πατρός.

2. Ἃς μάθωμεν λοιπόν, ἀγαπητοί μου, νὰ ζητοῦμεν ἀπὸ τὸν Θεὸν ἐκεῖνα, τὰ ὁποῖα ἀξίζει νὰ ζητοῦμεν ἀπὸ αὐτόν. Διότι ἐκεῖνα μέν, ἐννοῶ τὰ ἐπίγεια, ὁπωσδήποτε δὲν προκαλοῦν καμμίαν βλάβην. Διότι, ἐὰν γίνωμεν πλούσιοι, μόνον εἰς τὴν παροῦσαν ζωὴν θ' ἀπολαύσωμεν τὴν τρυφήν. Καὶ ἐὰν περιπέσωμεν εἰς τὴν φτώχεια, δὲν θὰ πάθωμε τίποτε τὸ φοβερόν. Διότι οὔτε ἡ λαμπρότης τῆς παρούσης ζωῆς, οὔτε ἡ λύπη ἠμπορεῖ νὰ μᾶς δώσῃ στενοχώριαν καὶ εὐχαρίστησιν, ἀλλὰ καὶ τὰ δύο εἶναι ἀξιοκαταφρόνητα καὶ χάνονται μὲ μεγάλην ταχύτητα. Δι' αὐτὸ δικαίως αὐτὰ ὀνομάζονται ὁδός, ἐπειδὴ περνοῦν καὶ ἀπὸ τὴν φύσιν τους δὲν μένουν πολὺν καιρόν. Τὰ μέλλοντα ὅμως μένουν καὶ τὰ δύο ἀθάνατα καὶ τὰ σχετικὰ μὲ τὴν κόλασιν καὶ τὰ σχετικὰ μὲ τὴν βασιλείαν τῶν οὐρανῶν. Διὰ τὰ πρῶτα λοιπὸν δεικνύομεν μεγάλην φροντίδα, ὥστε ἄλλα μὲν ν' ἀποφύγωμεν, ἄλλα δὲ νὰ προτιμήσωμεν.

Διότι, ποία εἶναι ἡ ὠφέλεια ἀπὸ τὴν ἐπίγειον τρυφήν; Σήμερα ὑπάρχει καὶ αὔριο δὲν ὑπάρχει. Σήμερα εἶναι ἄν-

κόνις σκεδαννυμένη· σήμερον πῦρ καιόμενον καὶ αὔριον τέφρα κατασβεννυμένη. Ἀλλ' οὐ τὰ πνευματικὰ τοιοῦτα, ἀλλ' ἀεὶ μένει λάμποντα καὶ ἀνθοῦντα καὶ φαιδρότερα γινόμενα καθημέραν. Ὁ πλοῦτος ἐκεῖνος οὐδέποτε ἀπόλλυται, οὐδέποτε ἐπάγει φροντίδα καὶ φθόνον καὶ κατηγορίαν, οὐ σῶμα ἐξόλλυσιν, οὐ ψυχὴν διαφθείρει, οὐ φθόνον ἔχει, οὐ βασκανίαν ἐπισωρεύει, ἅπερ ἅπαντα ταῦτα τῷ πλούτῳ πρόσεστιν. Ἡ δόξα ἐκείνη οὐκ εἰς ἀπόνοιαν αἴρει, οὐ φλεγμαίνειν παρασκευάζει, οὐδέποτε παύεται, οὐδὲ ἀμαυροτέρα γίνεται. Ἡ ἄνεσις καὶ ἡ τρυφὴ ἐπὶ τοῖς οὐρανοῖς πάλιν μένει καὶ αὕτη διηνεκής, ἀεὶ ἀκίνητος οὖσα καὶ ἀθάνατος· οὐκ ἔστι γὰρ πέρας αὐτῆς καὶ τέλος εὑρεῖν.

Ταύτην, παρακαλῶ, ποθήσωμεν τὴν ζωήν. Ἂν γὰρ ποθήσωμεν αὐτήν, οὐδένα τῶν παρόντων ποιησόμεθα λόγον, ἀλλὰ καταφρονήσωμεν τούτων ἁπάντων καὶ καταγελασόμεθα, κἂν εἰς βασιλικὰς αὐλάς τις ἡμᾶς εἰσελθεῖν κελεύῃ, οὐχ αἱρησόμεθα ἐκείνην ἔχοντες τὴν ἐλπίδα· καίτοι τούτου οὐδὲν μακαριώτερον εἶναι δοκεῖ, ἀλλὰ τοῖς κατεχομένοις τῷ τῶν οὐρανῶν ἔρωτι καὶ τοῦτο μικρὸν καὶ εὐτελὲς καὶ οὐδενὸς ἄξιον λόγου. Πᾶν γὰρ ὃ τέλος ἔχει, οὐ σφόδρα περισπούδαστον· πᾶν ὃ παύεται, καὶ σήμερόν ἐστι, καὶ αὔριον οὐκ ἔστι, κἂν σφόδρα ᾖ μέγα, σφόδρα μικρὸν καὶ εὐκαταφρόνητον εἶναι δοκεῖ. Μὴ τοίνυν τῶν φευγόντων ἀντεχώμεθα, μηδὲ τῶν παραρρεόντων καὶ ἀπερχομένων, ἀλλὰ τῶν μενόντων καὶ ἀκινήτων, ἵνα καὶ αὐτῶν δυνηθῶμεν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θος λαμπρὸν καὶ αὔριον σκόνη ποὺ σκορπίζεται. Σήμερα εἶναι πῦρ ποὺ καίεται καὶ αὔριο στάχτη ποὺ σβήνει. Ἀλλὰ τὰ πνευματικὰ δὲν εἶναι αὐτοῦ τοῦ εἴδους, ἀλλὰ πάντοτε λάμπουν καὶ ἀνθίζουν καὶ κάθε ἡμέραν γίνονται λαμπρότερα. Ἐκεῖνος ὁ πλοῦτος ποτὲ δὲν χάνεται, ποτὲ δὲν μεταβάλλεται, ποτὲ δὲν τελειώνει, ποτὲ δὲν συνεπάγεται φροντίδα, μῖσος καὶ κατηγορίαν, δὲν καταστρέφει τὸ σῶμα, δὲν διαφθείρει τὴν ψυχήν, δὲν μισεῖ, δὲν ἐπισωρεύει φθόνον, πράγματα τὰ ὁποῖα ἀκολουθοῦν τὸν πλοῦτον. Ἡ δόξα ἐκείνη δὲν ὁδηγεῖ εἰς ἀλαζονείαν, δὲν γεννᾷ τὴν ὑπερηφάνειαν, δὲν σταματᾷ ποτέ, οὔτε ἀμαυρώνεται. Ἡ ἄνεσις καὶ ἡ τρυφὴ εἰς τὸν οὐρανὸν πάλιν μένει ἐπειδὴ εἶναι αἰωνία, πάντοτε ἀμετάβλητος καὶ ἀθάνατος. Καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ εὕρῃ τὸ τέλος της.

Αὐτὴν τὴν ζωήν, παρακαλῶ, ἂς ἐπιθυμήσωμεν. Διότι, ἂν ἐπιθυμήσωμεν αὐτήν, δὲν θὰ κάμωμεν καθόλου λόγον διὰ τὰ παρόντα, ἀλλὰ θὰ τὰ περιφρονήσωμεν ὅλα αὐτὰ καὶ θὰ τὰ θεωρήσωμεν γελοῖα καὶ ἔστω καὶ ἂν μᾶς διατάξῃ κάποιος νὰ εἰσέλθωμεν εἰς βασιλικὰς αὐλάς, δὲν θὰ τὴν προτιμήσωμεν, ἐὰν ἔχωμεν ἐκείνην τὴν ἐλπίδα. Καὶ ὅμως φαίνεται ὅτι δὲν ὑπάρχει μεγαλύτερον εὐτύχημα ἀπὸ αὐτό, ἀλλὰ δι' ὅσους κατέχονται ἀπὸ τὴν ἀγάπην τοῦ οὐρανοῦ, καὶ αὐτὸ εἶναι εὐτελὲς καὶ ἀναξιόλογον. Διότι, ὅ,τι ἔχει τέλος δὲν ἔχει μεγάλην ἀξίαν. Κάθε τί ποὺ τελειώνει καὶ ποὺ σήμερα ὑπάρχει καὶ αὔριον δὲν ὑπάρχει, καὶ ἂν ἀκόμη εἶναι πολὺ μεγάλο, φαίνεται ὅτι εἶναι πολὺ μικρὸ καὶ ἄξιον περιφρονήσεως. Ἂς μὴ ἀκολουθῶμεν λοιπὸν αὐτὰ ποὺ φεύγουν, οὔτε αὐτὰ ποὺ ρέουν καὶ χάνονται, ἀλλ' ἐκεῖνα ποὺ μένουν καὶ δὲν μεταβάλλονται διὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν αὐτὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΕ΄.

'Ιω. 6, 28 - 40

«Εἶπον οὖν πρὸς αὐτόν· 'Τί ποιοῦμεν ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;'. Εἶπεν οὖν αὐτοῖς ὁ 'Ιησοῦς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; Τί ἐργάζῃ;».

1. Οὐδὲν γαστριμαργίας χεῖρον, οὐδὲν αἰσχρότερον. Τοῦτο παχεῖαν ποιεῖ διάνοιαν, τοῦτο σαρκικὴν ποιεῖ ψυχήν, τοῦτο πηροῖ, καὶ διαβλέπειν οὐκ ἀφίησιν. Ὅρα γοῦν καὶ ἐπὶ τῶν 'Ιουδαίων τοῦτο γινόμενον. 'Επειδὴ γὰρ πρὸς γαστριμαργίαν κεχήνασι, καὶ ὅλοι τῶν βιωτικῶν ἦσαν, καὶ οὐδὲν ἐνενόουν πνευματικόν, μυρίοις αὐτοὺς λόγοις ἐνάγει ὁ Χριστὸς καὶ κέντρον ἔχουσι καὶ φειδώ· καὶ οὐδὲ οὕτως ἀνίστανται, ἀλλ' ἔτι κάτω μένουσι κείμενοι. Σκόπει γάρ. Εἶπεν αὐτοῖς, «Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε». Ἔπληξε διὰ τοῦ ἐλέγχου· ἔδειξεν ὁποίαν δεῖ ζητεῖν τροφήν, εἰπών· «'Εργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην»· ἔθηκεν αὐτοῖς τὸ ἔπαθλον, εἰπών· «'Αλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον»· ἔπειτα τὸ προϊστάμενον αὐτοῖς ἐθεράπευσεν, εἰπὼν ἀπὸ τοῦ Πατρὸς ἀπεστάλθαι.

Τί οὖν ἐκεῖνοι; Ὥσπερ οὐδὲν ἀκηκοότες, «Τί οὖν ποιῶμεν», φασίν, «ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;». Ταῦτα δὲ ἔλεγον, οὐχ ὥστε μαθεῖν καὶ πρᾶξαι (καὶ δείκνυσι τὰ ἑξῆς), ἀλλὰ πάλιν αὐτὸν ἐπὶ τὴν τῆς τροφῆς χορηγίαν

---

1. 'Ιω. 6, 28-30.

ΟΜΙΛΙΑ ΜΕ΄.

'Ιω. 6, 28 - 40

«Εἶπαν λοιπὸν εἰς αὐτόν· Τί πρέπει νὰ κάμνωμεν διὰ νὰ ἐργαζώμεθα τὰ ἔργα ποὺ θέλει ὁ Θεός; 'Απήντησεν εἰς αὐτοὺς ὁ 'Ιησοῦς. Τοῦτο εἶναι τὸ ἔργον ποὺ θέλει ὁ Θεός, νὰ πιστεύετε εἰς αὐτὸν ποὺ ἔστειλεν ἐκεῖνος. Τότε τοῦ εἶπαν· Τί σημεῖον λοιπὸν κάμνεις, διὰ νὰ τὸ ἰδοῦμεν καὶ νὰ πιστεύσωμεν εἰς ἐσέ; Ποῖον εἶναι τὸ ἔργον ποὺ κάμνεις;»[1].

1. Δὲν ὑπάρχει χειρότερον, οὔτε αἰσχρότερον ἀπὸ τὴν λαιμαργίαν. Αὐτὴ κάμνει βαρὺ τὸ πνεῦμα, αὐτὴ κάμνει σαρκικὴν τὴν ψυχήν, αὐτὴ τυφλώνει καὶ δὲν ἀφήνει νὰ βλέπωμεν καθαρά. Βλέπε κατὰ ποῖον τρόπον συνέβη τοῦτο εἰς τοὺς 'Ιουδαίους. 'Επειδὴ δηλαδὴ ἐπεθύμουν πολὺ τὴν λαιμαργίαν καὶ ὅλοι ἠσχολοῦντο μὲ τὰ ἐπίγεια πράγματα καὶ δὲν ἐσκέπτοντο κανὲν πνευματικόν, ὁ Χριστὸς προσπαθεῖ νὰ τοὺς προκαλέσῃ τὸ ἐνδιαφέρον μὲ ἄπειρα λόγια, ποὺ ἔχουν παρακίνησιν καὶ φειδώ. Καὶ ὄχι μόνον δὲν διεγείρονται μὲ αὐτὸν τὸν τρόπον, ἀλλὰ μένουν ἀκόμη κάτω. Πρόσεχε λοιπόν, σὲ παρακαλῶ. Εἶπεν εἰς αὐτούς· «Μὲ ζητεῖτε, ὄχι διότι εἴδατε θαύματα, ἀλλὰ διότι ἐφάγατε ἀπὸ τοὺς ἄρτους καὶ ἐχορτάσατε». Τοὺς ἐπέπληξε μὲ τὸν ἔλεγχον. Τοὺς ἔδειξε, ποίαν τροφὴν πρέπει νὰ ζητοῦν, ὅταν εἶπε· «Νὰ ἐργάζεσθε ὄχι διὰ τὴν τροφὴν τὴν φθαρτήν». Τοὺς παρουσίασε τὸ ἔπαθλον, ὅταν ἐτόνισεν· «'Αλλ' ἐκείνην ποὺ μένει εἰς ζωὴν αἰώνιον». Τέλος διώρθωσεν ἐκεῖνο ποὺ τοὺς ἐνοχλοῦσε, μὲ τὴν διαβεβαίωσιν, ὅτι ἔχει σταλῇ ἀπὸ τὸν Πατέρα.

Τί ἔκαμαν οἱ 'Ιουδαῖοι; Σὰν νὰ μὴ εἶχαν ἀκούσει τίποτε, τὸν ἠρώτησαν· «Τί πρέπει λοιπὸν νὰ κάμνωμεν διὰ νὰ ἐργαζώμεθα τὰ ἔργα ποὺ θέλει ὁ Θεός;». Αὐτὰ τὰ ἔλεγεν ὄχι διὰ νὰ μάθουν καὶ νὰ τὰ πράξουν (ὅπως ἀποδεικνύουν τὰ ἑπόμενα), ἀλλὰ διὰ νὰ τὸν παρακινήσουν νὰ τοὺς χορηγήσῃ πάλιν τροφὴν καὶ ἐπειδὴ ἤθελαν νὰ τὸν προκαλέ-

ἄγοντες, καὶ εἰς τὸ κορέσαι αὐτοὺς προκαλέσαι ἐθέλοντες. Τί οὖν ὁ Χριστός; «Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος». Οἱ δὲ εἶπον· «Τί σημεῖον ποιεῖς, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν; Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ».

Οὐδὲν τούτων ἀναισθητότερον, οὐδὲν ἀλογώτερον. Τοῦ σημείου ὄντος ἐν ὀφθαλμοῖς αὐτῶν ἔτι, ὡς οὐδενὸς γεγονότος, οὕτως ἔλεγον, «Τί σημεῖον ποιεῖς;», καὶ εἰπόντες, οὐδὲ αὐτῆς τῆς αἱρέσεως τοῦ σημείου κύριον ἀφιᾶσιν εἶναι, ἀλλ' εἰς ἀνάγκην αὐτὸν οἴονται μεθιστᾶν τοῦ μηδὲν ἕτερον ποιῆσαι, ἀλλ' ἢ τοιοῦτον, οἷον ἐγένετο ἐπὶ τῶν προγόνων. Διὸ δὴ καὶ λέγουσιν· «Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ»· διὰ τούτου νομίζοντες αὐτὸν ἐρεθίζειν, ὥστε τοιοῦτον ποιῆσαι σημεῖον, ὅπερ αὐτοὺς θρέψαι δύναται σαρκικῶς. Διατί γὰρ οὐδενὸς ἑτέρου τῶν προτέρων σημείων ἐμνημόνευσαν, καίτοι γε πολλῶν γενομένων τότε, καὶ κατ' Αἴγυπτον καὶ κατὰ τὴν θάλατταν καὶ ἐν τῇ ἐρήμῳ, ἀλλὰ τοῦ μάννα; ἆρ' οὐ διότι σφόδρα αὐτοῦ ἐπεθύμουν διὰ τὴν τῆς γαστρὸς τυραννίδα;

Πῶς δὲ οἱ προφήτην αὐτὸν λέγοντες καὶ βασιλέα ἐπιχειροῦντες ποιεῖν, ἐπειδὴ τὸ σημεῖον εἴδετε, νῦν ὡς οὐδενὸς γενομένου ἀχάριστοι καὶ ἀγνώμονες γεγόνατε, καὶ σημεῖον αἰτεῖτε, παρασίτων καὶ κυνῶν λιμωττόντων ῥήματα ἀφιέντες; νῦν τὸ μάννα θαυμαστὸν ὑμῖν, ὅτε ἡ ψυχὴ ὑμῶν κατάξηρος; Καὶ ὅρα εἰρωνείαν. Οὐκ εἶπον, ὅτι Μωϋσῆς τόδε ἐποίησε τὸ σημεῖον, σὺ τί ποιεῖς; νομίζοντες πλήττειν αὐτόν· ἀλλὰ τέως αὐτῷ μετὰ πολλῆς διαλέγονται τῆς τιμῆς, προσδοκίᾳ τῆς τροφῆς. Ἄλλως δὲ οὔτε τοῦτο λέγουσιν, ὅτι ὁ Θεὸς τόδε ἐποίησε· Σὺ τί ποιεῖς; ἵνα μὴ δόξωσιν αὐτὸν ἐξισοῦν τῷ Θεῷ· οὔτε Μωϋσέα παράγουσιν,

σουν νὰ τοὺς χορτάσῃ καὶ διὰ δευτέραν φοράν. Τί τοὺς εἶπεν ὅμως ὁ Χριστός; «Τοῦτο εἶναι τὸ ἔργον ποὺ θέλει ὁ Θεός, νὰ πιστεύετε εἰς αὐτὸν ποὺ ἔστειλεν ἐκεῖνος». Οἱ Ἰουδαῖοι ὅμως ἀπήντησαν· «Τί σημεῖον κάμνεις, διὰ νὰ τὸ ἰδοῦμεν καὶ νὰ πιστεύσωμεν εἰς ἐσέ; Οἱ πατέρες μας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον».

Δὲν ὑπάρχει περισσότερον ἀδιάντροπον καὶ παράλογον πρᾶγμα ἀπὸ αὐτούς. Ἐνῷ εἶχαν ἀκόμη μπροστὰ εἰς τὰ μάτια τους τὸ θαῦμα, τὸν ἠρώτων σὰν νὰ μὴ εἶχε συμβῆ τίποτε· «Τί σημεῖον μᾶς δίδεις;». Ἐπὶ πλέον ἀφοῦ τὸν ἠρώτησαν, δὲν τὸν ἄφηναν νὰ διαλέξῃ αὐτὸς τὸ θαῦμα, ἀλλὰ φαντάζονται, ὅτι θὰ τὸν ἀναγκάσουν ν' ἀλλάξῃ γνώμην, ὥστε νὰ μὴ κάμῃ ἄλλο, παρὰ σὰν ἐκεῖνο ποὺ εἶχε γίνει τὴν ἐποχὴν τῶν προγόνων των. Καὶ τονίζουν· «Οἱ πατέρες μας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον», νομίζοντες, ὅτι μὲ αὐτὰ τὰ λόγια θὰ τὸν προκαλέσουν, ὥστε νὰ κάμῃ τέτοιο θαῦμα, ποὺ ἠμπορεῖ νὰ τοὺς θρέψῃ σαρκικῶς. Διατί δηλαδὴ δὲν ἐνεθυμήθησαν κανὲν ἄλλο προηγούμενον θαῦμα, παρὰ μόνον τὸ μάννα, ἐνῷ τόσα εἶχαν γίνει εἰς τὴν Αἴγυπτον, εἰς τὴν θάλασσαν καὶ εἰς τὴν ἔρημον τότε; Ἆρα ὄχι διότι ἐπεθύμουν πάρα πολὺ τοῦτο τὸ θαῦμα ἕνεκα τῆς τυραννίας τῆς κοιλίας των;

Καὶ πῶς σεῖς ποὺ τὸν ἐλέγατε προφήτην καὶ ἐπιχειρούσατε νὰ τὸν κάμετε βασιλέα, ἐπειδὴ εἴδατε τὸ θαῦμα, τώρα ἀποδεικνύεσθε ἀχάριστοι καὶ ἀγνώμονες, ἐπειδὴ δὲν ἔγινεν ἄλλο τίποτε καὶ ζητεῖτε θαῦμα ἐκβάλλοντες κραυγὰς παρασίτων καὶ σκύλων ποὺ πεινοῦν; Τώρα σᾶς φαίνεται τὸ μάννα ἀξιοθαύμαστον, ὅταν ἡ ψυχή σας εἶναι τελείως ἀδειανή; Καὶ κοίταξε εἰρωνείαν. Δὲν εἶπαν εἰς τὸν Χριστόν· ὁ Μωϋσῆς ἔκαμε αὐτὸ τὸ θαῦμα, ἐσὺ τί κάμνεις; διότι ἐφαντάζοντο ὅτι θὰ τὸν παροξύνουν. Ἀλλὰ μέχρι τινὸς συνομιλοῦν μὲ αὐτὸν μὲ πολλὴν τιμήν, περιμένοντες τροφήν. Καὶ μάλιστα οὔτε αὐτὸ λέγουν, ὅτι δηλαδὴ ὁ Θεὸς ἔκαμε τοῦτο, σὺ ὅμως τί κάμνεις; διὰ νὰ μὴ φανοῦν, ὅτι τὸν κά-

ἵνα μὴ δόξωσιν αὐτὸν ταπεινοῦν· ἀλλὰ μέσον αὐτὸ τεθείκασι, λέγοντες· «Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ».

Καὶ ἐνῆν μὲν εἰπεῖν, ὅτι Μωϋσέως μείζονα ἐθαυματούργησα νῦν, οὐ ῥάβδου δεηθείς, οὐκ εὐχῆς χρείαν ἐσχηκώς, ἀλλὰ πάντα ποιήσας ἀπ' ἐμαυτοῦ· εἰ δὲ καὶ τοῦ μάννα μέμνησθε, ἰδοὺ καὶ ἄρτον ὑμῖν παρέσχον. Ἀλλ' οὐκ ἦν ὁ καιρὸς τούτων τῶν λόγων νῦν, ἀλλ' ἓν ἦν τὸ σπουδαζόμενον, ἐπὶ τὴν πνευματικὴν αὐτοὺς ἀγαγεῖν τροφήν. Καὶ ὅρα τὴν ἄπειρον σύνεσιν, πῶς ἀποκρίνεται· «Οὐ Μωϋσῆς ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν». Τί δήποτε οὖν οὐκ εἶπεν, Οὐχ ὁ Μωϋσῆς δέδωκεν, ἀλλ' ἐγώ, ἀλλ' ἀντὶ μὲν Μωϋσέως τὸν Θεόν, ἀντὶ δὲ τοῦ μάννα ἑαυτὸν τέθεικεν; Ὅτι πολλὴ ἦν τῶν ἀκουόντων ἡ ἀσθένεια καὶ δῆλον ἐκ τῶν ἑξῆς. Καὶ γὰρ καὶ οὕτως εἰρηκώς, οὐδὲ οὕτως αὐτοὺς κατέσχε, καίτοι γε ἀρχόμενος ἔλεγε, «Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε». Καὶ ὅτι ταῦτα ζητοῦσι, καὶ διὰ τῶν ἑξῆς αὐτοὺς διωρθώσατο, καὶ οὐδὲ οὕτως ἀφίστανται.

Ἀλλ' οὐχ ὅτε τῇ Σαμαρείτιδι ὑπισχνεῖτο δώσειν τὸ ὕδωρ, ἐμνημόνευσε τοῦ Πατρός, ἀλλ' οὕτω πως εἶπεν· «Εἰ ᾔδεις τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν»· καὶ πάλιν, «Τὸ ὕδωρ ὃ ἐγὼ δώσω»· καὶ οὐ παραπέμπει πρὸς τὸν Πατέρα. Ἐνταῦθα δὲ τοῦ Πατρὸς μέμνηται, ἵνα μάθῃς πόση μὲν τῆς Σαμαρείτιδος ἡ πίστις, πόση δὲ τῶν Ἰουδαίων ἡ ἀσθένεια.

μνουν ἴσον μὲ τὸν Θεόν. Ἀλλὰ οὔτε τὸν Μωϋσῆν ἀναφέρουν, διὰ νὰ μὴ φανοῦν ὅτι τὸ κάμνουν κατώτερον. Ἀλλὰ παρουσίασαν τὸ γεγονὸς αὐτὸ μὲ τὰ ἑξῆς λόγια· «Οἱ πατέρες μας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον».

Ἠμποροῦσε βεβαίως ὁ Χριστὸς νὰ τοὺς ἀπαντήσῃ· Ἐγὼ ἔκαμα μεγαλύτερα θαύματα ἀπὸ τὸν Μωϋσῆν, ἐπειδὴ οὔτε ράβδον ἐχρειάσθην, οὔτε εἶχον ἀνάγκην προσευχῆς, ἀλλὰ ὅλα τὰ ἔκαμα ἀπὸ τὸν ἑαυτόν μου. Ἐπειδὴ δὲ ἐνεθυμήθητε τὸ μάννα, ἰδοὺ σᾶς ἔδωσα καὶ ἄρτον. Τώρα ὅμως δὲν ἦτο ὁ καιρὸς νὰ τοὺς ὁμιλήσῃ ἔτσι, ἀλλὰ δι' ἓν μόνον ἐφρόντιζε, νὰ τοὺς ὁδηγήσῃ δηλαδὴ εἰς τὴν πνευματικὴν τροφήν. Καὶ πρόσεξε μὲ πόσην ἄπειρον σύνεσιν τοὺς ἀπαντᾷ· «Δὲν σᾶς ἔδωσεν ὁ Μωϋσῆς τὸν ἄρτον ἀπὸ τὸν οὐρανόν, ἀλλ' ὁ Πατήρ μου σᾶς δίδει τὸν ἄρτον τὸν ἀληθινὸν ἀπὸ τὸν οὐρανόν». Διατί λοιπὸν δὲν εἶπε· Δὲν σᾶς ἔδωσε τὸν ἄρτον ὁ Μωϋσῆς, ἀλλὰ ἐγώ, ἀλλ' ἀντὶ τοῦ Μωϋσέως ἐτοποθέτησε τὸν Θεὸν καὶ ἀντὶ τοῦ μάννα τὸν ἑαυτόν του; Διότι ἦτο μεγάλη ἡ πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν του. Καὶ αὐτὸ φαίνεται ἀπὸ τὰ ἑπόμενα. Δηλαδὴ καὶ ἂν ἀκόμη τοὺς ὡμίλει κατ' αὐτὸν τὸν τρόπον, πάλιν δὲν θὰ τοὺς ἠμπόδιζε, μολονότι εἰς τὴν ἀρχὴν εἶχεν εἰπεῖ· «Μὲ ζητεῖτε ὄχι διότι εἴδατε θαύματα, ἀλλὰ διότι ἐφάγατε ἀπὸ τοὺς ἄρτους καὶ ἐχορτάσατε». Καὶ ἐπειδὴ ἐζήτουν αὐτά, προσεπάθησεν ἀκολούθως νὰ τοὺς διορθώσῃ, ἀλλ' αὐτοὶ δὲν ἤλλαξαν γνώμην.

Ὅταν ὅμως ὑπέσχετο εἰς τὴν Σαμαρείτιδα, ὅτι θὰ τῆς δώσῃ τὸ ὕδωρ, δὲν ὑπενθύμισε τὸν Πατέρα, ἀλλὰ ὡμίλησεν εἰς αὐτὴν ὡς ἑξῆς· «Ἐὰν ἤξευρες, ποῖος εἶναι ἐκεῖνος ποὺ σοῦ λέγει, 'Δῶσε μου νὰ πιῶ', ἐσὺ θὰ τὸν παρακαλοῦσες καὶ θὰ σοῦ ἔδιδεν ὕδωρ ζωντανόν». Καὶ πάλιν εἶπε· «Τὸ ὕδωρ ποὺ θὰ σοῦ δώσω ἐγὼ» καὶ δὲν ἀνέφερε τὸν Πατέρα. Ἐδῶ ὅμως ἐνθυμεῖται τὸν Πατέρα, διὰ νὰ μάθῃς, πόση ἦτο ἡ πίστις τῆς Σαμαρείτιδος καὶ πόση ἡ ἀπιστία τῶν Ἰουδαίων. Ἑπομένως τὸ μάννα δὲν ἦλθεν ἀπὸ τὸν οὐρα-

Οὐκ ἄρα ἐκ τοῦ οὐρανοῦ ἦν τὸ μάννα· πῶς οὖν ἐκ τοῦ οὐρανοῦ λέγεται; Ὥσπερ «Πετεινὰ τοῦ οὐρανοῦ», φησὶν ἡ Γραφή· καὶ πάλιν, «Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος». Ἄρτον δὲ ἀληθινὸν καλεῖ ἐκεῖνον, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα τὸ ἐπὶ τοῦ μάννα, ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια.

Μνησθεὶς δὲ Μωϋσέως, οὐχ ἑαυτὸν ἀντέθηκεν ἐκείνῳ· οὔπω γὰρ αὐτὸν προετίμων Μωϋσέως, ἀλλ' ἔτι περὶ ἐκείνου μείζονα δόξαν εἶχον. Διὰ τοῦτο εἰπών, «Οὐ Μωϋσῆς δέδωκεν», οὐκ ἐπήγαγεν, ὅτι Ἐγὼ δίδωμι, ἀλλ' ἀντ' αὐτοῦ τὸν Πατέρα φησὶ διδόναι. Οἱ δὲ ἀκούσαντες, λέγουσι πάλιν, «Δὸς ἡμῖν τὸν ἄρτον τοῦτον φαγεῖν». Ἔτι γὰρ αἰσθητόν τι πρᾶγμα ἐνόμιζον εἶναι, ἔτι γαστρὸς ἀπολαύειν προσεδόκων· διὸ καὶ ταχέως προσέδραμον.

Τί οὖν ὁ Χριστός; Ἀνάγων αὐτοὺς κατὰ μικρόν, ἐπάγει. «Ὁ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ» οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ πάσῃ τῇ οἰκουμένῃ, φησί. Διὸ καὶ οὐκ εἶπεν ἁπλῶς τροφήν, ἀλλὰ ζωὴν ἑτέραν τινὰ καὶ ἐνηλλαγμένην, ὥστε δηλῶσαι, ἐπειδὴ ἅπαντες ἦσαν νενεκρωμένοι. Οἱ δὲ ἔτι κάτω νεύουσι καὶ λέγουσι· «Δὸς ὑμῖν τὸν ἄρτον τοῦτον». Ἐλέγχων δὲ αὐτούς, ὅτι ἕως μὲν αἰσθητὴν ὑπώπτευον εἶναι τὴν τράπεζαν, ἐπέτρεχον. ὅτον δὲ ἔμαθον, ὅτι πνευματική τίς ἐστιν, οὐκ ἔτι, λέγει πάλιν· «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσει· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσει πώποτε. Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετέ μοι».

2. Οὕτω καὶ Ἰωάννης φθέγγεται ἄνωθεν προλαβών· «Ὃ οἶδε λαλεῖ καὶ ὃ ἑώρακε μαρτυρεῖ καὶ τὴν μαρτυρίαν

2. Ψαλμ. 8, 9.
3. Ψαλμ. 17, 14.

νόν. Διατί ὅμως λέγεται, ὅτι ἦλθεν ἀπὸ τὸν οὐρανόν; Διότι ἡ ἁγία Γραφὴ λέγει· «Πτηνὰ τοῦ οὐρανοῦ»[2]. Καὶ λέγει πάλιν· «Καὶ ἐβρόντησεν ἀπὸ τὸν οὐρανὸν ὁ Κύριος»[3]. Καὶ ὀνομάζει τὸ μάννα ἄρτον πραγματικόν, ὄχι ἐπειδὴ τὸ θαῦμα τοῦ μάννα δὲν ἦτο πραγματικόν, ἀλλὰ διότι ἦτο τύπος καὶ ὄχι ἡ ἰδία ἡ ἀλήθεια.

Ἐνθυμηθεὶς ὅμως τὸν Μωϋσῆν, δὲν συνέκρινεν ἐκεῖνον μὲ τὸν ἑαυτόν του, διότι δὲν τὸν προετίμων ἀκόμη ἀπὸ τὸν Μωϋσῆν, ἀλλ' εἶχον περὶ ἐκείνου μεγαλυτέραν γνώμην. Δι' αὐτό, ἀφοῦ εἶπε, «Δὲν σᾶς ἔδωσεν ὁ Μωϋσῆς», δὲν προσέθεσεν, Ἐγὼ σᾶς δίδω, ἀλλ' εἶπεν ὅτι δίδει ὁ Πατὴρ ἀντὶ νὰ εἰπῇ διὰ τὸν ἑαυτόν του. Ὅταν λοιπὸν τὸν ἤκουσαν οἱ Ἰουδαῖοι, τοῦ λέγουν πάλιν· «Δῶσε μας νὰ φάγωμεν ἀπὸ αὐτὸν τὸν ἄρτον». Διότι ἐφαντάζοντο, ὅτι πρόκειται διὰ κάτι ὑλικὸν καὶ ἐπερίμεναν νὰ γεμίσουν τὴν κοιλίαν των. Δι' αὐτὸ καὶ ἔδειξαν τόσον μεγάλην προθυμίαν.

Τί ἔκαμε λοιπὸν ὁ Χριστός; Ἀφοῦ ὀλίγον κατ' ὀλίγον τοὺς κάμνει νὰ ὑψωθοῦν πνευματικῶς, προσθέτει· «Ὁ ἄρτος τοῦ Θεοῦ εἶναι ἐκεῖνος ποὺ κατεβαίνει ἀπὸ τὸν οὐρανὸν καὶ δίδει ζωὴν εἰς τὸν κόσμον», ὄχι μόνον εἰς τοὺς Ἰουδαίους, ἀλλ' εἰς ὁλόκληρον τὴν οἰκουμένην. Δι' αὐτὸ δὲν εἶπεν ἁπλῶς τροφήν, ἀλλὰ κάποιαν ἄλλην καὶ διαφορετικὴν ζωὴν καὶ εἶπε τοῦτο, ἐπειδὴ ὅλοι ἦσαν νεκροί. Ἀλλ' οἱ Ἰουδαῖοι σκύβουν κάτω τὸ κεφάλι καὶ λέγουν· «Δῶσε μας αὐτὸν τὸν ἄρτον». Ἐλέγχει λοιπὸν αὐτούς, διότι, ἐφ' ὅσον ὑπώπτευον ὅτι πρόκειται διὰ ὑλικὴν τράπεζαν, ἔτρεχαν. Ὅταν ὅμως ἔμαθαν ὅτι πρόκειται διὰ πνευματικὴν τράπεζαν, δὲν ἐνδιαφέροντο πλέον. Δι' αὐτὸ τοὺς λέγει πάλιν· «Ἐγὼ εἶμαι ὁ ἄρτος τῆς ζωῆς. Ἐκεῖνος ποὺ ἔρχεται εἰς ἐμέ, δὲν θὰ πεινάσῃ καὶ ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, δὲν θὰ διψάσῃ ποτέ. Ἀλλ' ὅπως σᾶς εἶπα, ἂν καὶ μὲ εἴδατε, ὅμως δὲν πιστεύετε».

2. Αὐτὸ ἀκριβῶς τονίζει ἰδιαιτέρως ὁ Ἰωάννης εἰς τὰ προηγούμενα· «Ὁμιλεῖ δι' ἐκεῖνο ποὺ γνωρίζει καὶ μαρτυ-

αὐτοῦ οὐδεὶς λαμβάνει». Καὶ πάλιν ὁ Χριστός· «Ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε». Τοῦτο δὲ ποιεῖ, προλαμβάνων αὐτούς, καὶ δεικνὺς ὅτι οὐ ταράττει τὸ πρᾶγμα αὐτόν, οὐδὲ δόξης ἐφίεται, οὐδὲ ἀγνοεῖ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν, οὔτε τὰ παρόντα, οὔτε τὰ μέλλοντα. «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς». Μέλλει λοιπὸν εἰς τὴν τῶν μυστηρίων ἐμβαλεῖν παράδοσιν. Καὶ πρῶτον περὶ τῆς θεότητος αὐτοῦ διαλέγεται λέγων. «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς». Οὐδὲ γὰρ περὶ τοῦ σώματος τοῦτο εἴρηται (περὶ γὰρ ἐκείνου πρὸς τῷ τέλει λέγει· «Καὶ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν»)· ἀλλὰ τέως περὶ τῆς θεότητος. Καὶ γὰρ ἐκείνη διὰ τὸν Θεὸν Λόγον ἄρτος ἐστίν· ὥσπερ οὖν καὶ οὗτος ὁ ἄρτος διὰ τὸ ἐπιφοιτῶν αὐτῷ Πνεῦμα ἄρτος οὐράνιος γίνεται.

Ἐνταῦθα δὲ οὐ κέχρηται μάρτυσι, καθάπερ ἐπὶ τῆς προτέρας δημηγορίας· εἶχε γὰρ αὐτὸ μαρτυροῦν τὸ ἔργον τῶν ἄρτων, καὶ τέως ὑποκρινομένους αὐτῷ πείθεσθαι. Ἐκεῖ δὲ ἀντέλεγον καὶ ἐνεκάλουν· διὰ τοῦτο ἐνταῦθα καὶ ἀποφαίνεται. Οἱ δὲ ἐπειδὴ προσεδόκων ἑστιάσεως ἀπολαύσεσθαι σαρκικῆς, μένουσι, καὶ οὐ ταράττονται, ἕως ὅτε μετὰ ταῦτα ἀπέγνωσαν τῆς ἐλπίδος. Πλὴν οὐδὲ οὕτως ἐσίγησεν ὁ Χριστός, ἀλλὰ καὶ πολλὰ ἐντρεπτικὰ λέγει. Οἱ δέ, ἡνίκα ἤσθιον, προφήτην αὐτὸν λέγοντες, ἐνταῦθα σκανδαλίζονται καὶ τοῦ τέκτονος καλοῦσι υἱόν· ἀλλ' οὐχ ὅτε τοὺς ἄρτους ἤσθιον, ἀλλ', «Οὗτός ἐστιν ὁ προφήτης», ἔλεγον, καὶ ἤθελον αὐτὸν ποιῆσαι βασιλέα. Ἐδόκουν μὲν οὖν ἀγανακτεῖν, ἐπὶ τῷ λέγειν αὐτὸν ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι· τὸ δὲ ἀληθές, οὐ τοῦτο ἦν τὸ ποιοῦν τὴν ἀγανάκτησιν, ἀλλὰ τὸ μὴ προσδοκᾶν ἀπολαύσεσθαι τραπέζης σωματικῆς.

Ἐπεὶ ὄντως ἠγανάκτουν, ἐχρῆν ἐρωτᾶν καὶ πυνθάνεσθαι, πῶς ἄρτος ζωῆς ἐστι, πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβη-

ρεῖ δι' ἐκεῖνο ποὺ ἔχει ἰδεῖ καὶ τὴν μαρτυρίαν του κανεὶς δὲν τὴν δέχεται». Κάμνει δὲ τοῦτο διὰ νὰ τοὺς ὑπενθυμίσῃ καὶ νὰ τοὺς ἀποδείξῃ, ὅτι δὲν ταράσσεται ἀπὸ αὐτὸ τὸ πρᾶγμα, οὔτε ὅτι ἐπιθυμεῖ δόξαν, οὔτε ὅτι ἀγνοεῖ τὰ μυστικὰ τοῦ πνεύματός των, οὔτε τὰ παρόντα, οὔτε τὰ μέλλοντα. «Ἐγὼ εἶμαι ὁ ἄρτος τῆς ζωῆς». Πρόκειται λοιπὸν νὰ εἰσέλθῃ εἰς τὴν ἀποκάλυψιν τῶν μυστηρίων. Καὶ πρῶτον κάμνει λόγον περὶ τῆς θεότητός του τονίζων· «Ἐγὼ εἶμαι ὁ ἄρτος τῆς ζωῆς». Καὶ τοῦτο δὲν ἔχει λεχθῆ περὶ τοῦ σώματος (διότι περὶ αὐτοῦ ὁμιλεῖ εἰς τὸ τέλος· «Καὶ ὁ ἄρτος τὸν ὁποῖον ἐγὼ θὰ δώσω, εἶναι ἡ σάρξ μου»), ἀλλὰ μόνον περὶ τῆς θεότητος. Διότι καὶ ἐκείνη ἄρτος εἶναι ἕνεκα τοῦ Θεοῦ Λόγου, ὅπως καὶ αὐτὸς ὁ ἄρτος γίνεται οὐράνιος ἕνεκα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος.

Ἐδῶ ὅμως δὲν χρησιμοποιεῖ μάρτυρας, ὅπως εἰς τὴν προηγουμένην ὁμιλίαν του. Διότι εἶχε τὴν μαρτυρίαν τοῦ θαύματος τῶν ἄρτων, ἀλλὰ καὶ τοὺς Ἰουδαίους οἱ ὁποῖοι μέχρι τινὸς ὑπεκρίνοντο, ὅτι τὸν ἐπίστευαν. Ἐκεῖ τοῦ ἀντέλεγαν καὶ τὸν κατηγόρουν, διὰ τοῦτο ἐδῶ ἀποκαλύπτεται. Οἱ Ἰουδαῖοι ὅμως, ἐπειδὴ ἤλπιζαν ὅτι θ' ἀπολαύσουν σαρκικὴν τροφὴν μένουν καὶ δὲν ταράσσονται, ἕως ὅτου ἔχασαν τὴν ἐλπίδα. Ἀλλὰ οὔτε καὶ τότε ἐσιώπησεν ὁ Χριστός, ἀλλὰ τοὺς ἐπιπλήττει πολύ. Οἱ Ἰουδαῖοι ὅμως, ὅταν ἔτρωγαν, τὸν ὠνόμαζαν προφήτην, τώρα ὅμως σκανδαλίζονται καὶ τὸν ὀνομάζουν υἱὸν τοῦ τέκτονος. Ὅταν ὅμως ἔτρωγαν τοὺς ἄρτους, ἔλεγαν, «Αὐτὸς εἶναι ὁ Προφήτης», καὶ ἤθελαν νὰ τὸν κάμουν βασιλέα. Ἐφαίνετο λοιπὸν ὅτι ἠγανάκτουν, διότι ὁ Χριστὸς ἔλεγεν, ὅτι ἔχει κατέλθει ἀπὸ τὸν οὐρανόν. Ἀλλ' ἡ ἀλήθεια εἶναι, ὅτι δὲν ἦτο αὐτὴ ἡ αἰτία ποὺ προεκάλει τὴν ἀγανάκτησίν τους, ἀλλ' ἡ διάψευσις τῆς ἐλπίδος ν' ἀπολαύσουν σωματικὴν τροφήν.

Ἐὰν λοιπὸν ἡ ἀγανάκτησίς των ἦτο πραγματική, ἔπρεπε νὰ τὸν ἐρωτήσουν καὶ νὰ πληροφορηθοῦν ἀπὸ αὐτόν, μὲ ποῖον τρόπον ἔχει κατεβῆ ἀπὸ τὸν οὐρανόν. Τῶρα ὅμως

κε· νῦν δὲ τοῦτο μὲν οὐ ποιοῦσι, γογγύζουσι δέ. Καὶ ὅτι οὐ τοῦτο αὐτοὺς ἐσκανδάλιζε, δῆλον ἐκεῖθεν. Εἰπόντος γὰρ ὅτι «Ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον», οὐκ εἶπον, Παρακάλεσον ἵνα δῷ· ἀλλὰ τί; «Δὸς ὑμῖν τὸν ἄρτον». Καίτοι οὐκ εἶπεν, ὅτι Ἐγὼ δίδωμι, ἀλλ', ὅτι «Ὁ Πατήρ μου δίδωσιν». Οἱ δὲ ἐπιθυμίᾳ τῆς τροφῆς καὶ αὐτὸν ἀξιόπιστον εἶναι ἐνόμισαν πρὸς τὴν χορηγίαν. Οἱ τοίνυν ἀξιόπιστον εἶναι νομίσαντες πρὸς τὸ δοῦναι, πῶς ἔμελλον μετὰ ταῦτα σκανδαλίζεσθαι καὶ ταῦτα ἀκούσαντες ὅτι· «Ὁ Πατὴρ δίδωσι»; Τί οὖν ἐστι τὸ αἴτιον; Ἐπειδὴ ἤκουσαν ὅτι φαγεῖν οὐκ ἔνι, πάλιν ἠπίστησαν, καὶ προβάλλονται δῆθεν τῆς ἀπιστίας προκάλυμμα τὸ ὑψηλὸν εἶναι τὸν λόγον. Διὰ τοῦτό φησι, «Καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε»· τούτῳ μὲν τὰ σημεῖα αἰνιττόμενος, τούτῳ δὲ τὴν ἀπὸ τῶν Γραφῶν μαρτυρίαν. «Ἐκεῖνοι γάρ εἰσι», φησίν, «αἱ μαρτυροῦσαι περὶ ἐμοῦ»· καί, «Ὅτι ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐ λαμβάνετέ με»· καί, «Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες;».

«Πᾶν ὃ δίδωσί μοι ὁ Πατήρ, πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω». Ὅρα πῶς πάντα ποιεῖ διὰ τοὺς σῳζομένους. Διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν, ἵνα μὴ δόξῃ περιεργάζεσθαι, καὶ εἰκῇ ταῦτα λέγειν. Τί δὲ ἐστιν ὅ φησι; «Πᾶν ὃ δίδωσί μοι ὁ Πατήρ, πρὸς ἐμὲ ἥξει καὶ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ». Τίνος δὲ ἕνεκεν καὶ τῆς κοινῆς ἀναστάσεως, ἧς καὶ ἀσεβεῖς μετέχουσιν, ὡς ἐξαιρέτου δώρου μέμνηται τῶν πιστευόντων εἰς αὐτόν; Ὅτι οὐχ ἁπλῶς ἀναστάσεως μέμνηται, ἀλλὰ τῆς τοιᾶσδε ἀναστάσεως. Πρότερον γὰρ εἰπών, «Οὐ μὴ ἐκβάλω αὐτόν», καί, «Οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ», τότε εἶπε τὴν ἀνάστασιν.

ὄχι μόνον δὲν κάμνουν αὐτό, ἀλλ' ἐπὶ πλέον δυσανασχετοῦν. Καὶ ὅτι δὲν εἶναι αὐτὸ ποὺ τοὺς ἐσκανδάλιζε, ἀποδεικνύεται ἀπὸ τὸ ἑξῆς: Ὅταν δηλαδὴ εἶπεν ὁ Χριστός· «Ὁ Πατήρ μου εἶναι ἐκεῖνος ποὺ σᾶς δίδει τὸν ἄρτον», δὲν τοῦ ἀπήντησαν· Παρακάλεσέ τον νὰ μᾶς δώσῃ. Ἀλλὰ τί εἶπαν; «Δῶσε μας τὸν ἄρτον». Καὶ ὅμως δὲν τοὺς εἶχεν εἰπεῖ, «Ἐγὼ δίδω», ἀλλὰ «Ὁ Πατήρ μου εἶναι ἐκεῖνος ποὺ δίδει»; Αὐτοὶ ὅμως παρακινούμενοι ἀπὸ τὴν ἐπιθυμίαν τῆς τροφῆς τὸν ἐθεώρησαν καὶ αὐτὸν ἀξιόπιστον διὰ νὰ τοὺς χορηγήσῃ τροφήν. Αὐτοὶ λοιπὸν ποὺ ἐνόμισαν αὐτὸν ἀξιόπιστον ἐπειδὴ ἤλπιζαν ὅτι θὰ τοὺς δώσῃ τροφὴν, πῶς ἐπρόκειτο ἐν συνεχείᾳ νὰ σκανδαλισθοῦν ἀκούοντες τὸ «Ὁ Πατήρ μου δίδει»; Ποία εἶναι λοιπὸν ἡ αἰτία; Ἐπειδὴ ἤκουσαν, ὅτι δὲν ὑπάρχει πλέον φαγητόν, πάλιν ἐπιστρέφουν εἰς τὴν ἀπιστίαν καὶ προφασίζονται ὅτι δῆθεν ὁ λόγος του εἶχεν ὑψηλὰ νοήματα. Διὰ τοῦτο τοὺς λέγει· «Καὶ μὲ εἴδατε καὶ δὲν πιστεύετε». Μὲ αὐτὸ ἀφ' ἑνὸς μὲν ὑπαινίσσεται τὰ θαύματα, ἀφ' ἑτέρου δὲ τὴν μαρτυρίαν τῶν ἁγίων Γραφῶν· «Διότι ἐκεῖναι εἶναι ποὺ δίδουν μαρτυρίαν δι' ἐμέ», καὶ «Ἐγὼ ἔχω ἔλθει ἐξ ὀνόματος τοῦ Πατρός μου καὶ δὲν μὲ δέχεσθε», καὶ «Πῶς ἠμπορεῖτε νὰ ἔχετε πίστιν, ἀφοῦ δέχεσθε τιμὰς ὁ ἕνας ἀπὸ τὸν ἄλλον;».

«Κάθε τὶ ποὺ μοῦ δίδει ὁ Πατήρ, θὰ ἔλθῃ εἰς ἐμέ, καὶ ἐκεῖνον ποὺ ἔρχεται εἰς ἐμέ, δὲν θὰ τὸν ἐκδιώξω». Πρόσεχε μὲ ποῖον τρόπον κάμνει τὰ πάντα διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Δι' αὐτὸ προσέθεσε τοῦτο, διὰ νὰ μὴ προκαλέσῃ περιέργειαν καὶ ὅτι ὁμιλεῖ τυχαίως. Καὶ τί σημαίνει, αὐτὸ ποὺ λέγει· «Κάθε τί ποὺ μοῦ δίδει ὁ Πατὴρ θὰ ἔλθῃ εἰς ἐμὲ καὶ θὰ τὸν ἀναστήσω κατὰ τὴν ἐσχάτην ἡμέραν»; Καὶ διὰ ποίαν αἰτίαν ἐνθυμεῖται ὡς ἐξαίρετον δῶρον ἐκείνων ποὺ πιστεύουν εἰς αὐτὸν τὴν ἀνάστασιν, εἰς τὴν ὁποίαν θὰ μετέχουν καὶ οἱ ἀσεβεῖς; Δὲν ἐνθυμεῖται ἁπλῶς τὴν ἀνάστασιν, ἀλλὰ τὴν αἰωνίαν τοιαύτην. Διότι, ἀφοῦ ἐδήλωσε προηγουμένως, «Δὲν θὰ τὸν ἐκδιώξω» καὶ «Διὰ νὰ μὴ χάσω τί-

Ἐν γὰρ τῇ ἀναστάσει οἱ μὲν ἐκβάλλονται, ὡς ἔστι μαθεῖν ἐκ τοῦ, «Ἄρατε αὐτόν, καὶ ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον»· οἱ δὲ ἀπόλλυνται, ὡς καὶ αὐτὸ δείκνυται ἐκ τοῦ, «Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι». Ὥστε τό, «Ζωὴν αἰώνιον δίδωμι», τοῦτο δηλοῖ· «Ἐκπορεύσονται γὰρ οἱ μὲν τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως, οἱ δὲ τὰ ἀγαθά, εἰς ἀνάστασιν ζωῆς». Ταύτην τοίνυν τὴν ἀνάστασιν ἐδήλωσεν ἐνταῦθα τὴν ἐπὶ τοῖς ἀγαθοῖς.

Τί δὲ βούλεται δεῖξαι διὰ τοῦ λέγειν, «Πᾶν ὃ δίδωσί μοι ὁ Πατήρ, πρὸς ἐμὲ ἥξει»; Καθάπτεται τῆς ἀπιστίας αὐτῶν, καὶ δείκνυσιν ὅτι ὁ μὴ πιστεύων αὐτῷ, τὸ θέλημα παραβαίνει τοῦ Πατρός. Καὶ οὕτω μὲν αὐτὸ γυμνῶς οὐ φησίν, ὑφειμένως δὲ καὶ πανταχοῦ τοῦτο ποιοῦντα ὄψει αὐτόν, θέλοντα δεῖξαι καὶ τῷ Πατρὶ προσκεκρουκότας τοὺς ἀπιστοῦντας, οὐκ αὐτῷ μόνῳ. Εἰ γὰρ θέλημα αὐτοῦ τοῦτό ἐστι, καὶ διὰ τοῦτο ἦλθεν, ἵνα σώσῃ πάντα τὸν κόσμον, οἱ μὴ πιστεύοντες, τὸ θέλημα αὐτοῦ παραβαίνουσιν. Ὅταν οὖν, φησίν, ὁ Πατὴρ ὁδηγῇ τινα, οὐδέν ἐστι τὸ κωλύον αὐτὸν ἐλθεῖν πρός με. Τοῦτο καὶ προϊὼν λέγει, «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν». Ὁ δὲ Παῦλος εἶπεν, ὅτι αὐτὸς παραδίδωσιν αὐτοὺς τῷ Πατρί· «Ὅταν γὰρ παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί». Ὥσπερ οὖν καὶ διδοὺς ὁ Πατήρ, οὐκ ἀποστερῶν ἑαυτὸν πρότερον τοῦτο ποιεῖ, οὕτω καὶ παραδιδοὺς ὁ Υἱός, οὐκ ἐκβάλλων ἑαυτὸν τοῦτο ποιεῖ. Λέγεται δὲ παραδιδόναι, ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν.

3 Τὸ δέ, «Δι' οὗ», τοῦτο καὶ ἐπὶ τοῦ Πατρὸς εἴρηται,

---

4. Ματθ. 22, 13.
5. Λουκᾶ 12, 5.
6. Ἰω. 5, 29.
7. Α' Κορ. 15, 24.

ποτε ἀπὸ αὐτό», τότε ἀνέφερε τὴν ἀνάστασιν. Διότι εἰς τὴν ἀνάστασιν ἄλλοι ἐκδιώκονται, ὅπως ἠμπορεῖ νὰ μάθῃ κανεὶς ἀπὸ ἐκεῖνα ποὺ ἀναφέρει ὁ Εὐαγγελιστής· «Σηκώσατέ τον καὶ ρίψατέ τον ἔξω εἰς τὸ σκότος»[4], καὶ ἄλλοι χάνονται, ὅπως ἀποδεικνύεται ἀπὸ ὅσα λέγει ἄλλος Εὐαγγελιστής, «Νὰ φοβηθῆτε δὲ μᾶλλον ἐκεῖνον ποὺ ἔχει τὴν ἐξουσίαν νὰ καταστρέψῃ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εἰς τὴν γέενναν»[5]. Ὥστε «Δίδω ζωὴν αἰώνιον» σημαίνει· «Ἐκεῖνοι μὲν ποὺ ἔκαμαν τὸ καλὸν θ' ἀναστηθοῦν διὰ ζωήν, ἐκεῖνοι δὲ ποὺ ἔκαμαν τὸ κακὸν θ' ἀναστηθοῦν διὰ καταδίκην»[6]. Αὐτὴν λοιπὸν τὴν ἀνάστασιν, ἡ ὁποία εἶναι διὰ τοὺς καλούς, ἐννοεῖ εἰς αὐτὴν ἐδῶ τὴν περίπτωσιν.

Καὶ ποία εἶναι ἡ σημασία τῶν λόγων του, «Κάθε τί ποὺ μοῦ δίδει ὁ Πατὴρ θὰ ἔλθῃ εἰς ἐμέ»; Κατηγορεῖ τοὺς Ἰουδαίους διὰ τὴν ἀπιστίαν των καὶ δεικνύει ὅτι, ὅποιος δὲν πιστεύει εἰς αὐτόν, παραβαίνει τὸ θέλημα τοῦ Πατρός. Καὶ δὲν τὸ λέγει τόσον ἀνοικτά, ἀλλὰ ἀφήνει νὰ ὑπονοηθῇ. Καὶ παντοῦ θὰ ἰδῇς ὅτι ὁ Χριστὸς ἔτσι ἐνεργεῖ, ὅταν θέλῃ ν' ἀποδείξῃ ὅτι ἐκεῖνοι ποὺ δὲν πιστεύουν, δὲν ἀποκρούουν μόνον αὐτὸν ἀλλὰ καὶ τὸν Πατέρα. Διότι, ἐὰν αὐτὸ εἶναι τὸ θέλημα τοῦ Πατρὸς καὶ δι' αὐτὸ ἦλθε, διὰ νὰ σώσῃ δηλαδὴ τὸν κόσμον, τότε ἐκεῖνοι ποὺ δὲν πιστεύουν, παραβαίνουν τὸ θέλημα τοῦ Πατρός. Ὅταν λοιπόν, λέγει, ὁ Πατὴρ ὁδηγῇ κάποιον, τίποτε δὲν τὸν ἐμποδίζει νὰ ἔλθῃ εἰς ἐμέ. Αὐτὸ τὸ λέγει πάρα κάτω· «Κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ εἰς ἐμέ, ἐὰν δὲν τὸν ἑλκύσῃ ὁ Πατήρ μου». Καὶ ὁ Παῦλος εἶπεν ὅτι ὁ Χριστὸς τοὺς παραδίδει εἰς τὸν Πατέρα· «Ὅταν θὰ παραδώσῃ τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ Πατέρα»[7]. Καθὼς λοιπὸν ὁ Πατήρ, ὅταν δίδῃ δὲν στερεῖ τὸν ἑαυτόν του ἀπὸ αὐτὸ ποὺ δίδει, ἔτσι καὶ ὁ Υἱός, ὅταν παραδίδῃ, δὲν παίρνει ἀπὸ τὸν ἑαυτόν του δι' αὐτὸ ποὺ παραδίδει. Λέγεται δὲ παράδοσις, διότι μὲ αὐτὴν ἐννοοῦμεν τὴν προσέλευσιν.

3. Ἐκεῖνο λοιπὸν τό, «Διὰ τοῦ ὁποίου», ἔχει λεχθῆ καὶ

ὥσπερ ὅταν λέγῃ· «Δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ» τουτέστι, διὰ τοῦ θελήματος τοῦ Πατρός· καὶ πάλιν, «Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι». Ὃ δὲ αἰνίττεται ἐνταῦθα, μονονουχὶ τοῦτό ἐστιν· Οὐ τὸ τυχὸν πρᾶγμα ἡ πίστις ἡ εἰς ἐμέ, ἀλλὰ τῆς ἄνωθεν δεῖται ῥοπῆς. Καὶ τοῦτο δι' ὅλου κατασκευάζει τοῦ λόγου, δεικνὺς ὅτι ψυχῆς γενναίας τινὸς ὄντως καὶ τῆς παρὰ τοῦ Θεοῦ ἐφελκομένης αὕτη δεῖται ἡ πίστις.

Ἀλλ' ἴσως ἐρεῖ τις· Εἰ πᾶν ὃ δίδωσιν ὁ Πατήρ, ἔρχεται πρὸς σέ, καὶ οὓς ἂν ἑλκύσῃ, καὶ οὐδεὶς δύναται ἐλθεῖν πρὸς σέ, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν, πάσης αἰτίας εἰσὶν καὶ ἐγκλημάτων ἀπηλλαγμένοι οἷς οὐ δίδωσιν ὁ Πατήρ. Λόγοι ταῦτα ψιλοὶ καὶ πρόφασις· Δεόμεθα γὰρ καὶ τῆς οἴκοθεν προαιρέσεως· τὸ γὰρ διδάσκεσθαι, προαιρέσεώς ἐστι, καὶ τὸ πιστεύειν. Ἐνταῦθα δὲ οὐδὲν ἄλλο ἐμφαίνει διὰ τοῦ, «Ὃ δίδωσί μοι ὁ Πατήρ», ἀλλ' ἢ ὅτι Οὐ τὸ τυχὸν πρᾶγμά ἐστι τὸ πιστεῦσαι εἰς ἐμέ, οὐδὲ λογισμῶν ἀνθρωπίνων, ἀλλὰ καὶ τῆς ἄνωθεν ἀποκαλύψεως δεῖ, καὶ ψυχῆς εὐγνωμόνως δεχομένης τὴν ἀποκάλυψιν.

Καὶ τό, «Ὁ ἐρχόμενος δὲ πρός με, σωθήσεται», τοῦτο δηλοῖ· Ἐπιμελείας ἀπολαύσεται πολλῆς. Ὑπὲρ γὰρ τούτων καὶ παρεγενόμην, φησί, καὶ σάρκα ἀνέλαβον, καὶ τὴν τοῦ δούλου μορφὴν ὑπῆλθον. Εἶτα ἐπήγαγε, «Κατέβην, οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιῶ, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με». Τί λέγεις; ἕτερον γὰρ τὸ σὸν καὶ ἕτερον τὸ ἐκείνου; Ἵνα οὖν μὴ τοῦτό τις ὑποπτεύσῃ, τῇ ἐπαγωγῇ θεραπεύει αὐτό, λέγων· «Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱόν, καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον». Τοῦτο οὖν οὐκ ἔστι σὸν θέλημα; Καὶ πῶς οὖν ἀλλα-

---

7α. Α' Κορ. 1, 9.
8. Ματθ. 16, 17.

διὰ τὸν Πατέρα, καθὼς ὅταν ὁ Ἀπόστολος λέγῃ· «Διὰ τοῦ ὁποίου ἐκλήθητε νὰ ἔχετε κοινωνίαν μὲ τὸν Υἱόν του»[7α], δηλαδὴ διὰ τοῦ θελήματος τοῦ Πατρός. Καὶ πάλιν· «Μακάριος εἶσαι Σίμων, υἱὲ τοῦ Ἰωνᾶ, διότι σάρκα καὶ αἷμα δὲν σοῦ ἀπεκάλυψεν»[8]. Αὐτὸ λοιπὸν ποὺ ὑπαινίσσεται ἐδῶ εἶναι σχεδὸν τὸ ἑξῆς· Δὲν εἶναι τυχαῖον πρᾶγμα ἡ πίστις εἰς ἐμέ, ἀλλ' ἔχει ἀνάγκην τῆς ἄνωθεν χάριτος. Καὶ μὲ ὅλον τὸν λόγον του δι' αὐτὸ φροντίζει, ν' ἀποδείξῃ δηλαδὴ ὅτι αὐτὴ ἡ πίστις χρειάζεται γενναίαν ψυχήν, ἡ ὁποία νὰ προσελκύεται ἀπὸ τὸν Θεόν.

Ἀλλ' ἴσως ἐρωτήσῃ κάποιος· Ἐὰν κάθε τί ποὺ σοῦ δίδει ὁ Πατήρ, ἔρχεται πρὸς ἐσὲ καὶ ὅσους ἠμπορέσῃ νὰ ἑλκύσῃ καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ εἰς ἐσέ, ἐὰν δὲν τοῦ ἔχῃ δοθῇ ἄνωθεν, πρέπει ν' ἀπαλλαγοῦν ἀπὸ κάθε κατηγορίαν καὶ ἀπὸ κάθε ἁμαρτίαν ἐκεῖνοι, εἰς τοὺς ὁποίους δὲν δίδει ὁ Πατήρ. Αὐτὰ εἶναι ψιλὰ λόγια καὶ προφάσεις. Διότι χρειαζόμεθα βεβαίως καὶ τὴν ἰδικήν μας θέλησιν. Διότι καὶ ἡ διδασκαλία καὶ ἡ πίστις εἶναι ἀπόδειξις θελήσεως. Ἐδῶ λοιπὸν δὲν σημαίνει τίποτε ἄλλο, «Ἐκεῖνο τὸ ὁποῖον μοῦ δίδει ὁ Πατήρ», παρὰ ὅτι· Δὲν εἶναι τυχαῖον πρᾶγμα ἡ πίστις εἰς ἐμέ, οὔτε ἔργον τῶν ἀνθρωπίνων συλλογισμῶν, ἀλλὰ χρειάζεται καὶ ἡ ἄνωθεν ἀποκάλυψις καὶ ἡ εὐσεβὴς ψυχὴ ποὺ δέχεται τὴν ἀποκάλυψιν.

Καὶ τό, «Ἐκεῖνος ποὺ ἔρχεται εἰς ἐμέ, θὰ σωθῇ», σημαίνει τὸ ἑξῆς· Αὐτὸς θ' ἀπολαύσῃ μεγάλην πρόνοιαν. Διότι χάριν αὐτῶν, λέγει, ἦλθον καὶ ἔλαβον σάρκα καὶ τὴν μορφὴν δούλου. Ἔπειτα προσέθεσε· «Κατέβην ἀπὸ τὸν οὐρανόν, ὄχι διὰ νὰ κάμω τὸ ἰδικόν μου θέλημα, ἀλλὰ τὸ θέλημα ἐκείνου ποὺ μὲ ἔστειλε». Τί λέγεις; Ἄλλο εἶναι τὸ ἰδικόν σου θέλημα καὶ ἄλλο τοῦ Πατρός; Διὰ νὰ μὴ ὑποπτευθῇ κανεὶς τοῦτο, ἀπομακρύνει αὐτὴν τὴν ὑποψίαν λέγων· «Διότι τοῦτο εἶναι τὸ θέλημα ἐκείνου ποὺ μὲ ἔστειλε, ὁ καθένας ποὺ βλέπει τὸν Υἱὸν καὶ πιστεύει εἰς αὐτόν, νὰ ἔχῃ ζωὴν αἰώνιον». Αὐτὸ λοιπὸν δὲν εἶναι τὸ ἰδικόν σου θέ-

χοῦ λέγεις· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καί τί ἤθελον, εἰ ἤδη ἀνήφθη»; Εἰ δὲ καὶ σὺ τοῦτο θέλεις, εὔδηλον ὅτι ἓν θέλημα· καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ».

Τί οὖν τὸ θέλημα τοῦ Πατρός; ἆρ' οὐχ ἵνα μὴ ἀπόληται ἐξ αὐτῶν μηδὲ εἷς; Τοῦτο δὴ καὶ αὐτὸς θέλεις. Οὐ τοίνυν ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ τοῦτο. Οὕτω καὶ ἀλλαχοῦ φαίνεται τὸ πρὸς τὸν Πατέρα ἴσον ἔτι βεβαιότερον παριστῶν τῷ λέγειν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». Ὃ οὖν λέγει, τοῦτό ἐστιν· Οὐκ ἄλλο τι πράξων ἦλθον, ἢ τοῦτο ὅπερ καὶ ὁ Πατὴρ βούλεται· οὐκ ἴδιόν τι ἐμὸν παρὰ τὸ τοῦ Πατρὸς ἔχων θέλημα· πάντα γὰρ τὰ τοῦ Πατρὸς ἐμά ἐστι, καὶ τὰ ἐμὰ ἐκείνου. Εἰ τοίνυν κοινὰ τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, εἰκότως φησίν· «Οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιῶ».

Ἀλλ' οὕτω μὲν ἐνταῦθα οὐκ εἶπεν, ἀλλὰ πρὸς τῷ τέλει τοῦτο τηρεῖ. Τὰ γὰρ ὑψηλά, ὅπερ ἔφην, τέως ἐγκρύπτει, καὶ συσκιάζει, καὶ βούλεται δεῖξαι ὅτι εἰ εἶπεν, ὅτι Τὸ θέλημα τὸ ἐμὸν τοῦτό ἐστι, κατεφρόνησαν ἄν. Λέγει τοίνυν, ὅτι Καὶ ἐγὼ ἐκείνῳ συμπράττω τῷ θελήματι, βουλόμενος αὐτοὺς μᾶλλον πλῆξαι, ὡσανεὶ ἔλεγε· Τί νομίζετε; ὅτι ἐμὲ παροργίζετε ἀπιστοῦντες; Τὸν Πατέρα μὲν οὖν τὸν ἐμὸν παροξύνετε· «Τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ». Δείκνυσιν ἐνταῦθα οὐκ αὐτὸν δεόμενον τῆς αὐτῶν θεραπείας, οὐδὲ δι' οἰκείαν χρείαν παραγενόμενον, ἀλλὰ διὰ τὴν ἐκείνων σωτηρίαν, οὐ διὰ τὴν παρ' αὐτῶν τιμήν.

Ὅπερ καὶ ἐν τῇ προτέρᾳ δημηγορίᾳ φησίν, ὅτι «Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω»· καὶ πάλιν, «Ταῦτα λέ-

9. Λουκᾶ, 12, 49.
10. Ἰω. 14, 23.
11. Ἰω. 17, 10.

λημα; Καὶ διατί ἀλλοῦ τονίζεις· «Πῦρ ἦλθα νὰ βάλω εἰς τὴν γῆν καὶ πῶς θὰ ἤθελα νὰ εἶχεν ἤδη ἀνάψει»[9]; Ἂν καὶ ἐσὺ θέλῃς τὸ ἴδιο, εἶναι φανερόν, ὅτι ὑπάρχει ἕνα θέλημα. Διότι καὶ ἀλλοῦ ἀναφέρει· «Ὅπως ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ζωοποιεῖ ὅποιους θέλει».

Ποῖον εἶναι λοιπὸν τὸ θέλημα τοῦ Πατρός; Μήπως δὲν εἶναι νὰ μὴ χαθῇ οὔτε ἕνας ἀπὸ αὐτούς; Αὐτὸ ἀκριβῶς θέλεις καὶ ἐσύ. Ἑπομένως δὲν εἶναι ἄλλο τὸ θέλημα τοῦ ἑνὸς καὶ ἄλλο τοῦ ἄλλου. Ἔτσι καὶ ἀλλοῦ φαίνεται νὰ ὁμιλῇ μετὰ μεγάλης βεβαιότητος ὅτι εἶναι ἴσος μὲ τὸν Πατέρα· «Ἐγὼ καὶ ὁ Πατὴρ θὰ ἔλθωμεν καὶ θὰ κατοικήσωμεν μαζί του»[10]. Μὲ αὐτὸ ἐννοεῖ τὸ ἑξῆς· Δὲν ἦλθα νὰ κάμω τίποτε ἄλλο, παρὰ αὐτὸ ποὺ θέλει καὶ ὁ Πατήρ. Διότι ἐγὼ δὲν ἔχω ἰδιαίτερον θέλημα ἀπὸ τὸν Πατέρα. Διότι ὅλα ὅσα εἶναι τοῦ Πατρός, εἶναι καὶ ἰδικά μου[11]. Ἐὰν λοιπὸν διὰ τὸν Πατέρα καὶ διὰ τὸν Υἱὸν ὅλα εἶναι κοινά, δικαίως λέγει· «Ὄχι διὰ νὰ κάμω τὸ ἰδικόν μου θέλημα».

Ἀλλ' ἐδῶ δὲν ὡμίλησεν ἔτσι, καὶ ἄφησε τοῦτο διὰ τὸ τέλος τῆς ὁμιλίας του. Διότι, ὅπως εἶπα, μέχρι τινὸς ἀποκρύπτει καὶ συσκοτίζει τὰ ὑψηλὰ νοήματα καὶ θέλει νὰ δείξῃ ὅτι, ἐὰν ἔλεγεν· Αὐτὸ εἶναι τὸ ἰδικόν μου θέλημα, οἱ Ἰουδαῖοι θὰ τὸν περιεφρόνουν. Λέγει λοιπόν· Καὶ ἐγὼ συμπράττω εἰς τὸ θέλημα τοῦ Πατρός, μὲ σκοπὸν νὰ τοὺς φοβίσῃ περισσότερον, σὰν νὰ τοὺς ἔλεγε· Τί νομίζετε; ὅτι ἐξοργίζετε ἐμὲ μὲ τὴν ἀπιστίαν σας; Τὸν Πατέρα μου ἐξοργίζετε. «Διότι τοῦτο εἶναι τὸ θέλημα τοῦ Πατρός μου, ὁ ὁποῖος μὲ ἔστειλε, νὰ μὴ χάσω τίποτε ἀπὸ ὅ,τι μοῦ ἔχει δώσει». Ἀποδεικνύει λοιπὸν ἐδῶ, ὅτι αὐτὸς δὲν ἔχει ἀνάγκην τῆς λατρείας των, οὔτε καὶ ἦλθεν ἀπὸ προσωπικὴν ἀνάγκην, ἀλλὰ διὰ τὴν ἰδικήν των σωτηρίαν καὶ ὄχι διὰ νὰ τιμηθῇ ἀπὸ αὐτούς.

Αὐτὸ τὸ εἶχεν εἰπεῖ καὶ εἰς προηγουμένην ὁμιλίαν του· «Τιμὰς ἀπὸ τοὺς ἀνθρώπους δὲν δέχομαι». Καὶ ἐπανέλαβε·

γω, ἵνα ὑμεῖς σωθῆτε. Ἄνω γὰρ καὶ κάτω τοῦτο σπουδάζει δεῖξαι, ὅτι διὰ τὴν ἐκείνων σωτηρίαν παρεγένετο. Λέγει δὲ καὶ τῷ Πατρὶ δόξαν παρασκευάζειν, ὥστε ἀνύποπτος δόξαι. Καὶ ὅτι διὰ τοῦτο οὕτως εἶπε, διὰ τῶν ἑξῆς τοῦτο σαφέστερον ἀπεκάλυψεν. «Ὁ γὰρ ζητῶν», φησί, «τὸ θέλημα τὸ ἑαυτοῦ, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν ἀληθής ἐστι καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ Πατρός, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ». Τί δήποτε συνεχῶς ἄνω καὶ κάτω στρέφει τὴν ἀνάστασιν; Ἵνα μὴ τοῖς παροῦσι πράγμασι κρίνωσι μόνον τὴν τοῦ Θεοῦ πρόνοιαν· ἵνα κἂν ἐνταῦθα μὴ ἀπολαύωσι, μὴ διὰ τοῦτο ὑπτιώτεροι γένωνται, ἀλλὰ τὰ μέλλοντα ἐλπίζωσι, καὶ ἵνα μὴ διὰ τὸ μὴ κολάζεσθαι πρὸς τὸ παρόν, αὐτοῦ καταφρονῶσιν, ἀλλ' ἑτέραν προσδοκῶσι ζωήν.

4. Ἀλλ' εἰ καὶ ἐκεῖνοι οὐδὲν ἐκέρδαναν, ἡμεῖς κερδᾶναι σπουδάσωμεν ἐκ τοῦ συνεχῶς περὶ ἀναστάσεως διαλέγεσθαι. Κἂν πλεονεκτῆσαι βουληθῶμεν, κἂν ἁρπάσαι, κἂν ἄτοπόν τι πρᾶξαι, εὐθέως τὴν ἡμέραν ἐκείνην εἰς νοῦν λαμβάνωμεν, καὶ τὸ δικαστήριον ὑπογράφωμεν· καὶ παντὸς χαλινοῦ σφοδρότερον καθέξει τὴν ὁρμὴν τὴν ἄτοπον ὁ λογισμὸς οὗτος. Καὶ λέγωμεν πρὸς ἄλλους τε ἀεὶ πρὸς ἑαυτούς· ἀνάστασίς ἐστι, καὶ δικαστήριον ἡμᾶς μένει φοβερόν.

Κἂν ἴδωμέν τινα γαυρούμενον, καὶ ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς φλεγμαίνοντα, τὸ αὐτὸ ἐπιλέγωμεν, ἐμφαίνοντες ὅτι πάντα ἐνταῦθα μένει· κἂν ἕτερον ἀλγοῦντα ἴδωμεν καὶ ἀποδυσπετοῦντα καὶ πρὸς ἐκεῖνον τὸ αὐτὸ φθεγγώμεθα, δηλοῦντες ὅτι τέλος ἕξει τὰ λυπηρά. Κἂν ῥᾳθυμοῦντα καὶ διακεχυμένον, τὸ αὐτὸ πάλιν ἐπᾴδωμεν, δηλοῦντες ὅτι ἀνάγκη,

12. Ἰω. 7, 18.

«Τὰ λέγω αὐτά, διὰ νὰ σωθῆτε». Διότι παντοῦ καὶ πάντοτε τοῦτο προσπαθεῖ ν' ἀποδείξῃ, ὅτι ἦλθε διὰ τὴν σωτηρίαν των. Λέγει δὲ ὅτι ἦλθε καὶ διὰ νὰ ἑτοιμάσῃ δόξαν εἰς τὸν Πατέρα, ὥστε νὰ μὴ προκαλέσῃ τὴν ὑποψίαν των. Καὶ ὅτι δι' αὐτὸν τὸν σκοπὸν ὡμίλησεν ἔτσι, τὸ ἀπεκάλυψε καθαρώτερα μὲ τὰ ἑπόμενα· «Ἐκεῖνος ποὺ ζητεῖ τὸ ἰδικόν του θέλημα, ζητεῖ τὴν ἰδικήν του δόξαν. Ἐκεῖνος ὅμως ποὺ ζητεῖ τὴν δόξαν ἐκείνου ποὺ τὸν ἔστειλεν, αὐτὸς εἶναι ἀληθὴς καὶ δὲν ὑπάρχει ψεῦδος εἰς αὐτόν. «Τὸ θέλημα τοῦ Πατρός μου εἶναι τοῦτο, ὁ καθένας ποὺ βλέπει τὸν Υἱόν του καὶ πιστεύει εἰς αὐτόν, νὰ ἔχῃ ζωὴν αἰώνιον καὶ ἐγὼ θὰ τὸν ἀναστήσω κατὰ τὴν ἐσχάτην ἡμέραν»[12]. Διατί ἐνθυμίζει τὴν ἀνάστασιν τόσο συχνά; Διὰ νὰ μὴ νομίσουν ὅτι ἡ πρόνοια τοῦ Θεοῦ εἶναι μόνον διὰ τὰ παρόντα πράγματα καὶ ἂν δὲν ἀπολαύσουν ταῦτα εἰς τὴν παροῦσαν ζωήν, νὰ μὴ γίνωνται ἀπροθυμότεροι, ἀλλὰ νὰ ἐλπίζουν εἰς τὰ μέλλοντα καὶ ἂν εἰς τὴν παροῦσαν ζωὴν δὲν τιμωροῦνται, νὰ μὴ ἀδιαφοροῦν δι' αὐτό, ἀλλὰ νὰ ἐλπίζουν εἰς ἄλλην ζωήν.

4. Ἀλλ' ἂν ἐκεῖνοι δὲν ὠφελήθησαν, ἂς προσπαθήσωμεν νὰ ὠφεληθοῦμεν ἡμεῖς ἐκ τῆς συνεχοῦς ὁμιλίας του περὶ ἀναστάσεως. Καὶ ἂν θελήσωμεν νὰ γίνωμεν πλεονέκται ἢ ἅρπαγες ἢ νὰ κάμωμεν κάτι ἄπρεπον, ἂς ἔχωμεν συνεχῶς εἰς τὸν νοῦν μας τὴν ἡμέραν ἐκείνην καὶ ἂς φανταζώμεθα τὸ δικαστήριον καὶ ἡ σκέψις αὐτὴ θὰ συγκρατήσῃ τὴν ἄπρεπον ὁρμήν μας καλύτερα ἀπὸ κάθε χαλινάρι. Καὶ ἂς λέγωμεν πάντοτε καὶ εἰς τοὺς ἄλλους καὶ εἰς τοὺς ἑαυτούς μας· Θὰ γίνῃ ἀνάστασις καὶ μᾶς περιμένει φοβερὸν δικαστήριον.

Καὶ ἂν ἰδοῦμεν κάποιον νὰ καυχησιολογῇ καὶ νὰ χαίρεται διὰ τὰ παρόντα ἀγαθά, ἂς τοῦ ἐπαναλαμβάνωμεν τὸ ἴδιο, ἀποδεικνύοντες εἰς αὐτὸν ὅτι ὅλα μένουν ἐδῶ. Καὶ ἂν ἰδοῦμεν ἄλλον νὰ βασανίζεται καὶ νὰ ταλαιπωρῆται, ἂς εἰποῦμεν τὸ ἴδιο καὶ εἰς αὐτόν, βεβαιώνοντες αὐτὸν ὅτι αἱ λῦπαι θὰ τελειώσουν. Καὶ ἂν ἰδοῦμεν ἄλλον νὰ ἀμελῇ καὶ νὰ χαλαρώνῃ, ἂς ἐπαναλάβωμεν τὸ ἴδιο, ἀποδεικνύοντες εἰς αὐ-

τῆς ῥᾳθυμίας εὐθύνας διδόναι. Ἱκανὸν τοῦτο τὸ ῥῆμα παντὸς φαρμάκου μᾶλλον τὴν ἡμετέραν θεραπεῦσαι ψυχήν. Καὶ γάρ ἐστιν ἀνάστασις καὶ ἀνάστασις ἐπὶ θύραις, οὐ μακρὰν οὐδὲ πόρρω. «Ἔτι γὰρ μικρόν», φησὶ Παῦλος, «ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ»· καὶ πάλιν, «Πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ»· τουτέστι καὶ πονηροὺς καὶ ἀγαθούς, ἵνα κἀκεῖνοι ἐπὶ πάντων αἰσχύνωνται, καὶ οὗτοι πάλιν ἐπὶ πάντων λαμπρότεροι γένωνται. Καθάπερ γὰρ οἱ ἐνταῦθα δικάζοντες καὶ πονηροὺς κολάζουσι, καὶ ἀγαθοὺς τιμῶσι δημοσίᾳ· οὕτω δὴ καὶ ἐκεῖ γίνεται· ὥστε τοῖς μὲν τὴν αἰσχύνην μείζω, τοῖς δὲ τὴν λαμπρότητα γενέσθαι περιφανεστέραν.

Ταῦτα τοίνυν καθ' ἑκάστην ὑπογράφωμεν ἑαυτοῖς τὴν ἡμέραν. Ταῦτα ἂν ἀεὶ στρέφωμεν, οὐδὲν ἡμᾶς τῶν παρόντων καὶ ἐπικήρων κατασχεῖν δυνήσεται πραγμάτων. «Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια». Συνεχῶς τοίνυν καὶ πρὸς ἑαυτοὺς φθεγγώμεθα, καὶ πρὸς ἀλλήλους. Ἀνάστασίς ἐστι καὶ κρίσις καὶ εὐθῦναι τῶν πεπραγμένων. Καὶ ὅσοι νομίζουσιν εἱμαρμένην εἶναι, τοῦτο λεγέτωσαν, καὶ εὐθέως ἀπαλλαγήσονται τῆς σηπεδόνος τοῦ νοσήματος. Εἰ γὰρ ἀνάστασίς ἐστι καὶ κρίσις, οὐκ ἔστιν εἱμαρμένη, κἂν μυρία φιλονεικοῦσι καὶ ἀποπνίγωνται.

Ἀλλὰ γὰρ αἰσχύνομαι Χριστιανοὺς περὶ ἀναστάσεως διδάσκων. Ὁ γὰρ δεόμενος μαθεῖν ὅτι ἔστιν ἀνάστασις καὶ μὴ σφόδρα πεπεικὼς ἑαυτόν, ὅτι οὐκ ἀνάγκῃ καὶ ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ πράγματα φέρεται, οὐκ ἂν εἴη Χριστιανός. Διὰ τοῦτο, παρακαλῶ καὶ δέομαι, πάντων τῶν πονηρῶν ἑαυτοὺς ἐκκαθάρωμεν καὶ πάντα πράξωμεν, ὥστε συγγνώμης τυχεῖν καὶ ἀπολογίας κατὰ τὴν ἡμέραν ἐκείνην.

Ἀλλ' ἴσως ἐρεῖ τις· Καὶ πότε συντέλεια; πότε δὲ ἀνά-

13. Ἑβρ. 10, 37.
14. Β' Κορ. 5, 10.

τόν, ὅτι θὰ δώσῃ λόγον διὰ τὴν ἀμέλειάν του. Αὐτὴ ἡ λέξις εἶναι τὸ καλύτερον φάρμακον διὰ νὰ θεραπεύσῃ τὴν ψυχήν μας. Διότι ὑπάρχει ἀνάστασις καὶ ἀνάστασις πολὺ πλησίον καὶ δὲν εὑρίσκεται μακράν. «Διότι πολὺ ταχέως θὰ ἔλθῃ ὁ ἐρχόμενος καὶ δὲν θὰ βραδύνῃ»[13], λέγει ὁ Παῦλος. Καὶ ὁ ἴδιος πάλιν λέγει· «Ὅλοι ἡμεῖς πρέπει νὰ ἐμφανισθοῦμεν ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ»[14], δηλαδὴ καὶ κακοὶ καὶ καλοί, οἱ μὲν πρῶτοι διὰ νὰ ἐντρέπωνται δι' ὅλα ὅσα ἔκαμαν, οἱ δὲ ἄλλοι διὰ νὰ λαμπρυνθοῦν περισσότερον δι' ὅλα. Διότι, ὅπως ἀκριβῶς ἐδῶ οἱ δικασταὶ καὶ τοὺς κακοὺς τιμωροῦν καὶ τοὺς καλοὺς τιμοῦν δημοσίως, ἔτσι γίνεται καὶ ἐκεῖ, ὥστε οἱ μὲν κακοὶ νὰ ἐντρέπωνται περισσότερον, οἱ δὲ καλοὶ περισσότερον νὰ τιμῶνται.

Αὐτὰ λοιπὸν ἂς τὰ ἐνθυμούμεθα κάθε ἡμέραν. Ἂν αὐτὰ σκεπτώμεθα, κανὲν ἀπὸ τὰ πρόσκαιρα καὶ ρευστὰ πράγματα δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς ἀπορροφήσῃ. «Διότι ἐκεῖνα ποὺ βλέπονται εἶναι πρόσκαιρα, ἐκεῖνα ὅμως ποὺ δὲν βλέπονται εἶναι αἰώνια». Αὐτὰ λοιπὸν ἂς τὰ λέγωμεν συχνὰ καὶ εἰς τοὺς ἑαυτούς μας καὶ εἰς τοὺς ἄλλους. Ὑπάρχει ἀνάστασις καὶ κρίσις καὶ εὐθῦναι διὰ τὰς πράξεις μας. Καὶ ὅσα νομίζουν ὅτι ὑπάρχει πεπρωμένον, ἂς λέγουν τοῦτο καὶ ἂς περιμένουν ν' ἀπαλλαγοῦν ἀμέσως ἀπὸ τὸ φθοροποιὸν νόσημα. Διότι, ἐὰν ὑπάρχῃ ἀνάστασις καὶ κρίσις, δὲν ὑπάρχει πεπρωμένον, ὅσο καὶ ἂν φιλονεικοῦν καὶ φωνάζουν.

Ἀλλ' ὅμως ἐντρέπομαι νὰ διδάσκω τοὺς Χριστιανοὺς περὶ ἀναστάσεως. Διότι ἐκεῖνος ποὺ ἔχει ἀνάγκην νὰ μάθῃ, ὅτι ὑπάρχει ἀνάστασις καὶ δὲν ἔχει πείσει ἀρκετὰ τὸν ἑαυτόν του, ὅτι δὲν ὑπάρχει ἀνάγκη περὶ αὐτοῦ, ἀλλὰ ἁπλῶς καὶ τυχαίως θεωρεῖ τὰ πράγματα, δὲν ἠμπορεῖ νὰ εἶναι χριστιανός. Διὰ τοῦτο παρακαλῶ καὶ ἐκλιπαρῶ, νὰ καθαρίσωμεν τοὺς ἑαυτούς μας ἀπὸ ὅλας τὰς κακὰς πράξεις καὶ ἂς κάμωμεν τὰ πάντα, ὥστε νὰ ἐπιτύχωμεν τὴν συγγνώμην καὶ τὴν καλὴν ἀπολογίαν κατὰ τὴν ἡμέραν ἐκείνην.

Ἴσως ὅμως νὰ ἐρωτήσῃ κανείς· Πότε θὰ γίνῃ ἡ συν-

στασις ἔσται; ἰδοὺ πόσος γέγονε χρόνος, καὶ οὐδὲν τοιοῦτον συνέβη; Ἀλλ' ἔσται, πιστεύσατε. Καὶ γὰρ οἱ πρὸ τοῦ κατακλυσμοῦ τοιαῦτα ἔλεγον, καὶ κατεγέλων τοῦ Νῶε· ἀλλ' ἦλθεν ὁ κατακλυσμὸς καὶ παρέσυρε τούτους μὲν ἅπαντας ἀπιστοῦντας, ἐκεῖνον δὲ διέσωσε μόνον τὸν πιστεύσαντα. Καὶ οἱ ἐπὶ τοῦ Λὼτ οὐ προσεδόκων τὴν θεήλατον πληγὴν ἐκείνην, ἕως οἱ πρηστῆρες ἐκεῖνοι καὶ κεραυνοί, κατενεχθέντες ἅπαντας ἠφάνισαν. Καὶ οὔτε ἐπὶ τούτων, οὔτε ἐπὶ τῶν κατὰ τὸν Νῶε ἐγένετο προοίμιον τῶν μελλόντων συμβήσεσθαι· ἀλλὰ τρυφώντων, μεθυόντων, ἐμπαροινούντων ἁπάντων, οὕτως ἐκεῖνα γέγονε τὰ ἀφόρητα. Οὕτω καὶ ἡ ἀνάστασις ἔσται, οὐ μετὰ προοιμίων τινῶν, ἀλλ' ἐν μέσαις ὄντων ἡμῶν εὐημερίαις. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «Ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι». Τοῦτο δὲ οὕτως ᾠκονόμησεν ὁ Θεός, ἵνα διὰ παντὸς ὦμεν ἐναγώνιοι, καὶ ἐν αὐτῇ τῇ ἀσφαλείᾳ μὴ θαρρῶμεν.

Τί λέγεις; οὐ προσδοκᾷς τὴν ἀνάστασιν ἔσεσθαι καὶ κρίσιν; δαίμονες ὁμολογοῦσι ταῦτα, καὶ σὺ οὐχ ὁμολογεῖς; «Ἦλθες» γάρ, φησίν, «ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς». Οἱ δὲ βάσανον ἔσεσθαι λέγοντες, καὶ κρίσιν ἴσασι, καὶ εὐθύνας, καὶ τιμωρίας. Μὴ τοίνυν παροξύνωμεν τὸν Θεὸν πρὸς τὸ φαῦλα τολμᾶν καὶ ἀπιστοῦντες τῷ τῆς ἀναστάσεως λόγῳ. Ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις ἦρξεν ἡμῶν ὁ Χριστός, οὕτω καὶ ἐν τούτῳ. Καὶ γὰρ πρωτότοκος διὰ τοῦτο λέγεται ἐκ τῶν νεκρῶν.

Εἰ δὲ μὴ ἀνάστασις ἦν, πῶς ἔμελλε πρωτότοκος ἔσε-

15. Α' Θεσσ. 5, 3.
16. Ματθ. 8, 29.
16α. Κολ. 1, 18.

τέλεια καὶ ἡ ἀνάστασις. Ἰδές, πόσος χρόνος ἐπέρασε καὶ δὲν συνέβη κάτι παρόμοιον; Ἀλλά, πιστεύσατέ με, θὰ γίνῃ. Διότι καὶ οἱ ἄνθρωποι ποὺ ἔζησαν πρὸ τοῦ κατακλυσμοῦ τὰ ἴδια ἔλεγαν καὶ περιγελοῦσαν τὸν Νῶε. Ἀλλ' ἦλθεν ὁ κατακλυσμὸς καὶ παρέσυρεν ὅλους ἐκείνους ποὺ δὲν ἐπίστευαν καὶ διέσωσε μόνον ἐκεῖνον ποὺ ἐπίστευε. Καὶ οἱ ἄνθρωποι τῆς ἐποχῆς τοῦ Λὼτ δὲν ἐπερίμεναν τὴν πληγὴν ἐκείνην, ποὺ ἐστάλη ἀπὸ τὸν Θεόν, μέχρις ὅτου τὸ πῦρ καὶ οἱ κεραυνοὶ ποὺ ἔπεσαν τοὺς ἐξηφάνισαν ὅλους.

Καὶ οὔτε οἱ ἄνθρωποι τῆς ἐποχῆς τοῦ Λώτ, οὔτε τῆς ἐποχῆς τοῦ Νῶε ὑπῆρξε προμήνυμα τῶν μελλόντων νὰ συμβοῦν. Ἀλλ' ἐνῷ ὅλοι εἶχαν ἐπιδοθῇ εἰς τὴν τρυφὴν καὶ εἰς τὴν μέθην καὶ ἐνῷ ὅλοι ἐγλεντοκόπουν, ἐπῆλθαν ὅλα τὰ ἀφόρητα ἐκεῖνα κακά. Ἔτσι θὰ γίνῃ καὶ ἡ ἀνάστασις, χωρὶς προμήνυμα, ἀλλὰ εἰς τὸ μέσον τῆς εὐημερίας μας. Δι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Ὅταν λέγουν εἰρήνη καὶ ἀσφάλεια, τότε ἔρχεται ἐπάνω των αἰφνιδία καταστροφή, ὅπως ὁ πόνος εἰς τὴν ἔγκυον καὶ δὲν θὰ ἠμπορέσουν νὰ ξεφύγουν»[15]. Ἔτσι τὰ ἐτακτοποίησεν ὁ Θεός, διὰ νὰ εἴμεθα πάντοτε ἕτοιμοι διὰ τὸν ἀγῶνα καὶ νὰ μὴ ἔχωμεν ἐμπιστοσύνην εἰς τὴν ἀσφάλειάν μας.

Τί λέγεις; Δὲν περιμένεις ὅτι θὰ γίνῃ ἡ ἀνάστασις καὶ ἡ κρίσις; Αὐτὰ ποὺ παραδέχονται οἱ δαίμονες, αὐτὰ δὲν ὁμολογεῖς καὶ ἐσύ; Διότι οἱ δαίμονες εἶχαν εἰπεῖ εἰς τὸν Χριστόν· «Ἦλθες ἐδῶ προώρως, διὰ νὰ μᾶς βασανίσῃς;»[16]. Αὐτοὶ δὲ ποὺ ὁμιλοῦν διὰ μελλοντικοὺς βασανισμούς, αὐτοὶ γνωρίζουν ὅτι θὰ ὑπάρχῃ κρίσις καὶ θὰ ζητηθοῦν εὐθῦναι καὶ θὰ ἐπιβληθοῦν τιμωρίαι. Ἂς μὴ ἐξοργίζωμεν λοιπὸν τὸν Θεὸν τολμῶντες νὰ κάμνωμεν φαῦλα ἔργα καὶ μὴ πιστεύοντες εἰς τὸν λόγον περὶ τῆς ἀναστάσεως. Διότι, ὅπως καὶ εἰς τὰ ἄλλα τὸν Χριστὸν ἔχομεν ὡς ἀρχήν, ἔτσι καὶ εἰς τοῦτο. Δι' αὐτὸ ἄλλωστε ὀνομάζεται πρωτότοκος ἐκ τῶν νεκρῶν[16α].

Ἐὰν ὅμως δὲν ὑπῆρχεν ἀνάστασις, πῶς θὰ ἦτο πρωτό-

σθαι, μηδενὸς αὐτῷ τῶν νεκρῶν ἑπομένου; Εἰ μὴ ἀνάστασις ἦν, ποῦ τοῦ Θεοῦ τὸ δίκαιον σωθήσεται, τοσούτων μὲν πονηρῶν εὐημερούντων, τοσούτων δὲ ἀγαθῶν θλιβομένων, καὶ ἐν τῇ θλίψει τὸν βίον καταλυόντων; Ποῦ γὰρ τὰ κατ᾽ ἀξίαν ἕκαστος ἀπολήψεται τούτων, εἴ γε ἀνάστασις μὴ ἔστιν; Οὐδεὶς τῶν ὀρθῶς βεβιωκότων τῇ ἀναστάσει διαπιστεῖ, ἀλλὰ καθ᾽ ἑκάστην εὔχονται τὴν ἡμέραν, τὴν ῥῆσιν ἐκείνην τὴν ἁγίαν λέγοντες· «Ἐλθέτω ἡ βασιλεία σου». Τίνες οὖν εἰσιν οἱ τῇ ἀναστάσει διαπιστοῦντες; Οἱ βεβήλους ἔχοντες τὰς ὁδοὺς καὶ ἀκάθαρτον τν βίον, καθάπερ ὁ Προφήτης φησί· «Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνθρωπον βίον ἔχειν καθαρόν, ἀναστάσει διαπιστοῦντα· ὡς οἵ γε μηδὲν συνειδότες ἑαυτοῖς, πονηρόν, καὶ λέγουσι, καὶ βούλονται, καὶ πιστεύουσιν ὥστε τὴν ἀνταπόδοσιν λαβεῖν.

Μὴ τοίνυν αὐτὸν παροξύνωμεν, ἀλλ᾽ ἀκούωμεν αὐτοῦ λέγοντος, ὅτι «Φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ»· ἵνα διὰ τοῦ φόβου γενώμεθα βελτίους, καὶ τῆς ἀπωλείας ταύτης ἀπαλλαγέντες, καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν τῷ προσκυνητῷ καὶ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

166. Ματθ. 6, 10.
17. Ψαλμ. 9, 26.
18. Ματθ. 10, 28.

τοκος, ἀφοῦ δὲν θὰ τὸν ἠκολούθει κανεὶς ἀπὸ τοὺς νεκρούς; Ἐὰν δὲν ὑπῆρχεν ἀνάστασις, μὲ ποῖον τρόπον θὰ ὑπηρετεῖτο ἡ δικαιοσύνη τοῦ Θεοῦ, ἐφ' ὅσον εὐημεροῦν τόσοι πονηροὶ καὶ θλίβονται τόσοι ἀγαθοὶ καὶ μάλιστα καταστρέφουν τὴν ζωήν των μὲ τὴν λύπην; Διότι, πῶς θὰ ἀμειφθῇ καθένας ἀπὸ αὐτοὺς ἀνάλογα μὲ τὴν ἀξίαν του, ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις; Κανεὶς ἀπὸ ὅσους ζοῦν ὀρθὴν ζωὴν δὲν δυσπιστεῖ διὰ τὴν ἀνάστασιν, ἀλλὰ προσεύχονται κάθε ἡμέραν λέγοντες ἐκείνην τὴν ἁγίαν λέξιν· «Ἂς ἔλθῃ ἡ βασιλεία σου»[16]. Ποῖοι λοιπὸν εἶναι ἐκεῖνοι ποὺ δὲν πιστεύουν εἰς τὴν ἀνάστασιν; Ἐκεῖνοι ποὺ ἀκολουθοῦν μολυσμένας ὁδοὺς καὶ ἀκάθαρτον βίον, ὅπως λέγει ὁ Προφήτης· «Μολυσμέναι εἶναι αἱ ὁδοί του εἰς κάθε ἐποχήν..Θὰ ἀνταναιρέσῃς τὰς κρίσεις σου ἀπὸ τὸ πρόσωπόν του»[17]. Διότι δὲν ὑπάρχει ἄνθρωπος ποὺ ἔχει βίον καθαρὸν καὶ δὲν πιστεύει εἰς τὴν ἀνάστασιν, ὅπως καὶ ὅσοι ἔχουν συνείδησιν, ὅτι δὲν εἶναι πονηροὶ καὶ λέγουν καὶ θέλουν καὶ πιστεύουν ὅτι θὰ λάβουν τὴν ἀμοιβήν των.

Ἂς μὴ ἐξοργίσωμεν λοιπὸν αὐτόν, ἀλλ' ἂς τὸν ἀκούωμεν ὅταν λέγῃ «Νὰ φοβηθῆτε ἐκεῖνον ποὺ ἠμπορεῖ νὰ κάμῃ καὶ ψυχὴν καὶ σῶμα νὰ χαθῇ εἰς τὴν γέενναν»[18], διὰ νὰ γίνωμεν καλύτεροι μὲ τὸν φόβον καὶ ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ αὐτὴν τὴν καταστροφήν, γίνωμεν ἄξιοι τῆς βασιλείας τῶν οὐρανῶν. Ταύτην εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρὶ σὺν τῷ προσκυνητῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΣΤ΄

Ἰω. 6, 41 - 52

«Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ υἱὸς τοῦ Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι;».

1. «Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν», γράφων Φιλιππησίοις ὁ Παῦλος περί τινων ἔλεγεν. Ὅτι δὲ καὶ Ἰουδαῖοι τοιοῦτοι, δῆλον μὲν καὶ ἀπὸ τῶν ἔμπροσθεν, δῆλον δὲ καὶ ἀφ' ὧν τῷ Χριστῷ προσελθόντες διελέγοντο. Ὅτε μὲν γὰρ ἄρτον ἔδωκεν αὐτοῖς καὶ τὴν γαστέρα ἐνέπλησε καὶ προφήτην ἔλεγον εἶναι καὶ βασιλέα ποιῆσαι ἐζήτουν· ὅτε δὲ αὐτοὺς ἐδίδασκε περὶ τῆς πνευματικῆς τροφῆς, περὶ ζωῆς αἰωνίου, ὅτε ἀπήγαγεν αὐτοὺς τῶν αἰσθητῶν, ὅτε περὶ ἀναστάσεως διελέγετο, καὶ ὑψηλοτέραν ἐποίει τὴν γνώμην· ὅτε μάλιστα θαυμάζειν αὐτὸν ἐχρῆν, τότε γογγύζουσι καὶ ἀποπηδῶσι.

Καὶ μήν, εἰ οὗτός ἐστιν ὁ προφήτης, καθὼς ἔφθησαν εἰπόντες· «Οὗτός ἐστι περὶ οὗ φησιν ὁ Μωϋσῆς, ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε»· ἐχρῆν αὐτοὺς τούτου ἀκούειν λέγοντος, ὅτι «Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα». Ἀλλὰ οὐκ ἤκουον, ἀλλ' ἐγόγγυζον. Ἔτι γὰρ αὐτὸν ᾐδοῦντο διὰ τὸ νεαρὸν εἶναι τὸ τῶν ἄρτων σημεῖον. Διὰ τοῦτο φανερῶς μὲν οὐκ ἀντέλεγον· τῷ δὲ γογγύζειν ἐνέφαινον ὡς ἠγανάκτουν, ὅτι μὴ ἔδωκεν αὐτοῖς τράπεζαν ἥνπερ ἐβούλοντο. Καὶ γογγύζοντες ἔλεγον· «Οὐκ ἔστιν οὗτος ὁ υἱὸς Ἰωσήφ;».

---

1. Ἰω. 6, 41 - 42.
2. Φιλ. 3, 19.
3. Δευτ. 18, 15.

ΟΜΙΛΙΑ ΜΣΤ'

'Ιω. 6, 41 - 52

«'Εγόγγυζον τότε οἱ 'Ιουδαῖοι ἐναντίον του, διότι εἶπεν· 'Εγὼ εἶμαι ὁ ἄρτος ποὺ κατέβηκα ἀπὸ τὸν οὐρανὸν καὶ ἔλεγαν· Δὲν εἶναι αὐτὸς ὁ 'Ιησοῦς, ὁ Υἱὸς τοῦ 'Ιωσήφ, τοῦ ὁποίου τὸν πατέρα καὶ τὴν μητέρα ἡμεῖς γνωρίζομεν; Πῶς λοιπὸν λέγει ὅτι ἔχει κατεβῆ ἀπὸ τὸν οὐρανόν»[1].

1. «Ὁ Θεός των εἶναι ἡ κοιλία καὶ καυχῶνται διὰ τὴν καταισχύνην των»[2], ἔλεγεν ὁ Παῦλος διὰ μερικοὺς εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολήν. Καὶ εἶναι φανερὸν καὶ ἀπὸ τὰ προηγούμενα, ἀλλὰ καὶ ἀπὸ ὅσα ἔλεγαν εἰς τὸν Χριστόν, ὅταν τὸν ἐπλησίασαν, ὅτι καὶ οἱ 'Ιουδαῖοι ἦσαν ὅμοιοι μὲ αὐτούς. Διότι, ὅταν μὲν ὁ Χριστὸς τοὺς ἔδωσεν ἄρτον καὶ τοὺς ἐγέμισε τὴν κοιλίαν καὶ προφήτην τὸν ὠνόμαζαν καὶ ἐζήτουν νὰ τὸν κάμουν βασιλέα. Ὅταν ὅμως τοὺς ἐδίδασκε περὶ τῆς πνευματικῆς τροφῆς, περὶ ζωῆς αἰωνίου, ὅταν τοὺς ἀπέσπασεν ἀπὸ τὰ αἰσθητά, ὅταν ὡμίλει περὶ ἀναστάσεως καὶ ἔφερε τὸ πνεῦμα των εἰς τὰ ὑψηλότερα καὶ ὅταν ἔπρεπε νὰ τὸν θαυμάζουν περισσότερον ἀπὸ κάθε ἄλλην φοράν, τότε γογγύζουν καὶ ἀποχωροῦν.

Καὶ ὅμως, ἂν αὐτὸς ἦτο ὁ Προφήτης, καθὼς μόλις εἶχαν ὁμολογήσει, «Διότι αὐτὸς εἶναι ἐκεῖνος, διὰ τὸν ὁποῖον λέγει ὁ Μωϋσῆς, ὅτι ὁ Κύριος ὁ Θεὸς θὰ ἀναδείξῃ Προφήτην πρὸς χάριν σας ἀπὸ τοὺς ἀδελφούς σας, ὡσὰν ἐμέ. Εἰς αὐτὸ νὰ ὑπακούσετε»[3], ἔπρεπεν οἱ 'Ιουδαῖοι νὰ ὑπακούουν εἰς αὐτόν, ὅταν ἔλεγεν· «Ἔχω κατεβῆ ἀπὸ τὸν οὐρανόν». Καὶ ὄχι μόνον δὲν ὑπήκουαν, ἀλλ' ἐπὶ πλέον ἐγόγγυζαν. Διότι ἐσέβοντο αὐτὸν ἀκόμη, ἕνεκα τοῦ ὅτι ἦτο νωπὸν τὸ θαῦμα τῶν ἄρτων. Δι' αὐτὸ δὲν ἐπρόβαλλαν ἀντιρρήσεις φανερά, ἀλλὰ μὲ τὸν γογγυσμόν των ἐδείκνυαν ὅτι ἠγανάκτουν, ἐπειδὴ δὲν τοὺς ἔδωσε τὴν τροφὴν ποὺ ἤθελαν. Καὶ ἔλεγαν γογγύζοντες· «Αὐτὸς δὲν εἶναι ὁ υἱὸς τοῦ 'Ιωσήφ;».

Ὅθεν δῆλον, ὅτι οὐδὲ τὴν θαυμαστὴν αὐτοῦ καὶ παράδοξον οὐδέπω ᾔδεισαν γέννησιν. Διὰ τοῦτο γοῦν υἱὸν Ἰωσὴφ ἔτι λέγουσιν αὐτόν. Καὶ οὐκ ἐπιτιμᾷ, οὐδὲ λέγει αὐτοῖς· Οὐκ εἰμὶ υἱὸς Ἰωσήφ· οὐχ ὅτι υἱὸς Ἰωσὴφ ἦν, ἀλλ' ἐπειδὴ οὐδέπω ἠδύναντο τὸν θαυμαστὸν ἐκεῖνον ἀκοῦσαι τόκον. Εἰ δὲ τὸν κατὰ σάρκα οὐκ ἠδύναντο σαφῶς ἀκοῦσαι, πολλῷ μᾶλλον τὸν ἄρρητον τὸν ἄνω. Εἰ τὸ ταπεινὸν οὐκ ἀπεκάλυψε, πολλῷ μᾶλλον ἐκεῖνα οὐκ ἂν ἐνεχείρησε. Καίτοι τοῦτο αὐτοὺς σφόδρα ἐσκανδάλιζε, τὸ ἐξ εὐτελοῦς εἶναι πατρός, καὶ τοῦ τυχόντος· ἀλλ' ὅμως οὐκ ἀπεκάλυψεν, ἵνα μή, ἕτερον σκάνδαλον ἀναιρῶν, ἕτερον ποιήσῃ.

Τί οὖν αὐτός, γογγυζόντων αὐτῶν, ἀποκρίνεται; «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν». Τοῦτο ἐπιπηδῶσι Μανιχαῖοι λέγοντες, ὅτι οὐδὲν ἐφ' ἡμῖν κεῖται· ὅπερ μάλιστα βεβαιοῖ κυρίους ὄντας τῆς γνώμης. Εἰ γάρ τις ἔρχεται πρὸς αὐτόν, φησί, τί δεῖ τῆς ἕλξεως; Ὃ καὶ αὐτὸ οὐ τὸ ἐφ' ἡμῖν ἀναιρεῖ, ἀλλὰ μᾶλλον ἐμφαίνει ἡμᾶς βοηθείας δεομένοις, ὅτι δείκνυσιν ἐνταῦθα, οὐ τὸν τυχόντα ἐρχόμενον, ἀλλὰ τὸν πολλῆς ἀπολαύοντα συμμαχίας.

Εἶτα δείκνυσι καὶ τὸν τρόπον καθ' ὃν ἕλκει. Ἵνα γὰρ μὴ πάλιν αἰσθητόν τι περὶ τὸν Θεὸν ὑποπτεύσωσιν, ἐπήγαγεν· «Οὐχ ὅτι τὸν Θεόν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα». Πῶς οὖν ἕλκει; φησί. Τοῦτο ὁ προφήτης ἄνωθεν ἔδειξε, προαναφωνῶν καὶ λέγων· «Ἔσονται πάντες διδακτοὶ Θεοῦ». Εἶδες τῆς πί-

Ἐξ αὐτοῦ εἶναι φανερόν, ὅτι ἀκόμη δὲν εἶχαν μάθει τίποτε διὰ τὴν θαυμαστὴν καὶ παράδοξον γέννησίν του. Δι' αὐτὸ τὸν θεωροῦν ἀκόμη υἱὸν τοῦ Ἰωσήφ. Καὶ δὲν τοὺς ἐπιτιμᾷ οὔτε τοὺς λέγει· Δὲν εἶμαι υἱὸς τοῦ Ἰωσήφ, ὄχι διότι ἦτο υἱὸς τοῦ Ἰωσήφ, ἀλλὰ διότι δὲν ἠμπόρεσαν ποτὲ ν' ἀκούσουν κάτι διὰ τὸν ἀξιοθαύμαστον ἐκεῖνον τοκετόν. Ἐὰν λοιπὸν δὲν ἦσαν εἰς θέσιν νὰ ξεύρουν σαφῶς διὰ τὴν κατὰ σάρκα γέννησίν του πολὺ ὀλιγώτερον δὲν ἠμποροῦσαν νὰ ξεύρουν τὴν ἄνωθεν μυστικὴν γέννησίν του. Ἐὰν αὐτὸ ποὺ ἦτο ἀσήμαντον δὲν ἠθέλησε νὰ τοὺς ἀποκαλύψῃ, πολὺ ὀλιγώτερον δὲν θὰ τοὺς ὡμίλει περὶ ἐκείνων. Καὶ ὅμως τοὺς Ἰουδαίους τοῦτο ἐσκανδάλιζε πολύ, τὸ ὅτι δηλαδὴ οὗτος εἶχε γεννηθῇ ἀπὸ ἄσημον καὶ τυχαῖον πατέρα. Ἀλλὰ δὲν τοὺς τὸ ἀπεκάλυψε, διὰ νὰ μὴ δημιουργήσῃ ἄλλο σκάνδαλον μὲ τὴν ἀναίρεσιν τοῦ πρώτου.

Τί ἀπαντᾷ λοιπὸν εἰς αὐτοὺς ποὺ ἐγόγγυζαν; «Κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ πρὸς ἐμέ, ἐὰν ὁ Πατὴρ ποὺ μὲ ἔστειλε δὲν τὸν ἑλκύσῃ». Ἐπ' αὐτοῦ στηρίζονται οἱ Μανιχαῖοι καὶ ἰσχυρίζονται, ὅτι ἡμεῖς δὲν ἠμποροῦμεν νὰ κάμωμεν τίποτε ἀπὸ μόνοι μας, πρᾶγμα ποὺ ἐπιβεβαιώνει μάλιστα, ὅτι ἡ θέλησίς μας εὑρίσκεται εἰς τὴν ἐξουσίαν μας. Διότι, ἐὰν κάποιος πηγαίνῃ εἰς ἐκεῖνον μὲ τὴν θέλησίν του, διατί πρέπει νὰ ἑλκυσθῇ; Ἀλλὰ καὶ αὐτὸ δὲν ἀναιρεῖ τὴν γνώμην μας, ἀλλὰ μᾶλλον φανερώνει, ὅτι ἔχομεν ἀνάγκην βοηθείας, διότι ἐδῶ δὲν πρόκειται περὶ ὁποιουδήποτε τυχόντος ἀνθρώπου, ἀλλὰ περὶ ἐκείνου ποὺ ἀπολαύει μεγάλης βοηθείας.

Ἔπειτα δεικνύει καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον ἑλκύει. Καὶ διὰ νὰ μὴ σκεφθῇ κανεὶς κάτι τὸ αἰσθητὸν διὰ τὸν Θεόν, προσέθεσεν· «Ὄχι ὅτι ἔχει ἰδεῖ κανεὶς τὸν Θεόν, ἀλλὰ μόνον ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸν Θεόν, ἐκεῖνος ἔχει ἰδεῖ τὸν Πατέρα». Μὲ ποῖον τρόπον λοιπὸν λέγει, ὅτι ἑλκύει; Αὐτὸ τὸ ἔδειξε προηγουμένως ὁ Προφήτης, ὁ ὁποῖος προανήγγειλε καὶ εἶπε· «Θὰ διδαχθοῦν ὅλοι ἀπὸ τὸν Θεόν».

στεως τὸ ἀξίωμα; Καὶ πῶς οὐ παρὰ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ δι' αὐτοῦ τοῦ Θεοῦ προεῖπεν ὅτι μέλλουσι μανθάνειν; Διὰ δὴ τοῦτο καὶ τὸν λόγον ποιῶν ἀξιόπιστον, ἐπὶ τοὺς προφήτας αὐτοὺς παρέπεμψεν. Καὶ εἰ εἴρηται, φησίν, ὅτι Ἔσονται πάντες διδακτοὶ Θεοῦ, πῶς τινες οὐ πιστεύουσιν; Ὅτι τὸ εἰρημένον περὶ τῶν πλειόνων εἰρημένον ἐστίν. Ἄλλως δὲ καὶ χωρὶς τούτου, οὐχ ἁπλῶς πάντας τὸ προφητικόν, ἀλλὰ πάντας δηλοῖ τοὺς βουλομένους. Διδάσκαλος γὰρ προκάθηται πᾶσιν ἕτοιμος ὢν τὰ αὐτοῦ παρασχεῖν, εἰς πάντας ἐκχέων τὴν διδασκαλίαν τὴν ἑαυτοῦ.

Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ». Οὐ μικρὸν ἐνταῦθα τοῦ Υἱοῦ τὸ ἀξίωμα, εἴ γε ὁ Πατὴρ προσάγει, καὶ οὗτος ἀνίστησιν· οὐχὶ διαιρούμενος πρὸς τὸν Πατέρα τὰ ἔργα· πῶς γάρ; ἀλλὰ δεικνὺς τὸ ἰσότιμον τῆς δυνάμεως. Ὥσπερ οὖν ἐκεῖ λέγων· «Καὶ ὁ πέμψας με Πατὴρ μαρτυρεῖ περὶ ἐμοῦ»· εἶτα ἵνα τινὲς μὴ φωνὴν περιεργάζωνται παρέπεμψεν αὐτοὺς ταῖς Γραφαῖς, οὕτω καὶ ἐνταῦθα, μὴ τὸ αὐτὸ ὑποπτεύσωσι παραπέμπει αὐτοὺς τοῖς προφήταις, τούτους συνεχῶς ἄνω καὶ κάτω στρέφων, δεικνὺς ἑαυτὸν οὐκ ἐναντίον ὄντα τῷ Πατρί.

Τί δὲ οἱ πρὸ τούτου; φησίν· οὐχὶ διδακτοὶ ἦσαν ἄρα Θεοῦ; τί οὖν ἐνταῦθα τὸ ἐξαίρετον; Ὅτι τότε μὲν δι' ἀνθρώπων ἐμάνθανεν τὰ τοῦ Θεοῦ· νῦν δὲ διὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, καὶ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου. Εἶτα ἐπάγει· «Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ»· οὐ κατὰ τὸν τῆς αἰτίας λόγον ἐνταῦθα τοῦτο λέγων, ἀλλὰ κατὰ τὸν τρόπον τῆς οὐσίας. Ἐπεὶ εἰ τοῦτο ἔλεγε, πάντες παρὰ τοῦ Θεοῦ ἐσμέν· ποῦ οὖν τὸ ἐξαί-

Εἶδες τὴν ἀξίαν τῆς πίστεως; Καὶ πῶς ὁ Προφήτης προεῖπεν ὅτι θὰ διδαχθοῦν ὄχι ἀπὸ ἀνθρώπους, οὔτε ἀπὸ ἄνθρωπον, ἀλλ' ἀπὸ τὸν ἴδιον τὸν Θεόν; Διὰ νὰ κάμῃ λοιπὸν τὸν λόγον του ἀξιόπιστον, τοὺς παραπέμπει εἰς τοὺς Προφήτας. Καὶ ἐφ' ὅσον ἔχει λεχθῆ, ὅτι, «Θὰ διδαχθοῦν ὅλοι ἀπὸ τὸν Θεόν, διατί μερικοί δὲν θὰ πιστεύσουν; Διότι τὰ λόγια αὐτὰ ἐλέχθησαν διὰ τοὺς περισσοτέρους. Καὶ ἐκτὸς αὐτοῦ ἄλλωστε, ἡ προφητεία δὲν σημαίνει ὅλους γενικῶς, ἀλλὰ ὅλους ἐκείνους ποὺ θέλουν. Διότι ἔχει δοθῆ διδάσκαλος ὅλων, ἕτοιμος νὰ παραχωρήσῃ ὅλα τὰ ἰδικά του καὶ νὰ μεταδώσῃ εἰς ὅλους τὴν διδασκαλίαν του.

«Καὶ ἐγὼ θὰ ἀναστήσω αὐτὸν τὴν ἐσχάτην ἡμέραν». Δὲν εἶναι μικρὰ εἰς τὸ παρὸν χωρίον, ἡ ἀξία τοῦ Υἱοῦ, ἐὰν ὁ Πατὴρ ἑλκύῃ καὶ αὐτὸς ἀνασταίνῃ χωρὶς νὰ μοιράζεται τὰ ἔργα μὲ τὸν Πατέρα — διότι πῶς εἶναι δυνατόν; — ἀλλὰ δεικνύων τὴν ἰσοτιμίαν τῆς δυνάμεως. Ὅπως ἀκριβῶς εἶχεν εἰπεῖ προηγουμένως, «Καὶ ὁ Πατὴρ ὁ ὁποῖος μὲ ἔστειλε, δίδει μαρτυρίαν περὶ ἐμοῦ», καὶ ἔπειτα παρέπεμψε μερικοὺς εἰς τὰς Γραφάς, διὰ νὰ μὴ τοὺς προκαλῇ τὴν περιέργειαν ὁ λόγος του, ἔτσι καὶ εἰς τὴν παροῦσαν περίπτωσιν τοὺς παραπέμπει εἰς τοὺς Προφήτας διὰ νὰ μὴ σχηματίσουν τὴν ἰδίαν ὑποψίαν, ἀναφέρων αὐτοὺς συνεχῶς καὶ ἀποδεικνύων ὅτι αὐτὸς δὲν εἶναι ἀντίθετος μὲ τὸν Πατέρα.

Ἀλλά, θὰ ἐρωτήσῃς, ἐκεῖνοι ποὺ ὑπῆρξαν πρὶν ἀπὸ τὸν Χριστόν, δὲν εἶχαν ἄραγε διδαχθῆ ἀπὸ τὸν Θεόν; Ποῖον εἶναι λοιπὸν τὸ ἐξαιρετικὸν εἰς τὴν προκειμένην περίπτωσιν; Τὸ ἐξαιρετικὸν εἶναι ὅτι τότε μὲν ἐδιδάσκοντο περὶ τοῦ Θεοῦ ἀπὸ ἀνθρώπους, τώρα ὅμως διδάσκονται ἀπὸ τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἀπὸ τὸ ἅγιον Πνεῦμα. Καὶ προσθέτει ἐν συνεχείᾳ· «Ὄχι ὅτι ἔχει ἰδεῖ κανεὶς τὸν Πατέρα, ἀλλὰ μόνον ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸν Θεόν», καὶ ὁμιλεῖ ἐδῶ ὄχι σύμφωνα μὲ τὸν λόγον τῆς αἰτίας, ἀλλὰ σύμφωνα μὲ τὸν τρόπον τῆς οὐσίας. Διότι, ἐὰν ἔλεγεν, ὅλοι εἴμεθα ἀπὸ τὸν Θεόν ποῦ εἶναι ἡ ἐξαίρεσις καὶ ἡ διαφορὰ τοῦ

ρετον τοῦ Υἱοῦ καὶ κεχωρισμένον; Τίνος δὲ ἕνεκεν τρανότερον αὐτὸ οὐ τέθεικε, φησί; Διὰ τὴν ἐκείνων ἀσθένειαν. Εἰ γὰρ εἰπόντος, «Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα», οὕτως ἐσκανδαλίσθησαν· τί οὐκ ἂν ἔπαθον, εἰ καὶ τοῦτο προσέθηκεν; Ἄρτον δὲ ζωῆς ἑαυτὸν καλεῖ, ὅτι τὴν ζωὴν ἡμῶν συγκροτεῖ καὶ ταύτην καὶ τὴν μέλλουσαν· διὸ καὶ ἐπήγαγεν· «Ὃς ἂν φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα». Ἄρτον δὲ ἤτοι τὰ δόγματα λέγει ἐνταῦθα τὰ σωτήρια, καὶ τὴν πίστιν τὴν εἰς αὐτόν, ἢ τὸ σῶμα τὸ ἑαυτοῦ. Ἀμφότερα γὰρ νευροῖ τὴν ψυχήν. Καίτοι γε ἀλλαχοῦ εἰπόντος· «Ἐάν τίς μου τὸν λόγον ἀκούσῃ, οὐ μὴ γεύσεται θανάτου», καὶ ἐσκανδαλίσθησαν· ἐνταῦθα δὲ οὐδέν τι τοιοῦτον ἔπαθον, τάχα διὰ τὸ ἔτι δυσωπεῖσθαι αὐτὸν ἀπὸ τῶν γεγενημένων ἄρτων.

2. Ὅρα δὲ καὶ πόθεν ποιεῖται τὴν πρὸς τὸ μάννα διαφοράν. Ἀπὸ τοῦ οἷον τὸ τέλος ἀκοῦσαι ἑκατέρας τῆς τροφῆς. Δεικνὺς γάρ, ὅτι οὐ ξένην τινὰ ἐκείνη παρεῖχε τὴν χρείαν, ἐπήγαγεν· «Οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα καὶ ἀπέθανον». Εἶτα κατασκευάζει τὸ μάλιστα πεῖθον αὐτούς, ὅτι πολλῷ τῶν πατέρων αὐτῶν μειζόνων αὐτοὶ ἠξίωνται, τοὺς περὶ Μωϋσέα αἰνιττόμενος θαυμαστοὺς ἄνδρας ἐκείνους. Διὰ τοῦτο ἐπειδὴ εἶπεν, ὅτι ἀπέθανον οἱ τὸ μάννα φαγόντες, ἐπήγαγεν· «Ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα». Καὶ τό· «Ἐν τῇ ἐρήμῳ» δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' αἰνιττόμενος ὅτι οὐδὲ ἐξετάθη ἐπὶ χρόνον πολύν, οὐδὲ συνεισῆλθεν εἰς τὴν τῆς ἐπαγγελίας γῆν.

Οὗτος δὲ ὁ ἄρτος οὐ τοιοῦτος. «Καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς». Εἰκότως ζητήσειεν ἄν τις ἐνταῦθα διαπορῶν, ποῖος τῶν λόγων τούτων καιρὸς ἦν, οἰκοδομούντων

3 α. Ἰω. 8, 52.

Υἱοῦ; Ἀλλά, θὰ ἐρωτήσῃς, διατί δὲν ἐξεφράσθη σαφέστερα; Λόγῳ τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν του.

Διότι, ἐὰν τόσον πολὺ εἶχαν σκανδαλισθῆ, ὅταν τοὺς εἶπεν· «Ἔχω κατεβῆ ἀπὸ τὸν οὐρανόν», τί θὰ ἐπάθαιναν, ἐὰν προσέθετε καὶ αὐτό; Καὶ ὀνομάζει τὸν ἑαυτόν του ἄρτον ζωῆς, διότι παρέχει εἰς ἡμᾶς καὶ τὴν παροῦσαν καὶ τὴν μέλλουσαν ζωήν. Δι' αὐτὸ καὶ ἐπρόσθεσεν· «Ἐκεῖνος ποὺ θὰ φάγῃ ἀπὸ τὸν ἄρτον αὐτόν, θὰ ζήσῃ αἰωνίως». Καὶ ἄρτον ἐδῶ ἐννοεῖ τὴν σωτήριον διδασκαλίαν καὶ τὴν πίστιν εἰς αὐτὸν ἢ εἰς τὸ σῶμα του. Διότι καὶ τὰ δύο ἐνδυναμώνουν τὴν ψυχήν. Καὶ ὅμως, ὅταν εἰς ἄλλην περίπτωσιν εἶχεν εἰπεῖ· «Ἐὰν δεχθῇ κανεὶς τοὺς λόγους μου, δὲν θὰ γευθῇ ποτὲ τὸν θάνατον»[3α], οἱ Ἰουδαῖοι ἐσκανδαλίσθησαν. Ἐδῶ ὅμως δὲν ἔπαθαν κάτι παρόμοιον, ἴσως διότι τὸν ἐσέβοντο ἀπὸ τὸ θαῦμα τῶν ἄρτων.

2. Παρατήρησε καὶ πῶς διαφοροποιεῖ τὸ μάννα ἀπὸ τὸν ἄρτον, δηλαδὴ ἀπὸ τὸν σκοπὸν τῆς κάθε μιᾶς τροφῆς. Διότι, ἀφοῦ ἀπέδειξεν ὅτι τὸ μάννα δὲν προσέφερε κάτι τὸ νέον, προσέθεσεν· «Οἱ πατέρες σας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον καὶ ὅμως ἀπέθαναν». Ἔπειτα διὰ νὰ τοὺς πείσῃ, τοὺς προβάλλει τὸ ἐπιχείρημα, ὅτι αὐτοὶ ἔχουν ἀξιωθῆ πολὺ περισσότερα ἀπὸ τοὺς πατέρας των, ὑπαινισσόμενος τὸν Μωϋσῆν καὶ τοὺς ἀξιοθαυμάστους ἐκείνους ἄνδρας. Διὰ τοῦτο, ἀφοῦ εἶπεν, ὅτι ἀπέθαναν ἐκεῖνοι ποὺ ἔφαγαν τὸ μάννα, προσέθεσεν· «Ἐκεῖνος ποὺ τρώγει ἀπὸ αὐτὸν τὸν ἄρτον, θὰ ζήσῃ αἰωνίως». Καὶ τὰς λέξεις «Εἰς τὴν ἔρημον», δὲν τὰς ἔβαλε τυχαῖα εἰς τὸν λόγον του, ἀλλ' ὑπαινισσόμενος ὅτι ἐκεῖνο δὲν διήρκεσε πολύ, οὔτε εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

Αὐτὸς ὅμως ὁ ἄρτος δὲν εἶναι τέτοιος. «Καὶ ὁ ἄρτος τὸν ὁποῖον ἐγὼ θὰ δώσω, εἶναι ἡ σάρξ μου, τὴν ὁποίαν θὰ δώσω ὑπὲρ τῆς ζωῆς τοῦ κόσμου». Εὐλόγως ἠμπορεῖ κάποιος ποὺ ἀμφιβάλλει, νὰ ἐρωτήσῃ, ποία εὐκαιρία ἐδόθη εἰς τὸν Χριστὸν διὰ νὰ εἰπῇ αὐτὰ τὰ λόγια, τὰ ὁποῖα ὄχι μόνον δὲν

μὲν οὐδὲν οὐδὲ χρησιμευόντων, μᾶλλον δὲ τοῖς οἰκοδομηθεῖσι καὶ λυμαινομένων. «Ἐκ τούτου», φησί, «πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, λέγοντες· «Σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν;». Ἐνῆν γὰρ ταῦτα μόνοις παραδοθῆναι τοῖς μαθηταῖς, καθάπερ ὁ Ματθαῖος ἔλεγεν, ὅτι «Ἰδίᾳ διελέγετο αὐτοῖς».

Τί ποτε οὖν πρὸς τοῦτο ἐροῦμεν; Ὅτι καὶ νῦν τῶν τοιούτων ῥημάτων πολὺ καὶ τὸ χρήσιμον καὶ τὸ ἀναγκαῖον. Ἐπειδὴ γὰρ ἐπέκειντο τροφὴν αἰτοῦντες μέν, ἀλλὰ τὴν σωματικήν, καὶ τῆς ἐπὶ τῶν προγόνων παρασχεθείσης ἀναμιμνήσκοντες αὐτὸν τροφῆς, τὸ μάννα μέγα ἔλεγον, δεικνὺς ὅτι πάντα ἐκεῖνα τύπος ἦν καὶ σκιά, ἡ δὲ πραγμάτων ἀλήθεια ἡ παροῦσά ἐστι, μέμνηται τροφῆς πνευματικῆς. Ἀλλ' ἔδει, φησίν, εἰπεῖν, ὅτι οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα· ἐγὼ δὲ ἄρτον παρέσχον ὑμῖν. Ἀλλὰ πολὺ τὸ μέσον ἦν. Ἐδόκει γὰρ τοῦτο καὶ ἔλαττον ἐκείνου, τῷ ἐκεῖνο μὲν ἄνωθεν φέρεσθαι, τοῦτο δὲ κάτω γεγενῆσθαι τὸ θαῦμα τῶν ἄρτων. Ἐπεὶ οὖν ἐζήτουν ἐκ τοῦ οὐρανοῦ φερομένην τροφήν, διὰ τοῦτο συνεχῶς ἔλεγεν, «Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα».

Εἰ δὲ ἐξετάζοι τις, τί δήποτε καὶ τὸν περὶ μυστηρίων ἐνέβαλε λόγον; ἐκεῖνο ἂν εἴποιμεν πρὸς αὐτόν, ὅτι καὶ τούτων σφόδρα τῶν λόγων ὁ καιρὸς ἦν. Τὸ γὰρ ἀσαφὲς τῶν εἰρημένων ἀεὶ τὸν ἀκροατὴν διανίστησι καὶ προσεκτικώτερον ἐργάζεται. Οὐ τοίνυν σκανδαλίζεσθαι ἔδει, ἀλλ' ἐρωτᾶν μᾶλλον καὶ πυνθάνεσθαι. Νῦν δὲ ἀναχωροῦσιν. Εἰ γὰρ προφήτην αὐτὸν εἶναι ἐνόμιζον, ἐχρῆν πιστεῦσαι τοῖς λεγομένοις. Ὥστε τῆς ἐκείνων ἀνοίας τὸ σκάνδαλον ἦν, οὐ τῆς ἀπορίας τῶν λεγομένων. Σὺ δὲ ὅρα πῶς κατὰ μικρὸν τοὺς μαθητὰς συνέδησεν ἑαυτῷ· οὗτοι γάρ εἰσιν οἱ

---

4. Μάρκ. 4, 34.

εἶναι ἐποικοδομητικὰ καὶ δὲν χρησιμεύουν εἰς τίποτε, ἀλλὰ καὶ βλάπτουν ὅσα ἦσαν ἐποικοδομητικά; Καὶ λέγει ὁ Εὐαγγελιστής· «Δι' αὐτὸν τὸν λόγον πολλοὶ ἀπὸ τοὺς μαθητάς του ἔφυγαν λέγοντες· «Εἶναι σκληρὸς ὁ λόγος αὐτός, ποῖος ἠμπορεῖ νὰ τὸν ἀκούῃ;». Διότι αὐτὰ ἔπρεπε ν' ἀνακοινωθοῦν μόνον εἰς τοὺς μαθητάς του, ἀφοῦ, καθὼς λέγει ὁ Ματθαῖος, «Τὰ ἐξήγει ὅλα ἰδιαιτέρως εἰς τοὺς μαθητάς του»[1].

Τί ἔχομεν ν' ἀπαντήσωμεν εἰς τοῦτο; Ὅτι καὶ σήμερα πολλὰ ἀπὸ αὐτὰ τὰ λόγια εἶναι καὶ χρήσιμα καὶ ἀναγκαῖα. Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι ἐπέμεναν νὰ ζητοῦν τροφὴν καὶ εἶχαν ὑπενθυμίσει εἰς αὐτὸν τὴν τροφὴν ποὺ εἶχε δοθῆ τὴν ἐποχὴν τῶν προγόνων των καὶ ἰσχυρίζοντο ὅτι τὸ μάννα ἦτο μεγάλο θαῦμα, ἐνθυμεῖται ὁ Χριστὸν τὴν πνευματικὴν τροφήν, διὰ νὰ τοὺς δείξῃ, ὅτι ὅλα ἐκεῖνα ἦσαν τύπος καὶ σκιὰ καὶ ὅτι ἡ πραγματικὴ ἀλήθεια ἦτο ἡ παροῦσα. Καὶ θὰ ἐρωτήσῃς· Ἔπρεπε νὰ εἰπῇ, ὅτι οἱ πατέρες σας ἔφαγαν τὸ μάννα εἰς τὴν ἔρημον, ἐνῷ ἐγὼ σᾶς ἔδωσα ἄρτον; Ἀλλ' ἡ ἀπόστασις ἦτο πολὺ μεγάλη. Διότι τὸ θαῦμα τοῦτο ἐφαίνετο μικρότερον ἀπὸ ἐκεῖνο, διὸ τὸ θαῦμα τῶν ἄρτων εἶχεν ἔλθει ἀπὸ τὸν οὐρανόν, ἐνῷ τὸ θαῦμα τῶν ἄρτων ἐπραγματοποιήθη εἰς τὴν γῆν. Καὶ ἐπειδὴ ἐζήτουν ἐπιμόνως τὴν τροφὴν ποὺ ἔρχεται ἀπὸ τὸν οὐρανόν, δι' αὐτὸ ἔλεγε συνεχῶς· «Ἀπὸ τὸν οὐρανὸν κατέβηκα».

Ἐὰν κανεὶς ὅμως ἐρωτήσῃ, διατί ὡμίλησε περὶ μυστηρίων; θὰ τοῦ ἀπαντήσωμεν, ὅτι ἡ περίστασις ἦτο κατάλληλος δι' αὐτὰ τὰ λόγια. Διότι ἡ ἀσάφεια τῶν λόγων πάντοτε ἐρεθίζει τὸν ἀκροατὴν καὶ τὸν καθιστᾷ προσεκτικώτερον. Δὲν ἔπρεπε λοιπὸν νὰ σκανδαλίζωνται, ἀλλὰ μᾶλλον νὰ ἐρωτοῦν καὶ νὰ πληροφοροῦνται. Τώρα ὅμως ἐκεῖνοι φεύγουν. Διότι, ἐὰν ἐπίστευον ὅτι εἶναι Προφήτης, ἔπρεπε νὰ πιστεύουν εἰς τὰ λόγια του. Ἑπομένως τὸ σκάνδαλον ἦτο ἀπόδειξις τῆς ἰδικῆς των μωρίας ὄχι τῆς ἀσαφείας τῶν λόγων. Σὺ ὅμως πρόσεχε, μὲ ποῖον τρόπον συνέδεσε ὀλίγον κατ' ὀλίγον τοὺς μαθητὰς μὲ τὸν ἑαυτόν του. Διότι εἶναι οἱ

λέγοντες, «Ῥήματα ζωῆς ἔχεις· ποῦ ἀπελευσόμεθα;». Πλὴν ἑαυτὸν ἐνταῦθα εἰσάγει διδόντα, οὐ τὸν Πατέρα, «Ὁ ἄρτος», λέγων, «ὃν ἐγὼ δώσω, σάρξ μού ἐστιν». Ἀλλ' οὐχ οἱ ὄχλοι οὕτως, ἀλλ' ἀπεναντίας· «Σκληρός ἐστιν ὁ λόγος οὗτος». Διὸ καὶ ἀναχωροῦσι.

Καίτοι οὐδὲ ξένη τις ἦν ἡ διδασκαλία, καὶ παρηλλαγμένη. Ὁ γὰρ Ἰωάννης ἄνωθεν τοῦτο ᾐνίξατο, ἀμνὸν αὐτὸν προσειπών. Ἀλλ' οὐδὲ οὕτως ᾔδεσαν, φησίν. Οἶδα κἀγώ· ἀλλ' οὐδὲ οἱ μαθηταὶ ἠπίσταντο. Εἰ γὰρ περὶ ἀναστάσεως οὐδέπω τι ᾔδεσαν σαφές, διὰ τοῦτο δὲ καὶ ἠγνόησαν τί ποτέ ἐστι τό, «Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· πολλῷ μᾶλλον περὶ τῶν εἰρημένων· ταῦτα γὰρ ἐκείνων ἀσαφέστερα ἦν.

Ὅτι μὲν γὰρ προφῆται ἀνέστησαν, ᾔδεσαν, εἰ καὶ μὴ οὕτω σαφῶς εἰρήκασιν αἱ Γραφαί· ὅτι δὲ σάρκα τις ἔφαγεν, οὐδέποτε οὐδεὶς εἶπεν ἐκείνων. Ἀλλ' ὅμως ἐπείθοντο καὶ ἠκολούθουν, καὶ ὡμολόγουν ῥήματα ζωῆς αἰωνίου αὐτὸν ἔχειν. Τοῦτο γὰρ μαθητοῦ, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ διδασκάλου, ἀλλ' ἀκούειν καὶ πείθεσθαι, καὶ τὸν προσήκοντα καιρὸν ἀναμένειν τῆς λύσεως. Τί οὖν, φησίν, ὅτι τοὐναντίον συνέβη, καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω; Τοῦτο παρὰ τὴν ἐκείνων ἄνοιαν. Ὅταν γὰρ ἡ ζήτησις τοῦ πῶς εἰσέλθῃ, συνέρχεται καὶ ἀπιστία.

Οὕτω καὶ Νικόδημος ἐθορυβεῖτο λέγων· «Πῶς δύναται ἄνθρωπος εἰσελθεῖν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ;», οὕτω καὶ οὗτοι ταράττονται λέγοντες, «Πῶς δύναται δοῦναι ἡμῖν φαγεῖν οὗτος τὴν σάρκα αὐτοῦ;». Εἰ γὰρ τὸ

---

5. Ἰω. 6, 68.
6. Αὐτόθ. 2, 19.

μαθηταί του πού εἶπαν· «Ἔχεις λόγια αἰωνίου ζωῆς. Εἰς ποῖον νὰ ὑπάγωμεν;»[5]. Ἀλλ' ἐδῶ εἰσάγει τὸν ἑαυτόν του νὰ δίδῃ καὶ ὄχι τὸν Πατέρα, καὶ λέγει· «Ὁ ἄρτος τὸν ὁποῖον ἐγὼ δίδω, εἶναι ἡ σάρξ μου». Ἀλλ' οἱ ἄνθρωποι ὄχι χωρὶς ταραχὴν ἀλλ' ἀντιθέτως εἶπαν· «Σκληρὸς εἶναι αὐτὸς ὁ λόγος». Δι' αὐτὸ ἔφευγαν.

Ἀλλ' ἡ διδασκαλία δὲν ἦτο νέα, οὔτε διαφορετική. Διότι ὁ Ἰωάννης εἶχε κάμει προηγουμένως ὑπαινιγμὸν περὶ τούτου, ὅταν προεῖπε τὸν Χριστόν, ἀμνόν. Ἀλλά, θὰ εἴπῃς, αὐτοὶ δὲν εἶχαν καταλάβει. Αὐτὸ καὶ ἐγὼ τὸ ξεύρω. Καὶ οἱ μαθηταί του δὲν ἐγνώριζαν τοῦτο. Διότι, ἐὰν τὸ περὶ τῆς ἀναστάσεως δὲν τὸ καταλάβαιναν ἀρκετὰ σαφῶς, καὶ δι' αὐτὸ ἠγνόουν, τί τέλος πάντων ἐσήμαινεν, ἐκεῖνο πού εἶχεν εἰπεῖ ὁ Χριστός· «Γκρεμίσατε αὐτὸν τὸν ναὸν καὶ ἐγὼ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»[6]; πολὺ ὀλιγώτερον δὲν ἐκαταλάβαιναν τὰ προηγούμενα, διότι αὐτὰ ἦσαν ἀσαφέστερα ἀπὸ ἐκεῖνα.

Καὶ ἐγνώριζαν μέν, ὅτι εἶχαν ἀναστηθῆ Προφῆται, ἂν καὶ αἱ Γραφαὶ δὲν τὸ ἀνέφεραν τόσον καθαρά. Ἀλλὰ κανεὶς ἀπὸ ἐκείνους δὲν εἶχεν εἰπεῖ ποτέ, ὅτι κάποιος ἔφαγε σάρκα. Ὑπήκουον ὅμως εἰς τὸν Χριστόν, τὸν ἠκολούθουν καὶ ὡμολόγουν, ὅτι ἔχει λόγια ζωῆς αἰωνίου. Διότι αὐτὸ εἶναι ἀπόδειξις τοῦ καλοῦ μαθητοῦ, νὰ μὴ ἐξετάζῃ μὲ περιέργειαν τὰ λόγια τοῦ διδασκάλου του, ἀλλὰ νὰ τὸν ἀκούῃ καὶ νὰ πειθαρχῇ καὶ νὰ περιμένῃ τὴν κατάλληλον εὐκαιρίαν διὰ τὴν λύσιν. Διατί λοιπὸν λέγουν, ὅτι συνέβη τὸ ἀντίθετον καὶ ὅτι ἔφυγαν; Αὐτὸ συνέβη ἐξ αἰτίας τῆς μωρίας των. Διότι, ὅταν εἰσέλθῃ εἰς τὴν ψυχὴν τὸ ἐρώτημα, 'Πῶς', τότε μαζὶ μὲ αὐτὸ εἰσέρχεται καὶ ἡ ἀπιστία.

Κατὰ τὸν ἴδιον τρόπον εἶχε ταραχθῆ καὶ ὁ Νικόδημος καὶ δι' αὐτὸ ἠρώτησε· «Πῶς εἶναι δυνατὸν νὰ εἰσέλθῃ ὁ ἄνθρωπος εἰς τὴν κοιλίαν τῆς μητρός του;». Ἔτσι καὶ αὐτοὶ ταράσσονται λέγοντες· «Πῶς ἠμπορεῖ αὐτὸς νὰ μᾶς δώσῃ νὰ φάγωμεν τὴν σάρκα του;». Διότι, ἐὰν ζητῇς τό, 'Πῶς',

πῶς ζητεῖς, διατί τοῦτο ἐπὶ τῶν ἄρτων οὐκ εἶπες, πῶς τοὺς πέντε εἰς τοσούτους ἐξέτεινεν; Ὅτι τοῦ κορεσθῆναι μόνον ἦσαν τότε, οὐ τοῦ τὸ θαῦμα ἰδεῖν. Ἀλλ' ἡ πεῖρα τότε, φησίν, ἐπαίδευσεν. Οὐκοῦν ἐξ ἐκείνης ἔδει καὶ ταῦτα γενέσθαι εὐπαράδεκτα. Διὰ γὰρ τοῦτο προλαβὼν ἐθαυματούργησε τὸ παράδοξον ἐκεῖνο, ἵνα δι' ἐκείνου διδαχθέντες, μηκέτι διαπιστῶσι τοῖς μετὰ ταῦτα λεγομένοις. Ἐκεῖνοι μὲν οὖν οὐδὲν ἐκαρπώσαντο τότε ἐκ τῶν εἰρημένων, ἡμεῖς δὲ τῆς εὐεργεσίας δι' αὐτῶν τῶν ἔργων ἀπολελαύκαμεν. Διὸ καὶ ἀναγκαῖον μαθεῖν τὸ θαῦμα τῶν μυστηρίων, τί ποτέ ἐστι, καὶ διατί ἐδόθη, καὶ τίς ἡ ὠφέλεια τοῦ πράγματος. «Ἓν σῶμα γενόμεθα καὶ μέλη», φησίν, «ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ». Οἱ δὲ μεμυημένοι παρακολουθείτωσαν τοῖς λεγομένοις.

3. Ἵν' οὖν μὴ μόνον κατὰ τὴν ἀγάπην τοῦτο γενώμεθα, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα, εἰς ἐκείνην ἀνακερασθῶσεν τὴν σάρκα. Διὰ τῆς τροφῆς γὰρ τοῦτο γίνεται ἧς ἐχαρίσατο, βουλόμενος ἡμῖν δεῖξαι τὸν πόθον, ὃν ἔχει περὶ ἡμᾶς. Διὰ τοῦτο ἀνέμιξεν ἑαυτὸν ἡμῖν, καὶ ἀνέφυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἕν τι ὑπάρξωμεν, καθάπερ σῶμα κεφαλῇ συνημμένον. Τῶν γὰρ σφόδρα ποθούντων ἐστὶ τοῦτο δεῖγμα. Τοῦτο γοῦν καὶ ὁ Ἰὼβ αἰνιττόμενος, ἔλεγε περὶ τῶν ἑαυτοῦ οἰκετῶν, οἷς ἦν οὕτω μεθ' ὑπερβολῆς ποθεινός, ὡς προσφῦναι ταῖς σαρξὶν αὐτοῦ ἐπιθυμεῖν. Ἐκεῖνοι γὰρ τὸν πολὺν αὐτῶν ἐνδεικνύμενοι πόθον ὃν εἶχον, «Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ», ἔλεγον, «ἐμπλησθῆναι;».

Διὸ δὴ καὶ ὁ Χριστὸς αὐτὸ πεποίηκεν, εἰς φιλίαν ἡμᾶς ἐνάγων μείζονα, καὶ τὸν αὐτοῦ πόθον ἐπιδεικνὺς τὸν περὶ ἡμᾶς, οὐκ ἰδεῖν αὐτὸν μόνον παρέσχε τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ

---

7. Ἐφ. 5, 30.
8. Ἰώβ, 31, 31.

διατί δὲν τὸ εἶπες διὰ τὸ θαῦμα τῶν ἄρτων, πῶς δηλαδὴ ἐπολλαπλασίασε τοὺς πέντε ἄρτους εἰς τόσους πολλούς; Διότι τότε ἐφρόντιζον μόνον διὰ νὰ χορτάσουν καὶ ὄχι νὰ ἰδοῦν τὸ θαῦμα. Ἀλλ, θὰ εἰπῇς, ἡ πεῖρα τότε τοὺς ἐδίδαξεν. Ἔπρεπε λοιπὸν ἀπὸ τὴν πεῖραν ποὺ εἶχαν ἀποκτήσει τότε νὰ γίνουν εὔκολα παραδεκτά. Δι' αὐτὸ ἀκριβῶς ἔκαμε προηγουμένως τὸ παράδοξον ἐκεῖνο θαῦμα, διὰ νὰ μὴ δυσπιστοῦν εἰς τὰ κατοπινά του λόγια, ἀφοῦ εἶχαν διδαχθῆ ἀπὸ ἐκεῖνο. Καὶ ἐκεῖνοι μὲν δὲν ἀπεκόμισαν καμμίαν ὠφέλειαν ἀπὸ ὅσα εἶχαν λεχθῆ τότε, ἡμεῖς ὅμως ἔχομεν ἀπολαύσει τὴν εὐεργεσίαν αὐτῶν τῶν ἔργων. Δι' αὐτὸ εἶναι ἀναγκαῖον νὰ λεχθῇ, τί σημαίνει τὸ μυστηριῶδες θαῦμα, διατί ἔγινε καὶ ποία ἡ ἐξ αὐτοῦ ὠφέλεια. Διότι, ὅπως λέγει ὁ Ἀπόστολος, «Ἓν σῶμα γινόμεθα καὶ εἴμεθα μέλη τοῦ σώματός του καὶ ἀπὸ τὴν σάρκα του καὶ ἀπὸ τὰ ὀστᾶ του»[7]. Καὶ οἱ μεμυημένοι ἂς παρακολουθήσουν τὰ λεγόμενά μου.

3. Διὰ νὰ μὴ γίνωμεν λοιπὸν ἓν σῶμα μόνον ἀπὸ ἀγάπην, ἀλλὰ καὶ οὐσιαστικῶς, ἂς ἀναμιχθῶμεν μὲ ἐκείνην τὴν σάρκα. Διότι αὐτὸ ἐπιτυγχάνεται μὲ τὴν τροφὴν ποὺ μᾶς ἐχάρισεν, ἐπειδὴ ἤθελε νὰ μᾶς δείξῃ τὴν μεγάλην ἀγάπην, ποὺ τρέφει δι' ἡμᾶς. Δι' αὐτὸ ἀνέμιξε τὸν ἑαυτόν του μὲ ἡμᾶς καὶ ἀπετέλεσεν μὲ ἡμᾶς ἓν σῶμα, διὰ νὰ εἴμεθα ἕν, ὅπως τὸ σῶμα εἶναι συνδεδεμένον μὲ τὴν κεφαλήν. Διότι αὐτὴ εἶναι ἀπόδειξις ἐκείνων ποὺ ἀγαπῶνται πολύ. Κάμνων καὶ ὁ Ἰὼβ ὑπαινιγμὸν περὶ αὐτοῦ, ἔλεγε διὰ τοὺς ὑπηρέτας του, ὅτι τόσον πολὺ ἠγαπᾶτο ἀπὸ αὐτούς, ὥστε ἐπεθύμουν ν' ἀναμιχθοῦν μὲ τὴν σάρκα του. Διότι ἐκεῖνοι, διὰ νὰ δείξουν τὴν ἀγάπην ποὺ τοῦ εἶχαν, ἔλεγαν· «Ποῖος ἀπὸ ἡμᾶς θὰ δώσῃ ἀπὸ τὴν σάρκα του, ὥστε νὰ χορτάσωμεν;»[8].

Αὐτὸ ἀκριβῶς ἔκαμε καὶ ὁ Χριστός, διὰ νὰ μᾶς εἰσαγάγῃ εἰς μεγαλυτέραν φιλίαν καὶ διὰ ν' ἀποδείξῃ τὴν ἀγάπην του δι' ἡμᾶς καὶ δὲν παρέδωσε τὸν ἑαυτόν του μόνον εἰς ἐκείνους ποὺ τὸν ἀγαποῦσαν, ἀλλὰ καὶ εἰς ἐκείνους

ἅψασθαι καὶ φαγεῖν καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκὶ καὶ συμπλακῆναι καὶ τὸν πόθον ἐμπλῆσαι πάντα. Ὡς λέοντες τοίνυν πῦρ πνέοντες, οὕτως ἀπὸ τῆς τραπέζης ἀναχωρῶμεν ἐκείνης, φοβεροὶ τῷ διαβόλῳ γινόμενοι καὶ τὴν κεφαλὴν τὴν ἡμετέραν ἐννοοῦντες καὶ τὴν ἀγάπην ἣν περὶ ἡμᾶς ἐπεδείξατο. Οἱ μὲν οὖν γεννήσαντες, πολλάκις ἑτέροις τρέφειν διδόασι τὰ τεχθέντα· ἐγὼ δὲ οὐχ οὕτω, φησίν, ἀλλὰ ταῖς σαρξὶ τρέφω ταῖς ἐμαῖς, ἐμαυτὸν ὑμῖν παρατίθημι, πάντας ὑμᾶς εὐγενεῖς εἶναι βουλόμενος, καὶ χρηστὰς ὑμῖν περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας. Ὁ γὰρ ἐνταῦθα ὑμῖν ἐκδοὺς ἑαυτόν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. Ἀδελφὸς ἠθέλησα ὑμέτερος γενέσθαι· ἐκοινώνησα σαρκὸς καὶ αἵματος δι' ὑμᾶς, πάλιν αὐτὴν ὑμῖν τὴν σάρκα καὶ τὸ αἷμα, δι' ὧν συγγενὴς ἐγενόμην, ἐκδίδωμι.

Τοῦτο τὸ αἷμα τὴν εἰκόνα ἡμῖν ἀνθηρὰν ἐργάζεται τὴν βασιλικήν, τοῦτο κάλλος ἀμήχανον τίκτει, τοῦτο ἀπομαρανθῆναι τῆς ψυχῆς τὴν εὐγένειαν οὐκ ἀφίησιν, ἄρδον αὐτὴν συνεχῶς καὶ τρέφον. Τὸ μὲν γὰρ ἀπὸ τῶν σιτίων ἡμῖν αἷμα γινόμενον, οὐκ εὐθέως τοῦτο γίνεται, ἀλλ' ἕτερόν τι· τοῦτο δὲ οὐχ οὕτως, ἀλλ' εὐθέως τὴν ψυχὴν ἀρδεύει, καὶ μεγάλην τινὰ δύναμιν ἐμποιεῖ. Τοῦτο τὸ αἷμα ἀξίως λαμβανόμενον ἐλαύνει μὲν δαίμονας καὶ πόρρωθεν ἡμῶν ποιεῖ, καλεῖ δὲ ἀγγέλους πρὸς ἡμᾶς, καὶ τὸν Δεσπότην τῶν ἀγγέλων. Ὅπου γὰρ ἂν ἴδωσι τὸ αἷμα τὸ Δεσποτικόν, φεύγουσι μὲν δαίμονες, συντρέχουσι δὲ ἄγγελοι. Τοῦτο τὸ αἷμα ἐκχυθὲν πᾶσαν τὴν οἰκουμένην ἐξέπλυνε.

Πολλὰ περὶ τοῦ αἵματος τούτου καὶ ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἐφεσίους ἐφιλοσόφησε. Τοῦτο τὸ αἷμα τὰ ἄδυτα καὶ τὰ ἅγια τῶν ἁγίων ἐκάθηρεν. Εἰ δὲ ὁ τύπος αὐτοῦ τοσαύτην ἔσχεν ἰσχύν, ἔν τε τῷ ναῷ τῶν Ἑβραίων, ἔν τε Αἰγύπτῳ μέσῃ, ταῖς

ποὺ ἤθελαν νὰ τὸν ἐγγίσουν, νὰ τὸν φάγουν, νὰ ἐμπήξουν τὰ δόντια των εἰς τὴν σάρκα του, ν' ἀναμιχθοῦν μετ' αὐτοῦ καὶ νὰ χορτάσουν, αὐτὸς δὲ ἐξεπλήρωσεν ὅλην τὴν ἐπιθυμίαν των. Φεύγομεν ἀπὸ τὴν τράπεζαν ἐκείνην σὰν λέοντες ποὺ βγάζουν φωτιάν, ἀφοῦ γινόμεθα φοβεροὶ ἀκόμη καὶ εἰς τὸν διάβολον, σκεπτόμενοι αὐτὸ ποὺ ἔχομεν εἰς τὸ κεφάλι μας καὶ τὴν ἀγάπην ποὺ ἐκεῖνος μᾶς ἔδειξε. Πολλὰς φορὰς οἱ γονεῖς δίδουν τὰ παιδιά τους εἰς ἄλλους διὰ νὰ τὰ θρέψουν. Ἐγὼ ὅμως, λέγει, δὲν κάμνω τὸ ἴδιο, ἀλλὰ σᾶς τρέφω μὲ τὰς σάρκας μου, σᾶς παραθέτω τὸν ἑαυτόν μου, θέλω ὅλοι σας νὰ εἶσθε εὐγενικοὶ καὶ σᾶς προσφέρω καλὰς ἐλπίδας διὰ τὸ μέλλον. Διότι αὐτὸς ποὺ ἐδῶ παρέδωσε τὸν ἑαυτόν του εἰς σᾶς, μὲ μεγαλυτέραν προθυμίαν θὰ τὸ κάμῃ εἰς τὸ μέλλον. Ἠθέλησα νὰ γίνω ἀδελφός σας, διὰ σᾶς παρέσχον κοινὸν τὸ σῶμα καὶ τὸ αἷμα μου καὶ πάλιν παραδίδω πρὸς χάριν σας αὐτὴν τὴν σάρκα καὶ τὸ αἷμα, μὲ τὰ ὁποῖα ἔγινα συγγενής σας.

Αὐτὸ τὸ αἷμα καθιστᾷ εἰς ἡμᾶς βασιλικὴν καὶ ἀνθηρὰν τὴν εἰκόνα, γεννᾷ αὐτὴν τὴν ἀπίστευτον ὡραιότητα, δὲν ἀφήνει νὰ μαρανθῇ ἡ εὐγένεια τῆς ψυχῆς, ἀλλὰ ποτίζει καὶ τρέφει αὐτὴν συνεχῶς. Διότι τὸ αἷμα ποὺ παίρνομεν ἀπὸ τὰς τροφάς, δὲν γίνεται ἀμέσως αἷμα ἀλλὰ κάτι ἄλλο. Τὸ αἷμα ὅμως τοῦτο ποτίζει ἀμέσως τὴν ψυχὴν καὶ τῆς δίδει μεγάλην δύναμιν. Ἂν αὐτὸ τὸ αἷμα τὸ λάβωμεν ἀξίως, ἐκδιώκει τοὺς δαίμονας καὶ τοὺς κρατεῖ μακρυά μας, καὶ φέρει κοντά μας τοὺς ἀγγέλους καὶ τὸν Κύριον τῶν ἀγγέλων. Διότι, ὅπου θὰ ἰδοῦν τὸ αἷμα τοῦ Κυρίου, οἱ μὲν δαίμονες τρέπονται εἰς φυγήν, προσέρχονται ὅμως οἱ ἄγγελοι. Ὅταν ἐχύθη αὐτὸ τὸ αἷμα, ἐξέπλυνεν ὅλην τὴν οἰκουμένην.

Πολλὰς φιλοσοφικὰς σκέψεις περὶ τοῦ αἵματος τούτου ἔκαμεν ὁ μακάριος Παῦλος εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν του. Αὐτὸ τὸ αἷμα ἐκαθάρισε τὰ ἄδυτα καὶ τὰ ἅγια τῶν ἁγίων. Ἐὰν δὲ ἡ μορφὴ αὐτοῦ τοῦ αἵματος εἶχε τόσην δύναμιν, ὥστε ν' ἀλείφεται μὲ αὐτὸ τὸ ἀνώφλιον τοῦ ναοῦ

φλιαῖς ἐπιχριόμενον, πολλῷ μᾶλλον ἡ ἀλήθεια. Τοῦτο τὸ αἷμα, τὸ χρυσοῦν θυσιαστήριον ἡγίασε· τούτου χωρὶς οὐκ ἐτόλμα ὁ ἀρχιερεὺς εἰς τὰ ἄδυτα εἰσιέναι· τοῦτο τὸ αἷμα ἱερέας ἐχειροτόνει· τοῦτο ἀπέλουεν ἁμαρτίας ἐν τοῖς τύποις. Εἰ δὲ ἐν τοῖς τύποις τοσαύτην ἔσχεν ἰσχύν, εἰ τὴν σκιὰν οὕτως ὁ θάνατος ἔφριξε, τὴν ἀλήθειαν αὐτήν, εἰπέ μοι, πῶς οὐκ ἂν ἐφοβήθη; Τοῦτο ἡ σωτηρία τῶν ἡμετέρων ψυχῶν, τούτῳ λούεται ἡ ψυχή, τούτῳ καλλωπίζεται, τούτῳ πυροῦται, τοῦτο πυρὸς λαμπρότερον ἐργάζεται τὸν νοῦν τὸν ἡμέτερον, τοῦτο χρυσίου φαιδροτέραν τὴν ψυχὴν ποιεῖ, τοῦτο ἐξεχύθη τὸ αἷμα, καὶ τὸν οὐρανὸν ἐποίησε βατόν.

4. Φρικτὰ ὄντως τὰ μυστήρια τῆς Ἐκκλησίας, φρικτὸν ὄντως τὸ θυσιαστήριον. Ἀνέβαινεν ἐκ τοῦ παραδείσου πηγή, ποταμοὺς αἰσθητοὺς προχέουσα· ἀπὸ τῆς τραπέζης ταύτης ἄνεισι πηγή, ποταμοὺς ἀφιεῖσα πνευματικούς. Παρὰ ταύτην τὴν πηγὴν πεφυτευμέναι εἰσίν, οὐκ ἰτέαι ἄκαρποι, ἀλλὰ δένδρα πρὸς αὐτὸν φθάνοντα τὸν οὐρανόν, καρπὸν ἔχοντα ὥριμον ἀεὶ καὶ ἀμάραντον. Εἴ τις καυσοῦται, παρὰ ταύτην ἡκέτω τὴν πηγὴν καὶ καταψυχέτω τὸ καῦσος. Καὶ γὰρ αὐχμοὺς λύει, καὶ τὰ διακαῆ πάντα παραψύχει, οὐ τὰ ἐξ ἡλίου διακαιόμενα, ἀλλὰ τὰ ἀπὸ τῶν βελῶν τῶν πεπυρωμένων. Καὶ γὰρ τὴν ἀρχὴν ἄνωθεν ἔχει, καὶ τὴν ρίζαν ἐκεῖθεν, ὅθεν καὶ ἄρδεται.

Πολλοὶ ταύτης οἱ ρύακες τῆς πηγῆς, οὓς ἀφίησιν ὁ Παράκλητος· καὶ μεσίτης ὁ Υἱὸς γίνεται, οὐ δίκελλαν ἔχων καὶ ὁδοποιῶν, ἀλλὰ τὴν διάθεσιν ἀνοίγων τὴν παρ' ἡμῖν. Αὕτη ἡ πηγὴ φωτός ἐστι πηγή, ἀναβλύζουσα ἀληθείας ἀκτῖνας. Ταύτῃ καὶ αἱ ἄνω παρεστήκασι δυνάμεις, πρὸς τὸ κάλλος ἐνορῶσαι τῶν ρείθρων, ἐπειδὴ καὶ σαφέστερον ἐκεῖναι τῶν προκειμένων θεωροῦσι τὴν δύναμιν, καὶ τὰς

τῶν Ἑβραίων καὶ τῆς μέσης Αἰγύπτου, πολὺ μεγαλυτέραν δύναμιν ἔχει ἡ ἀλήθεια. Αὐτὸ τὸ αἷμα ἡγίασε τὸ χρυσὸν θυσιαστήριον καὶ χωρὶς αὐτὸ δὲν ἐτόλμα ὁ ἀρχιερεὺς νὰ εἰσέλθῃ εἰς τὰ ἄδυτα τοῦ ναοῦ. Αὐτὸ τὸ αἷμα ἐχειροτόνει ἱερεῖς. Αὐτὸ ἀπήλλασσεν ἀπὸ τὰς ἁμαρτίας εἰς τοὺς τύπους. Ἐὰν λοιπὸν εἰς τοὺς τύπους εἶχε τόσην δύναμιν, ἐὰν ὁ θάνατος ἐφοβήθη τὴν σκιάν του, εἰπέ μου, πῶς δὲν θὰ ἐφοβεῖτο τὴν ἀλήθειαν; Μὲ αὐτὸ ἐπιτυγχάνεται ἡ σωτηρία τῶν ψυχῶν μας, μὲ αὐτὸ λούεται ἡ ψυχή μας, μὲ αὐτὸ στολίζεται, μὲ αὐτὸ φλέγεται, αὐτὸ κάμνει τὸν νοῦν μας νὰ λάμπῃ περισσότερον ἀπὸ τὸ πῦρ, αὐτὸ καθιστᾷ τὴν ψυχήν μας περισσότερον φαιδρὰν ἀπὸ τὸν χρυσόν, αὐτὸ τὸ αἷμα ἐχύθη καὶ μᾶς ἤνοιξε τὸν οὐρανόν.

4. Πράγματι προκαλοῦν δέος τὰ μυστήρια τῆς Ἐκκλησίας καὶ τὸ θυσιαστήριον. Ἀπὸ τὸν παράδεισον ἀναβλύζει πηγή, ποὺ χύνει αἰσθητοὺς ποταμούς. Ἀπὸ τὴν τράπεζαν αὐτὴν ἀναβλύζει πηγή, ποὺ χύνει πνευματικοὺς ποταμούς. Πλησίον αὐτῆς τῆς πηγῆς ἔχουν φυτευθῆ ὄχι ἄκαρποι ἰτέαι, ἀλλὰ δένδρα ποὺ φθάνουν ὡς τὸν οὐρανόν, ποὺ ἔχουν καρπὸν πάντοτε ὥριμον καὶ ἀμάραντον. Ὅποιος ζεσταίνεται, ἂς ὑπάγῃ εἰς αὐτὴν τὴν πηγὴν καὶ ἂς καταδροσισθῇ ἀπὸ τὴν ζέστην. Διότι καὶ τὴν ζέστην ἐκδιώκει καὶ ὅλα ὅσα καίονται ψυχραίνει, ὄχι ἐκεῖνα ποὺ καίονται ἀπὸ τὸν ἥλιον ἀλλὰ ἀπὸ τὰ πυρακτωμένα βέλη. Διότι ἄνωθεν ἔχει καὶ τὴν ἀρχὴν καὶ τὴν ρίζαν ἀπὸ ἐκεῖνο τὸ μέρος, ἀπὸ τὸ ὁποῖον ποτίζεται.

Τὰ ρυάκια αὐτῆς τῆς πηγῆς εἶναι πολλά, τὰ ὁποῖα μᾶς ἀφήνει ὁ Παράκλητος. Καὶ μεσίτης γίνεται ὁ Υἱός, χωρὶς νὰ κρατῇ δικέλλαν καὶ χωρὶς νὰ ἑτοιμάζῃ τὸν δρόμον, ἀλλ' ἀνοίγων τὴν ἰδικήν μας διάθεσιν. Αὐτὴ ἡ πηγὴ εἶναι πηγὴ φωτὸς καὶ ἀναβλύζει τὰς ἀκτῖνας τῆς ἀληθείας. Μαζὶ μὲ αὐτὴν παρευρίσκονται καὶ αἱ ἄνω δυνάμεις, αἱ ὁποῖαι κοιτάζουν τὴν ὡραιότητα τῶν ὑδάτων καὶ τὰς ἀπλησιάστους ἀνταυγείας, ἐπειδὴ ἐκεῖναι βλέπουν καλύτερον τὴν δύνα-

μαρμαρυγὰς τὰς ἀπροσίτους. Ὥσπερ γὰρ χρυσοῦ τηκομένου, ἄν τε τὴν χεῖρά τις ἐμβάλῃ, εἰ οἷόν τε ἦν, ἄν τε τὴν γλῶτταν, χρυσῆν εὐθέως αὐτὴν ἐποίησεν ἄν, οὕτω δὴ καὶ πολλῷ πλέον ἐνταῦθα τὴν ψυχὴν ἐργάζεται τὰ προκείμενα. Ἀναζεῖ μὲν γὰρ πυρὸς σφοδρότερον ὁ ποταμός, ἀλλ' οὐ καίει, ἀλλὰ βαπτίζει μόνον ὅπερ ἂν λάβῃ.

Τοῦτο τὸ αἷμα ἄνωθεν προετυποῦτο ἀεί, ἐν θυσιαστηρίοις, ἐν δικαίων σφαγαῖς· τοῦτο ἡ τιμὴ τῆς οἰκουμένης, τούτῳ ἠγόρασε τὴν Ἐκκλησίαν ὁ Χριστός, τούτῳ κατεκόσμησεν αὐτὴν ἅπασαν. Καθάπερ γὰρ ἄνθρωπος οἰκέτας ὠνούμενος χρυσίον δίδωσι, καὶ καλλωπίσαι πάλιν αὐτοὺς βουλόμενος, χρυσῷ τοῦτο ποιεῖ, οὕτω καὶ ὁ Χριστός, καὶ ἠγόρασεν ἡμᾶς αἵματι, καὶ ἐκόσμησεν αἵματι. Οἱ τούτου μετέχοντες τοῦ αἵματος, μετὰ ἀγγέλων, καὶ ἀρχαγγέλων, καὶ τῶν ἄνω δυνάμεων ἑστήκασιν, αὐτὴν περικείμενοι τοῦ Χριστοῦ τὴν βασιλικὴν στολήν, τὰ ὅπλα ἔχοντες τὰ πνευματικά. Ἀλλ' οὐδὲν εἶπον οὐδέπω μέγα· αὐτὸν γάρ εἰσιν ἐνδεδυμένοι τὸν βασιλέα.

Ἀλλ' ὥσπερ ἐστὶ μέγα καὶ θαυμαστόν, οὕτως ἂν μὲν μετὰ καθαρότητος προσέλθῃς, εἰς σωτηρίαν προσῆλθες, ἂν δὲ μετὰ πονηροῦ συνειδότος εἰς κόλασιν καὶ τιμωρίαν. «Ὁ γὰρ ἐσθίων», φησί, «καὶ πίνων ἀναξίως τοῦ Κυρίου, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει». Εἰ τοίνυν οἱ ρυποῦντες τὴν πορφύραν τὴν βασιλικὴν κολάζονται ὁμοίως, ὥσπερ οἱ διαρρηγνύντες, τί ἀπεικὸς καὶ τοὺς ἀκαθάρτῳ διανοίᾳ δεχομένους τὸ σῶμα, τὴν αὐτὴν ὑπομεῖναι τιμωρίαν τοῖς αὐτὸ διαρρήξασι διὰ τῶν ἥλων; Ὅρα γοῦν πῶς φοβερὰν ἔδειξεν ὁ Παῦλος τὴν κόλασιν, εἰπών· «Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·

---

9. Α΄ Κορ. 11, 29.

μιν τῶν πραγμάτων ποὺ εὑρίσκονται ἔμπροσθέν των. Διότι, ὅπως ὅταν λειώνῃ ὁ χρυσός, ἂν κάποιος βάλῃ μέσα εἰς αὐτὸν τὸ χέρι του ἢ τὴν γλῶσσαν του, ἂν εἶναι δυνατὸν τοῦτο, ἀμέσως γίνεται χρυσῆ, ἔτσι καὶ τὰ μυστήρια ποὺ ἡ ψυχὴ ἀποκαλύπτει ἐδῶ γίνονται πολὺ περισσότερα. Διότι ὁ ποταμὸς κοχλάζει δυνατώτερα ἀπὸ τὸ πῦρ, ἀλλὰ δὲν καίει, καὶ βαπτίζει μόνον ὅ,τι θὰ λάβῃ.

Αὐτὸ τὸ αἷμα προδιεγράφετο πάντοτε εἰς τοὺς βωμοὺς καὶ εἰς τὰς σφαγὰς τῶν δικαίων. Αὐτὸ τὸ αἷμα εἶναι τὸ τίμημα τῆς οἰκουμένης, μὲ αὐτὸ ὁ Χριστὸς ἐξηγόρασε τὴν Ἐκκλησίαν καὶ μὲ αὐτὸ τὴν κατεστόλισεν ὁλόκληρον. Διότι, ὅπως ὁ ἄνθρωπος ποὺ ἀγοράζει δούλους δίδει χρυσὸν καὶ ἂν θέλῃ νὰ τοὺς στολίσῃ, πάλιν μὲ χρυσὸν τὸ κάμνει, ἔτσι καὶ ὁ Χριστὸς καὶ μᾶς ἠγόρασε μὲ τὸ αἷμα του καὶ μᾶς ἐστόλισε μὲ τὸ αἷμα του. Ὅσοι εἶναι μέτοχοι αὐτοῦ τοῦ αἵματος, στέκονται μαζὶ μὲ τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους καὶ τὰς ἄνω δυνάμεις, φοροῦν τὴν βασιλικὴν στολὴν τοῦ Χριστοῦ καὶ κρατοῦν τὰ πνευματικὰ ὅπλα. Ἀλλ' ἀκόμη δὲν εἶπα τὸ σπουδαιότερον. Ἔχουν ἐνδυθῆ ὅπως ὁ βασιλεύς.

Ἀλλ' ὅπως αὐτὸ τὸ πρᾶγμα εἶναι σπουδαῖον καὶ ἀξιοθαύμαστον, ἔτσι ἂν προσέλθῃς μὲ καθαρότητα, προσέρχεσαι εἰς σωτηρίαν, ἂν προσέρχεσαι μὲ πονηρὰν συνείδησιν, εἰς κόλασιν καὶ τιμωρίαν. Διότι, ὅπως λέγει ὁ Ἀπόστολος, «Ἐκεῖνος ποὺ τρώγει καὶ πίνει κατὰ τρόπον ἀνάξιον ἀπὸ τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου, τρώγει καὶ πίνει τὴν καταδίκην του». Ἐὰν λοιπὸν ἐκεῖνοι ποὺ λερώνουν τὴν βασιλικὴν πορφύραν τιμωροῦνται ὅπως καὶ ἐκεῖνοι ποὺ τὴν σχίζουν, τί τὸ παράδοξον καὶ ἐκεῖνοι ποὺ τὴν σχίζουν, τί τὸ παράδοξον καὶ ἐκεῖνοι ποὺ δέχονται τὸ σῶμα τοῦ Χριστοῦ μὲ ἀκάθαρτον σκέψιν ὅτι ὑφίστανται τὴν αὐτὴν τιμωρίαν, ἀφοῦ σχίζουν τὸ σῶμα αὐτὸ μὲ τὰ καρφιά; Βλέπετε λοιπόν, μὲ ποῖα λόγια παρουσιάζει ὁ Παῦλος τὴν τιμωρίαν· «Ἐὰν παραβῆ κανεὶς τὸν νόμον τοῦ Μωϋσέως θανατώνεται χωρὶς εὐσπλαγχνίαν ἐπὶ τῇ καταθέσει δύο ἢ τριῶν

πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη;».

Προσέχωμεν τοίνυν ἑαυτοῖς, ἀγαπητοί, τοιούτων ἀπολαύοντες ἀγαθῶν· καὶ ὅταν βουληθῶμεν αἰσχρόν τι εἰπεῖν, ἢ συναρπαζομένους ἑαυτοὺς ἴδωμεν ὑπὸ ὀργῆς, ἢ ἑτέρου τινὸς τοιούτου πάθους, λογισώμεθα τίνων κατηξιώθημεν, ὅσου Πνεύματος ἀπηλαύσαμεν· καὶ ἔσται σωφρονισμὸς ἡμῖν τῶν ἀλόγων παθῶν οὗτος ὁ λογισμός. Μέχρι γὰρ τίνος τοῖς παροῦσι προσηλώμεθα; μέχρι τίνος οὐ διεγειρόμεθα; μέχρι τίνος οὐ φροντίζομεν τῆς ἑαυτῶν σωτηρίας; Ἐννοήσωμεν τίνων ἡμᾶς κατηξίωσεν ὁ Θεός, εὐχαριστήσωμεν, δοξάσωμεν, μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν· ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10. Ἑβρ. 10, 28-29.

μαρτύρων. Πόσης χειροτέρας τιμωρίας νομίζετε ὅτι εἶναι ἄξιος ἐκεῖνος, ὁ ὁποῖος κατεπάτησε τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἐθεώρησε μολυσμένον τὸ αἷμα τῆς διαθήκης, μὲ τὸ ὁποῖον ἡγιάσθη;»[10].

Ἂς προσέχωμεν λοιπόν, ἀγαπητοί μου, τοὺς ἑαυτούς μας, ἀφοῦ ἀπολαύωμεν τοιαῦτα ἀγαθά. Καὶ ὅταν θελήσωμεν νὰ εἰποῦμεν κάτι κακὸν ἢ ὅταν ἴδωμεν τοὺς ἑαυτούς μας νὰ καταλαμβάνωνται ἀπὸ ὀργὴν ἢ ἀπὸ κάποιο ἄλλο παρόμοιον πάθος, ἂς σκεφθοῦμεν, τίνων πραγμάτων ἐγίναμεν ἄξιοι καὶ πόσον ἀπηλαύσαμεν τὸ ἅγιον Πνεῦμα. Καὶ αὐτὴ ἡ σκέψις θὰ μᾶς σωφρονίσῃ ἀπὸ τὰ παράλογα πάθη. Μέχρι πότε θὰ εἴμεθα προσηλωμένοι εἰς τὰ παρόντα; Μέχρι πότε δὲν θὰ ἐξεγειρώμεθα; Μέχρι πότε δὲν θὰ φροντίζωμεν διὰ τὴν σωτηρίαν μας; Ἂς κατανοήσωμεν ποίων πραγμάτων μᾶς ἐθεώρησεν ἀξίους ὁ Θεός, ἂς τὸν εὐχαριστήσωμεν καὶ ἂς τὸν δοξάσωμεν ὄχι μόνον μὲ τὴν πίστιν μας ἀλλὰ καὶ μὲ τὰ ἔργα μας, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΖ΄.

Ἰω. 6, 53 - 71

«Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς. Ὁ δὲ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν ἐν ἑαυτῷ».

1. Ὅταν περὶ πνευματικῶν διαλεγώμεθα, μηδὲν ἔστω βιωτικὸν ἐν ταῖς ἡμετέραις ψυχαῖς, μηδὲν γήινον, ἀλλὰ πάντα ἀναχωρείτω, πάντα ἐξοριζέσθω τὰ τοιαῦτα καὶ ὅλοι γινώμεθα τῆς τῶν θείων λογίων ἀκροάσεως μόνης. Εἰ γὰρ βασιλέως ἐπιβαίνοντος πόλει, ἅπας ἀπελαύνεται θόρυβος· πολλῷ μᾶλλον τοῦ Πνεύματος ἡμῖν διαλεγομένου, μετὰ πολλῆς μὲν ἡσυχίας, μετὰ πολλῆς δὲ τῆς φρίκης ἀκούειν ἡμᾶς δεῖ. Καὶ γὰρ φρίκης ἄξια τὰ λεγόμενα σήμερον. Καὶ πῶς, ἄκουε. «Ἀμὴν» γάρ, φησί, «λέγω ὑμῖν, ἐὰν μή τίς μου φάγῃ τὴν σάρκα καὶ πίῃ μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ». Ἐπειδὴ ἔμπροσθεν ἔλεγον, ὅτι ἀδύνατον τοῦτό ἐστι, δείκνυσιν αὐτὸς οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον. Διὸ καὶ ἐπάγει· «Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ».

Ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι «Ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου οὐκ ἀποθανεῖται εἰς τὸν αἰῶνα», εἰκὸς δὲ ἦν αὐτοῖς προσστῆναι τοῦτο, καθὼς καὶ πρότερον ἔλεγον, «Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται ἀπέθανον, καὶ πῶς σὺ λέγεις, οὐ μὴ γεύσεται θανάτου;», τὴν ἀνάστασιν ἔθηκε, λύων τὸ ζητούμενον καὶ δηλῶν ὅτι οὐκ ἀποθανεῖται εἰς τέλος. Συνεχῶς δὲ στρέφει τὸν περὶ τῶν μυστηρίων λόγον, δεικνὺς τοῦ πράγματος τὸ ἀναγκαῖον, καὶ ὅτι αὐτὸ πάντως γενέσθαι δεῖ.

---

1. Ἰω. 6, 53 - 54.

ΟΜΙΛΙΑ ΜΖ΄.

᾿Ιω. 6, 53 - 71

«Εἶπε λοιπὸν ὁ ᾿Ιησοῦς εἰς αὐτούς. ᾿Αλήθεια, ἀλήθεια σᾶς λέγω, ἐὰν δὲν φάγετε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ δὲν πίετε τὸ αἷμα του, δὲν ἔχετε ζωὴν μέσα σας. ᾿Εκεῖνος ποὺ τρώγει τὴν σάρκα μου καὶ πίνει τὸ αἷμα μου ἔχει ζωὴν αἰώνιον»[1].

1. Ὅταν ὁμιλοῦμεν διὰ πνευματικὰ ζητήματα, δὲν πρέπει νὰ ὑπάρχῃ τίποτε τὸ βιωτικὸν οὔτε γήϊνον εἰς τὰς ψυχάς μας, ἀλλὰ πρέπει ὅλα ν' ἀπομακρύνωνται, ὅλα τὰ παρόμοια νὰ ἐξορίζωνται καὶ ὅλοι νὰ ἀκροώμεθα μόνον τοὺς θείους λόγους. Διότι, ἐὰν ἀπομακρύνεται κάθε θόρυβος, ὅταν ὁ βασιλεὺς ἐπισκέπτεται μίαν πόλιν, μὲ πολὺ μεγαλυτέραν ἡσυχίαν καὶ φόβον πρέπει ν' ἀκούωμεν, ὅταν μᾶς ὁμιλῇ τὸ ἅγιον Πνεῦμα. Διότι τὰ ὅσα λέγονται σήμερον εἶναι ἄξια φόβου. Καὶ ἄκουσε πῶς· «᾿Αλήθεια σᾶς λέγω, ἐὰν δὲν φάγῃ κανεὶς τὴν σάρκα μου καὶ δὲν πίῃ τὸ αἷμα μου, δὲν ἔχει ζωὴν μέσα του». ᾿Επειδὴ προηγουμένως ἰσχυρίζοντο, ὅτι τοῦτο ἦτο ἀδύνατον, ἀποδεικνύει ὅτι ὄχι μόνον δὲν εἶναι ἀδύνατον, ἀλλὰ καὶ πάρα πολὺ ἀναγκαῖον. Δι' αὐτὸ προσθέτει· «᾿Εκεῖνος ποὺ τρώγει τὴν σάρκα μου καὶ πίνει τὸ αἷμα μου, ἔχει ζωὴν αἰώνιον καὶ ἐγὼ θὰ τὸν ἀναστήσω κατὰ τὴν ἐσχάτην ἡμέραν».

᾿Επειδὴ δηλαδὴ ἔλεγεν, «᾿Εκεῖνος ποὺ τρώγει ἀπὸ αὐτὸν τὸν ἄρτον δὲν θ' ἀποθάνῃ εἰς τὸν αἰῶνα», εὔλογον ἦτο, ὅτι οἱ ᾿Ιουδαῖοι θὰ ἀντέκρουον τοῦτο, ἰσχυριζόμενοι ὅπως καὶ προηγουμένως, «῾Ο ᾿Αβραὰμ ἀπέθανε καὶ οἱ προφῆται ἀπέθανον καὶ πῶς σὺ λέγεις, ὅτι δὲν θὰ γευθῇ θάνατον;», ὁ Χριστὸς παρουσίασε τὴν ἀνάστασιν, δίδων λύσιν εἰς τὸ ζήτημα τοῦτο καὶ βεβαιώνων, ὅτι δὲν θ' ἀποθάνῃ εἰς τὸν αἰῶνα. Καὶ φέρει συνεχῶς τὸν λόγον εἰς τὰ μυστήρια, διὰ ν' ἀποδείξῃ, ὅτι τὸ πρᾶγμα εἶναι ἀναγκαῖον καὶ ὅτι θὰ συμβῇ ὁπωσδήποτε.

«Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις». Τί ἐστιν ὃ λέγει; Ἢ τοῦτο βούλεται εἰπεῖν, ὅτι ἀληθὴς βρῶσις αὕτη ἐστὶν ἡ ψυχὴν σῴζουσα· ἢ πιστώσασθαι αὐτοὺς περὶ τῶν εἰρημένων, ὥστε μὴ νομίζειν αἴνιγμα εἶναι τὸ εἰρημένον καὶ παραβολήν, ἀλλ' εἰδέναι ὅτι πάντως δεῖ φαγεῖν τὸ σῶμα. Εἶτά φησιν· «Ὁ τρώγων μου τὴν σάρκα, ἐν ἐμοὶ μένει». Τοῦτο δὲ ἔλεγε δηλῶν, ὅτι ἐν αὐτῷ ἀνακιρνᾶται.

Τὸ δὲ ἑξῆς δοκεῖ μὲν ἀσυνάρτητον εἶναί τι, ἂν μὴ τὸν νοῦν ἐξετάσωμεν. Ποία γάρ, φησίν, ἀκολουθία, μετὰ τὸ εἰπεῖν, «Ὁ τρώγων μου τὴν σάρκα ἐν ἐμοὶ μένει», ἐπαγαγεῖν, «Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατήρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα»; Ἔχει δὲ πολλὴν τὴν ἁρμονίαν τὸ λεγόμενον. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγε ζωὴν αἰώνιον κατασκευάζων αὐτὸ ἐπήγαγε τό, Ἐν ἐμοὶ μένει. Εἰ γὰρ ἐν ἐμοὶ μένει, ζῶ δὲ ἐγώ, δῆλον ὅτι κἀκεῖνος ζήσεται. Εἶτά φησι· «Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατήρ». Τοῦτο δέ ἐστι συγκριτικὸν καὶ ὁμοιωματικόν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Ζῶ ἐγὼ οὕτως, ὡς ὁ Πατήρ. Καὶ ἵνα μὴ ἀγέννητον νομίσῃς, προσέθηκεν εὐθὺς τό, «Διὰ τὸν Πατέρα», οὐ τοῦτο δεικνύς, ὅτι ἐνεργείας τινὸς χρείαν ἔχει πρὸς τὸ ζῆν. Ἀνωτέρω γὰρ τοῦτο ἀναιρῶν ἔλεγεν· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ἔχειν ζωὴν ἐν ἑαυτῷ». Εἰ δὲ δεῖται ἐνεργείας, εὑρεθήσεται ἢ ὁ Πατὴρ μὴ δεδωκὼς οὕτω, καὶ ψευδὴς ὁ λόγος, ἢ εἰ οὕτως ἔδωκεν, οὐδενὸς αὐτὸς λοιπὸν δεηθήσεται ἑτέρου τοῦ συγκροτοῦντος.

Τί οὖν ἐστι, «Διὰ τὸν Πατέρα»; Τὴν αἰτίαν ἐνταῦθα αἰνίττεται μόνον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Καθώς ἐστι ζῶν ὁ Πατήρ, οὕτω κἀγὼ ζῶ. «Καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει δι' ἐμέ». Ζωὴν δὲ ἐνταῦθα λέγει, οὐ τὴν ἁπλῶς,

«Διότι ἡ σάρξ μου εἶναι ἀληθινὴ τροφὴ καὶ τὸ αἷμα μου ἀληθινὸν ποτόν». Τί σημαίνει αὐτὸ ποὺ λέγει; Ἢ θέλει νὰ εἰπῆ τοῦτο, ὅτι δηλαδὴ ἀληθινὴ τροφὴ εἶναι ἐκείνη ποὺ σώζει τὴν ψυχήν, ἢ θέλει νὰ τοὺς κάμῃ νὰ πιστεύσουν εἰς τὰ λόγια του, ὥστε νὰ μὴ νομίζουν ὅτι αὐτὰ εἶναι αἴνιγμα καὶ παραβολή, ἀλλ' ὅτι πρέπει νὰ ξεύρουν, ὅτι θὰ φάγουν τὸ σῶμα του ὁπωσδήποτε. Καὶ προσθέτει· «Ἐκεῖνος ποὺ τρώγει τὴν σάρκα μου μένει μέσα μου». Καὶ τὸ ἔλεγεν αὐτὸ διὰ νὰ βεβαιώσῃ τὴν στενὴν μετ' αὐτοῦ ἐπικοινωνίαν.

Ἀλλὰ ἐκεῖνο ποὺ μᾶς φαίνεται ἀνακόλουθον, ἂν δὲν προσέξωμεν, εἶναι τὸ ἑξῆς· Διότι, θὰ ἐρωτήσῃς, ποία σχέσις ὑπάρχει μετὰ τὰ λόγια του, «Ἐκεῖνος ποὺ τρώγει τὴν σάρκα μου μένει μέσα μου», μὲ τὰ λόγια ποὺ ἀκολουθοῦν «Καθὼς μὲ ἔστειλεν ὁ ζωντανὸς Πατὴρ καὶ ἐγὼ ζῶ ἕνεκα τοῦ Πατρός»; Ὑπάρχει μεγάλη συνέπεια μεταξὺ αὐτῶν τῶν δύο φράσεων. Ἐπειδὴ δηλαδὴ ὡμίλει παντοῦ καὶ πάντοτε διὰ τὴν αἰώνιον ζωήν, διὰ νὰ ἐπιβεβαιώσῃ αὐτό, προσέθεσε, Μένει μέσα μου. Διότι, ἐὰν μένῃ μέσα μου καὶ ἐγὼ ζῶ, εἶναι φανερὸν ὅτι θὰ ζήσῃ καὶ ἐκεῖνος. Ἔπειτα λέγει· «Καθὼς μὲ ἔστειλεν ὁ Πατὴρ ὁ ὁποῖος ζῇ». Αὐτὰ φανερώνουν σύγκρισιν καὶ ὁμοίωσιν, σημαίνουν δὲ τὸ ἑξῆς· Ἐγὼ ζῶ, ὅπως ὁ Πατήρ. Καὶ διὰ νὰ μὴ τὸν νομίσῃς ἀγέννητον, προσέθεσεν ἀμέσως, «Ἕνεκα τοῦ Πατρός», ὄχι διὰ ν' ἀποδείξῃ, ὅτι ἔχει ἀνάγκην ἀπὸ κάποιαν ἐνέργειαν διὰ νὰ ζήσῃ. Διότι προηγουμένως ἀναιρῶν αὐτὸ ἔλεγε· «Διότι, ὅπως ὁ Πατὴρ ἔχει ζωὴν μέσα του, ἔτσι ἔδωσε καὶ εἰς τὸν Υἱὸν νὰ ἔχῃ ζωὴν μέσα του». Ἐὰν ὅμως ἔχῃ ἀνάγκην ἀπὸ κάποιαν ἐνέργειαν, ἕπεται ἢ ὅτι δὲν τὴν ἔχει δώσει ὁ Πατὴρ καὶ ὁ λόγος εἶναι ψευδής, ἢ ὅτι, ἐὰν τὴν ἔδωσεν, αὐτὸς τοῦ λοιποῦ δὲν θὰ ἔχῃ ἀνάγκην βοηθείας ἀπὸ κανένα.

Τί σημαίνει λοιπόν, «Ἕνεκα τοῦ Πατρός»; Ἐδῶ ὑπαινίσσεται μόνον τὴν αἰτίαν. Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει· Ὅπως ζῇ ὁ Πατήρ, ἔτσι ζῶ καὶ ἐγώ. «Καὶ ἐκεῖνος ποὺ τρώγει ἐμέ, θὰ ζήσῃ ἕνεκα ἐμοῦ». Ὅταν δὲ λέγῃ ἐδῶ ζωήν,

ἀλλὰ τὴν εὐδόκιμον. Καὶ ὅτι οὐ περὶ τῆς ἁπλῶς ζωῆς εἶπεν, ἀλλὰ περὶ τῆς ἐνδόξου καὶ ἀπορρήτου ἐκείνης, δῆλον ἐκεῖθεν. Καὶ γὰρ πάντες, καὶ οἱ ἄπιστοι ζῶσι καὶ οἱ ἀμύητοι, μὴ φαγόντες ἀπὸ τῆς σαρκὸς ἐκείνης. Ὁρᾷς ὅτι οὐ περὶ ταύτης ὁ λόγος ἐστὶ τῆς ζωῆς, ἀλλὰ περὶ ἐκείνης; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὁ τρώγων μου τὴν σάρκα, οὐκ ἀπολεῖται τελευτήσας, οὐδὲ κολασθήσεται. Ἀλλ' οὐδὲ περὶ τῆς ἀναστάσεως τῆς κοινῆς φησι· καὶ γὰρ ὁμοίως πάντες ἀνίστανται· ἀλλὰ περὶ τῆς ἐξαιρέτου, τῆς ἐνδόξου καὶ μισθὸν ἐχούσης.

«Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον. Ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα». Συνεχῶς τὸ αὐτὸ περιστρέφει, ὥστε αὐτὸ ἐντυπῶσαι τῇ τῶν ἀκουόντων διανοίᾳ (ἐσχάτη γάρ τις ἦν διδασκαλία ἡ περὶ τούτων), καὶ τὸ περὶ ἀναστάσεως δόγμα πιστῶσαι, καὶ τὸ περὶ ζωῆς αἰωνίου. Διὸ καὶ τὴν ἀνάστασιν προστίθησιν, ὁμοῦ μὲν ἐπειδὴ εἶπε, ζωῆς αἰωνίου, ὁμοῦ δὲ δεικνὺς ὅτι οὐ νῦν ἐστι αὕτη, ἀλλὰ μετὰ τὴν ἀνάστασιν.

Καὶ πόθεν ταῦτα δῆλα, φησίν; Ἀπὸ τῶν Γραφῶν. Πανταχοῦ γὰρ αὐτοὺς ἐκεῖ παραπέμπει, παρ' αὐτῶν κελεύων ταῦτα μαθεῖν. Εἰπὼν δέ, Ζωὴν διδοὺς τῷ κόσμῳ, καὶ εἰς ζῆλον αὐτοὺς ἐνάγει, ὥστε κἂν ἀλγήσαντας ἐπὶ τῷ ἄλλους ἀπολαύειν τῆς δωρεᾶς, μὴ μεῖναι ἔξω. Συνεχῶς δὲ ἀναμιμνήσκει τοῦ μάννα, καὶ τὸ διάφορον παριστὰς καὶ αὐτοὺς εἰς πίστιν ἐνάγων. Εἰ γὰρ δυνατὸν ἐγένετο τεσσαράκοντα ἔτεσιν ἀμητοῦ χωρὶς καὶ σίτου καὶ τῆς ἄλλης ἀκολουθίας διακρατῆσαι τὴν ἐκείνων ζωήν, πολλῷ μᾶλλον νῦν, ἅτε ἐπὶ μείζοσι παραγενόμενος, δυνήσεται τοῦτο. Ἄλλως δέ, καὶ

δὲν ἐννοεῖ ὁποιανδήποτε ζωήν, ἀλλὰ τὴν περιφανῆ. Καὶ ὅτι δὲν ὡμίλησεν ἁπλῶς περὶ τῆς ζωῆς ἀλλὰ περὶ τῆς ἐνδόξου καὶ μυστικῆς τοιαύτης, εἶναι φανερὸν ἀπὸ τὸ ἑξῆς· Δηλαδὴ ὅλοι καὶ οἱ ἄπιστοι καὶ οἱ ἀμύητοι ζοῦν, ἂν καὶ δὲν ἔφαγαν ἀπὸ τὴν σάρκα τοῦ Χριστοῦ. Βλέπεις λοιπὸν ὅτι δὲν γίνεται λόγος περὶ αὐτῆς τῆς ζωῆς, ἀλλὰ περὶ ἄλλης; Καὶ αὐτὸ ποὺ λέγει, σημαίνει· Ἐκεῖνος ποὺ τρώγει τὴν σάρκα μου, δὲν θὰ χαθῇ, ὅταν ἀποθάνῃ, οὔτε θὰ τιμωρηθῇ. Ἀλλὰ οὔτε περὶ τῆς κοινῆς ἀναστάσεως ὁμιλεῖ. Διότι καθ' ὅμοιον τρόπον θ' ἀναστηθοῦν ὅλοι. Ἀλλ' ὁμιλεῖ περὶ τῆς ἐξαιρετικῆς, τῆς ἐνδόξου ἀναστάσεως, ἡ ὁποία ἔχει μεγάλην ὠφέλειαν.

«Αὐτὸς εἶναι ὁ ἄρτος ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανὸν καὶ ὄχι ὅπως τὸ μάννα ποὺ ἔφαγαν οἱ πατέρες σας καὶ ὅμως ἀπέθαναν. Ἐκεῖνος ποὺ τρώγει αὐτὸν τὸν ἄρτον θὰ ζῇ αἰωνίως». Συνεχῶς ἐπαναλαμβάνει τὸ ἴδιο, ὥστε νὰ τὸ ἐντυπώσῃ εἰς τὸν νοῦν τῶν ἀκροατῶν (διότι ἡ περὶ τούτων διδασκαλία του ἦτο ἡ τελευταία), καὶ νὰ τοὺς κάμῃ νὰ πιστεύσουν καὶ εἰς τὸ δόγμα περὶ ἀναστάσεως καὶ εἰς τὸ δόγμα περὶ ζωῆς αἰωνίου. Καὶ προσθέτει τὴν ἀνάστασιν μαζὶ μὲ τὴν αἰώνιον ζωήν, διὰ νὰ βεβαιώσῃ ὅτι ἡ αἰώνιος ζωὴ δὲν εἶναι τώρα, ἀλλὰ μετὰ τὴν ἀνάστασιν.

Καὶ ἀπὸ ποῦ λέγει, ὅτι ἐπιβεβαιώνονται ταῦτα; Ἀπὸ τὰς ἁγίας Γραφάς. Διότι εἰς αὐτὰς τοὺς παραπέμπει παντοῦ καὶ τοὺς προτρέπει ἀπὸ αὐτὰς νὰ μάθουν ταῦτα. Ὅταν δὲ εἶπε· Διὰ νὰ δώσω ζωὴν εἰς τὸν κόσμον, τοὺς ὁδηγεῖ εἰς τὸν ζῆλον, ὥστε καὶ ἂν ἐστενοχωρήθησαν διότι ἄλλοι ἀπολαύουν τὴν χάριν, νὰ μὴ μείνουν ἔξω. Ὑπενθυμίζει μάλιστα συνεχῶς τὸ μάννα, ἀφ' ἑνὸς μὲν διὰ νὰ παρουσιάσῃ τὴν διαφοράν, ἀφ' ἑτέρου δὲ διὰ νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν πίστιν. Διότι, ἐφ' ὅσον ὑπῆρξε δυνατὸν νὰ τοὺς συντηρήσῃ ὁ Θεὸς εἰς τὴν ζωὴν ἐπὶ τεσσαράκοντα ἔτη χωρὶς συγκομιδήν, χωρὶς σῖτον καὶ χωρὶς ἄλλην ἑτοιμασίαν, πολὺ περισσότερον θὰ ἠμπορέσῃ νὰ κάμῃ τοῦτο τώρα ποὺ ἦλθε διὰ νὰ

εἰ ἐκεῖνα τύποι τινὲς ἦσαν καὶ χωρὶς ἱδρώτων καὶ πόνων συνέλεγον τὸ φερόμενον, πολλῷ μᾶλλον νῦν τοῦτο ἔσται, ἔνθα πολλὴ ἡ διαφορά, καὶ τὸ μηδέποτε τελευτᾶν καὶ τὸ ζωῆς ἀπολαύειν τῆς ἀληθοῦς

Καλῶς δὲ ζωῆς πολλάκις μέμνηται, ἐπειδὴ τοῦτο ποθεινὸν ἀνθρώποις, καὶ οὐδὲν οὕτως ἡδύ, ὡς τὸ μὴ ἀποθανεῖν. Ἐπεὶ καὶ ἐν τῇ Παλαιᾷ τοῦτο ἦν ἡ ὑπόσχεσις, μῆκος βίου, καὶ πολλαὶ ἡμέραι, ἀλλὰ νῦν οὐκ ἔστι μῆκος ἁπλῶς, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. Ἅμα δὲ καὶ δεῖξαι βούλεται, ὅτι τὴν ἐκ τῆς ἁμαρτίας γενομένην κόλασιν ἀνακαλεῖται νῦν, τὴν ψῆφον λύων ἐκείνην τὴν θανατοῦσαν· καὶ ζωὴν οὐχ ἁπλῶς, ἀλλ' αἰώνιον εἰσάγων, ἀπεναντίας τοῖς προτέροις. «Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ», ἔνθα αἱ πλεῖσται γεγένηνται δυνάμεις, ὥστε ἐχρῆν αὐτὸν ἀκουσθῆναι μάλιστα.

2. Τίνος δὲ ἕνεκεν ἐν συναγωγῇ ἐδίδασκε, καὶ ἐν ἱερῷ; Ὁμοῦ μὲν τὸ πλῆθος αὐτῶν θηρεῦσαι θέλων, ὁμοῦ δὲ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ Πατρί. «Πολλοὶ δὲ ἐκ τῶν μαθητῶν ἀκούσαντες ἔλεγον· Σκληρός ἐστιν ὁ λόγος αὐτός». Τί ἐστι, «Σκληρός ἐστι»; Τραχύς, ἐπίπονος, μόχθον ἔχων. Καὶ μὴν οὐδὲν τοιοῦτον ἔλεγεν· οὐδὲ γὰρ περὶ πολιτείας διελέγετο, ἀλλὰ περὶ δογμάτων, ἄνω καὶ κάτω στρέφων τὴν πίστιν τὴν εἰς ἑαυτόν. Τί οὖν ἐστι, Σκληρός ἐστιν ὁ λόγος; Ὅτι ζωὴν ἐπαγγέλλεται καὶ ἀνάστασιν; ὅτι ἐκ τοῦ οὐρανοῦ ἔφη καταβεβηκέναι; ἀλλ' ὅτι σωθῆναι ἀδύνατον τὸν μὴ φαγόντα αὐτοῦ τὴν σάρκα; Ταῦτα οὖν, εἰπέ μοι, σκληρά; Καὶ τίς ἂν ταῦτα εἴποι; Τί οὖν ἐστί, «Σκληρός»;

ἑτοιμάσῃ σπουδαιότερα. Καὶ μάλιστα ἂν ἐκεῖνα ἦσαν τύποι καὶ συνέλεγαν τὸ φαγητὸν χωρὶς ἱδρῶτας καὶ κόπους, πολὺ περισσότερον τοῦτο θὰ συμβῇ τώρα, ποὺ ὑπάρχει μεγάλη διαφορὰ καὶ ἀπουσία τοῦ θανάτου καὶ ἀπόλαυσις ἀληθινῆς ζωῆς.

Καὶ δικαίως ἐνθυμεῖται πολλὰς φορὰς τὴν ζωήν, ἐπειδὴ αὐτὴ εἶναι πολὺ ἐπιθυμητὴ εἰς τοὺς ἀνθρώπους καὶ δὲν ὑπάρχει τίποτε τὸ πλέον εὐχάριστον ἀπὸ τὸ νὰ μὴ ἀποθάνῃ κανείς. Εἰς τὴν Παλαιὰν Διαθήκην ὑπῆρχεν ἡ ὑπόσχεσις διὰ μακρὸν βίον καὶ πολλὰς ἡμέρας, ἀλλὰ τώρα δὲν ὑπάρχει ὑπόσχεσις μόνον διὰ μακρὰν ζωὴν ἀλλὰ διὰ ζωὴν ποὺ δὲν ἔχει τέλος. Συγχρόνως ὅμως θέλει νὰ δείξῃ ὅτι τώρα ἀνακαλεῖ τὴν κόλασιν ποὺ προῆλθεν ἀπὸ τὴν ἁμαρτίαν, ἐξαφανίζων ἐκείνην τὴν ἀπόφασιν μὲ τὸν θάνατόν του καὶ εἰσάγων ζωὴν ὄχι μόνον αἰώνιον, ἀλλ' ἀντίθετον ἀπὸ ἐκείνην ποὺ ὑπῆρξε προηγουμένως. «Αὐτὰ εἶπεν εἰς συναγωγήν, ὅταν ἐδίδασκεν εἰς τὴν Καπερναούμ, ὅπου εἶχαν γίνει πάρα πολλὰ ἀξιοθαύμαστα καὶ ἑπομένως θὰ ἔπρεπε νὰ γίνῃ πιστευτὸς πάρα πολὺ ὁ λόγος του.

2. Διατί ἐδίδασκεν εἰς τὴν συναγωγὴν καὶ μάλιστα εἰς τὸν ναόν; Ἀφ' ἑνὸς μὲν ἐπειδὴ ἤθελε νὰ προσελκύσῃ τὸ πλῆθος τῶν Ἰουδαίων, ἀφ' ἑτέρου δὲ διὰ ν' ἀποδείξῃ, ὅτι δὲν ἦτο ἀντίθετος πρὸς τὸν Πατέρα. «Πολλοὶ ἀπὸ τοὺς μαθητάς του, ὅταν τὰ ἤκουσαν, εἶπαν· «Εἶναι σκληρὸς ὁ λόγος αὐτός». Τί σημαίνει, «Εἶναι σκληρός»; Εἶναι τραχύς, ἐπίπονος, κοπιαστικός. Καὶ ὅμως ὁ Χριστὸς δὲν ἔλεγε κάτι τέτοιο. Διότι οὔτε περὶ τῆς καταστάσεως τῆς ζωῆς ὡμίλει ἀλλὰ περὶ δογμάτων, περιστρέφων συνεχῶς τὸν λόγον του εἰς τὴν πίστιν πρὸς αὐτόν. Διατί λοιπόν, Εἶναι σκληρὸς ὁ λόγος; Μήπως διότι ὑπόσχεται ζωὴν καὶ ἀνάστασιν; Μήπως διότι εἶπεν ὅτι ἔχει κατεβῇ ἀπὸ τὸν οὐρανόν; Ἀλλὰ μήπως διότι εἶναι ἀδύνατον νὰ σωθῇ, ὅποιος δὲν φάγῃ τὴν σάρκα του; Εἰπέ μου, αὐτὰ εἶναι σκληρά; Ποῖος ἠμπορεῖ νὰ τὸ παραδεχθῇ τοῦτο; Διατί λοιπὸν εἶναί «Σκληρός»; Διότι

Δυσπαράδεκτος, ὑπερβαίνων αὐτῶν τὴν ἀσθένειαν, πολὺν ἔχων τὸν φόβον. Ἐνόμιζον γὰρ μείζονα τῆς οἰκείας φθέγγεσθαι καὶ ὑπὲρ αὐτόν. Διὸ καὶ ἔλεγον· «Τίς δύναται αὐτοῦ ἀκούειν;», ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι τάχα, ἐπειδὴ ἔμελλον ἀποπηδᾶν.

«Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσιν οἱ μαθηταὶ περὶ τούτου» (καὶ γὰρ τοῦτο τῆς αὐτοῦ θεότητος, τὸ τὰ ἀπόρρητα φέρειν εἰς μέσον), εἶτα λέγει· «Τοῦτο ὑμᾶς σκανδαλίζει; Ἂν οὖν ἴδητε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον;». Τοῦτο καὶ ἐπὶ τοῦ Ναθαναὴλ ἐποίησε, λέγων, Ὅτι «εἶπόν σοι ὅτι, Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζονα τούτων ὄψει»· καὶ ἐπὶ Νικοδήμου, ὅτι «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ Υἱὸς τοῦ ἀνθρώπου», ὁ ὢν ἐν τῷ οὐρανῷ. Τί οὖν; ἀπορίας ἀπορίαις συνάπτει; Οὐχί· μὴ γένοιτο· ἀλλὰ τῷ μεγέθει τῶν δογμάτων καὶ τῷ πλήθει αὐτοὺς ἐπαγαγέσθαι βούλεται.

Ὁ μὲν γὰρ εἰπὼν ἁπλῶς, ὅτι «Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα», καὶ μηδὲν πλέον προσθείς, μᾶλλον ἂν ἐσκανδάλισεν, ὁ δὲ εἰπών, ὅτι «Τὸ σῶμά μου ζωὴ τοῦ κόσμου», καὶ ὁ εἰπών, ὅτι «Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατήρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα»· καὶ ὁ εἰπών, ὅτι «Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα», τὴν ἀπορίαν λύει. Ὁ μὲν γὰρ ἕν τι μέγα περὶ ἑαυτοῦ φθεγγόμενος, κἂν ὕποπτος γένοιτο, ὡς πλάττων· ὁ δὲ τοσαῦτα συνείρων ἐφεξῆς, πᾶσαν ἀναιρεῖ τὴν ὑποψίαν. Πάντα δὲ ποιεῖ καὶ λέγει, ὥστε αὐτοὺς ἀπαγαγεῖν τοῦ νομίζειν αὐτοῦ πατέρα τὸν Ἰωσήφ. Οὐ τοίνυν τὸ σκάνδαλον ἐπιτεῖναι θέλων, τοῦτο ἔλεγεν, ἀλλὰ λῦσαι μᾶλλον. Ὁ μὲν γὰρ ἀπὸ τοῦ Ἰωσὴφ αὐτὸν εἶναι νομίζων, οὐκ ἂν παρεδέξατο τὰ λεγόμενα· ὁ δὲ πεισθείς, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέ-

2. Ἰω. 1, 50.
3. Αὐτόθ. 3, 13.

εἶναι δύσκολα παραδεκτός, διότι ὑπερβαίνει τὴν πνευματικήν των ἀδυναμίαν, διότι προκαλεῖ πολὺν φόβον. Διότι ἐνόμιζον ὅτι ὁ Χριστὸς ὁμιλεῖ περὶ πραγμάτων, τὰ ὁποῖα ὑπερβαίνουν καὶ τὴν ἀξίαν του καὶ τὴν δύναμίν του. Δι' αὐτὸ ἔλεγαν· «Ποῖος ἠμπορεῖ νὰ τὸν ἀκούῃ;», ἀπολογούμενοι ἴσως διὰ τοὺς ἑαυτούς των, ἐπειδὴ ἐπρόκειτο νὰ φύγουν.

«Ἐπειδὴ ὅμως ὁ Ἰησοῦς ἤξευρεν ἀπὸ μέσα του, ὅτι οἱ μαθηταί του γογγύζουν δι' αὐτὸ» (διότι ἀπόδειξις τῆς θεότητός του ἦτο νὰ γνωρίζῃ τὰς κρυφὰς σκέψεις), τοὺς λέγει· «Αὐτὸ σᾶς κλονίζει; Ἂν ἰδῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ν' ἀνεβαίνῃ ἐκεῖ ποὺ ἦτο προτύτερα;». Τὸ ἴδιο ἔκαμε καὶ μὲ τὸν Ναθαναήλ· «Ἐπειδὴ σοῦ εἶπα· Σὲ εἶδα κάτω ἀπὸ τὴν συκῆν, δι' αὐτὸ πιστεύεις; Θὰ ἰδῇς μεγαλύτερα ἀπὸ αὐτά»[2]. Καὶ μὲ τὸν Νικόδημον· «Κανεὶς δὲν ἔχει ἀνεβῆ εἰς τὸν οὐρανὸν παρὰ ὁ Υἱὸς τοῦ ἀνθρώπου»[3], ποὺ εἶναι εἰς τὸν οὐρανόν. Τί συμβαίνει λοιπόν; Εἰς τὴν δυσκολίαν προσθέτει δυσκολίαν; Ὄχι βεβαίως. Ἀλλὰ θέλει νὰ τοὺς συνδέσῃ μὲ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν δογμάτων.

Ἐπειδὴ λοιπὸν εἶχεν εἰπεῖ, «Ἔχω κατεβῆ ἀπὸ τὸν οὐρανὸν» καὶ δὲν εἶχε προσθέσει τίποτε ἄλλο, μᾶλλον θὰ ἐσκανδάλιζεν. Ἀλλ' ἐπειδὴ εἶπεν «Τὸ σῶμα μου εἶναι ζωὴ τοῦ κόσμου», «Καθὼς μὲ ἔστειλεν ὁ ζωντανὸς Πατὴρ καὶ ἐγὼ ζῶ ἕνεκα τοῦ Πατρός μου», καὶ «Ἔχω κατεβῆ ἀπὸ τὸν οὐρανόν», λύει τὴν ἀπορίαν. Διότι ἐκεῖνος ποὺ περιαυτολογεῖ διὰ κάτι σπουδαῖον, ἠμπορεῖ νὰ προκαλέσῃ τὴν ὑποψίαν, ὅτι ψεύδεται. Ἀλλ' ἐκεῖνος ποὺ συναρμολογεῖ μὲ τὴν σειρὰν τόσα σπουδαῖα, ἀναιρεῖ κάθε ὑποψίαν. Ὅλα δὲ ὅσα κάμνει καὶ λέγει ἀποβλέπουν εἰς τὸ παύσουν νὰ νομίζουν ὅτι πατήρ του εἶναι ὁ Ἰωσήφ. Ἑπομένως ἔλεγεν αὐτὰ ὄχι διὰ νὰ ἐπιτείνῃ τὸ σκάνδαλον, ἀλλὰ διὰ νὰ τὸ ἐξαφανίσῃ. Διότι ἐκεῖνος ποὺ θὰ ἐνόμιζεν ὅτι ὁ Χριστὸς εἶναι υἱὸς τοῦ Ἰωσήφ, δὲν θὰ παρεδέχετο τὰ λεγόμενά του. Ἐκεῖνος ὅμως ποὺ εἶχε πεισθῆ ὅτι κατῆλθεν ἀπὸ τὸν ούρα-

βηκε, καὶ ἐκεῖ ἀναβήσεται, εὐκολώτερον ἂν προσέσχε τοῖς λεγομένοις.

Μετὰ δὲ τούτων καὶ ἑτέραν λύσιν ἐπάγει, λέγων· «Τὸ Πνεῦμά ἐστι, τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Πνευματικῶς δεῖ τὰ περὶ ἐμοῦ ἀκούειν· ὁ γὰρ σαρκικῶς ἀκούσας, οὐδὲν ἀπώνατο, οὔτε χρηστόν τι ἀπέλαυσε. Σαρκικὸν δὲ ἦν τὸ ἀμφισβητεῖν πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ τὸ νομίζειν, ὅτι υἱός ἐστιν Ἰωσήφ, καὶ τό, «Πῶς δύναται ἡμῖν τὴν σάρκα δοῦναι φαγεῖν;». Ταῦτα πάντα σαρκικά· ἅπερ ἔδει μυστικῶς νοεῖν καὶ πνευματικῶς.

Καὶ πόθεν, φησίν, ἠδύνατο νοῆσαι τί ποτέ ἐστιν τὸ σάρκα φαγεῖν ἐκεῖνοι; Οὐκοῦν ἔδει τὸν προσήκοντα ἀναμεῖναι καιρόν, καὶ πυνθάνεσθαι, καὶ μὴ ἀπαγορεύειν. «Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή»· τουτέστιν, θεῖα καὶ πνευματικά ἐστιν, οὐδὲν ἔχοντα σαρκικόν, οὐδὲ ἀκολουθίαν φυσικήν· ἃ καὶ ἀπήλλακται πάσης μὲν τοιαύτης ἀνάγκης, καὶ ὑπέρκειται καὶ τῶν νόμων τῶν ἐνταῦθα κειμένων· ἕτερον δὲ ἔχει νοῦν ἐξηλλαγμένον. Ὥσπερ οὖν ἐνταῦθα τὸ πνεῦμα εἶπεν ἀντὶ τοῦ πνευματικά, οὕτω σάρκα εἰπών, οὐ σαρκικὰ εἶπεν, ἀλλὰ τὸ σαρκικῶς ἀκοῦσαι, ἅμα καὶ αὐτοὺς αἰνιττόμενος, ὅτι ἀεὶ σαρκικῶν ἐπεθύμουν, δέον πνευματικῶν ἐφίεσθαι. Ἐὰν γὰρ αὐτὸ σαρκικῶς τις ἐκλάβοι, οὐδὲν ἀπώνατο.

Τί οὖν; οὐκ ἔστι ἡ σὰρξ αὐτοῦ σάρξ; Καὶ σφόδρα μὲν οὖν. Καὶ πῶς εἶπεν, «Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν»; Οὐ περὶ τῆς ἑαυτοῦ σαρκὸς λέγων· μὴ γένοιτο· ἀλλὰ περὶ τῶν σαρκικῶς ἐκλαμβανόντων τὰ λεγόμενα. Τί δέ ἐστι τὸ σαρκικῶς νοῆσαι; Τὸ ἁπλῶς εἰς τὰ προκείμενα ὁρᾶν, καὶ μὴ

νὸν καὶ ἐκεῖ θὰ ἀνέλθῃ, θὰ ἐπρόσεχε τὰ λόγια του μὲ μεγαλυτέραν προθυμίαν.

Ἐκτὸς ὅμως τούτων εἰσάγει καὶ ἄλλην λύσιν, ὅταν λέγῃ· «Τὸ Πνεῦμα εἶναι ἐκεῖνο ποὺ δίδει ζωήν, ἡ σὰρξ δὲν ὠφελεῖ τίποτε». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει· Ὅσα λέγονται περὶ ἐμοῦ πρέπει νὰ τὰ λαμβάνετε πνευματικῶς. Διότι ἐκεῖνος ποὺ τὰ ἀκούει σαρκικῶς, οὔτε ὠφελήθη, οὔτε ἀπήλαυσε κάτι καλόν. Ἦτο δὲ σαρκικὸν τὸ ν' ἀμφιβάλλουν ὅτι κατέβηκεν ἀπὸ τὸν οὐρανόν, τὸ νὰ νομίζουν ὅτι ἦτο υἱὸς τοῦ Ἰωσὴφ καὶ τὸ «Πῶς ἠμπορεῖ νὰ μᾶς δώσῃ νὰ φάγωμεν τὴν σάρκα του;». Ὅλα αὐτὰ εἶναι σαρκικὰ καὶ ἔπρεπε νὰ τὰ κατανοήσουν μυστικῶς καὶ πνευματικῶς.

Καί, θὰ ἐρωτήσῃς, μὲ ποῖον τρόπον ἠμποροῦσαν νὰ καταλάβουν ἐκεῖνοι τί σημαίνει νὰ φάγουν τὴν σάρκα; Ἔπρεπε λοιπὸν νὰ περιμένουν τὴν κατάλληλον εὐκαιρίαν, νὰ ζητήσουν νὰ μάθουν καὶ νὰ μὴ ἀποχωροῦν. «Τὰ λόγια μὲ τὰ ὁποῖα ἐγὼ σᾶς ὁμιλῶ, εἶναι πνεῦμα καὶ ζωή», δηλαδὴ εἶναι θεῖα καὶ πνευματικὰ καὶ δὲν ἔχουν τίποτε τὸ σαρκικόν, οὔτε φυσικὴν συνέπειαν. Αὐτὰ ἔχουν ἀπαλλαγῆ ἀπὸ αὐτὴν τὴν ἀναγκαιότητα καὶ εἶναι ἐπάνω ἀπὸ τοὺς νόμους οἱ ὁποῖοι διέπουν αὐτὴν τὴν ζωὴν καὶ ἐπὶ πλέον ἔχουν ἄλλην ἔννοιαν. Ὅπως λοιπὸν ἐδῶ εἶπε πνεῦμα, ἀντὶ νὰ εἴπῃ πνευματικά, ἔτσι εἶπε καὶ σάρξ, καὶ ὄχι σαρκικά, ὑπαινισσόμενος ὅτι αὐτοὶ ἤκουσαν μὲ τὴν σάρκα, διότι πάντοτε τὰ σαρκικὰ ἐπεθύμουν, ἐνῷ ἔπρεπε νὰ ἐπιθυμοῦν τὰ πνευματικά. Διότι, ἐὰν κανεὶς δεχθῇ τοῦτο μὲ σαρκικὴν σημασίαν, δὲν ὠφελεῖται τίποτε.

Τί συμβαίνει λοιπόν; Μήπως ἡ ἰδική του σὰρξ δὲν ἦτο σάρξ; Ἦτο καὶ πολὺ μάλιστα. Διατί εἶπεν, «Ἡ σὰρξ δὲν ὠφελεῖ τίποτε»; Αὐτὸ βεβαίως δὲν τὸ εἶπε περὶ τῆς ἰδικῆς του σαρκός, ἀλλὰ δι' ἐκείνους οἱ ὁποῖοι ἐθεώρουν τοὺς λόγους του σαρκικῶς. Καὶ τί εἶναι ἡ σαρκικὴ νόησις; Νὰ κατανοῇ κανεὶς ἁπλῶς αὐτὰ ποὺ εὑρίσκονται ἐνώπιόν του καὶ νὰ μὴ ἠμπορῇ νὰ συλλάβῃ διὰ τῆς φαντασίας τίποτε πέραν

πλέον τι φαντάζεσθαι. Τοῦτο γάρ ἐστι σαρκικῶς. Χρὴ δὲ μὴ οὕτω κρίνειν τοῖς ὁρωμένοις, ἀλλὰ πάντα τὰ μυστήρια τοῖς ἔνδον ὀφθαλμοῖς κατοπτεύειν. Τοῦτο γάρ ἐστι πνευματικῶς. Ἄρα ὁ μὴ τρώγων αὐτοῦ τὴν σάρκα, καὶ πίνων αὐτοῦ τὸ αἷμα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ.

Πῶς οὖν οὐδὲν ὠφελεῖ ἡ σάρξ, ἧς ἄνευ ζῆν οὐκ ἔνι; Ὁρᾷς ὅτι τό, Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν, οὐ περὶ τῆς σαρκὸς αὐτοῦ εἴρηται, ἀλλὰ περὶ τῆς σαρκικῆς ἀκροάσεως; «Ἀλλ' εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσι». Πάλιν κατὰ τὸ σύνηθες αὐτοῦ τοῖς λόγοις ἀξίωμα περιτίθησι, τά τε μέλλοντα προλέγων, καὶ δεικνὺς ὡς οὐ τῆς ἐκείνων δόξης ἐφιέμενος ταῦτα ἔλεγεν, ἀλλ' αὐτῶν κηδόμενος. Εἰπὼν δέ, «Τινές», τοὺς μαθητὰς ὑπεξήγαγε. Παρὰ γὰρ τὴν ἀρχὴν ἔλεγε· «Καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετέ μοι»· ἐνταῦθα δὲ «Εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν. Ἤδει γὰρ ἐξ ἀρχῆς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. Καὶ ἔλεγε, Διὰ τοῦτο εἴρηκα, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν ἐκ τοῦ Πατρός μου».

Τὸ ἑκούσιον ἐνταῦθα τῆς οἰκονομίας ὁ εὐαγγελιστὴς ἡμῖν αἰνίττεται, καὶ τὸ ἀνεξίκακον. Καὶ τὸ «Ἐξ ἀρχῆς» δὲ οὐχ ἁπλῶς ἐνταῦθα κεῖται, ἀλλ' ἵνα μάθῃς αὐτοῦ τὴν ἄνωθεν πρόγνωσιν, καὶ ὅτι πρὸ τῶν ῥημάτων τούτων, καὶ οὐ μετὰ τὸ γογγύσαι, οὐδὲ μετὰ τὸ σκανδαλισθῆναι τὸν προδότην ᾔδει, ἀλλὰ καὶ πρὸ τούτου, ὅπερ ἦν θεότητος. Εἶτα καὶ ἐπήγαγεν, «Ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν ἐκ τοῦ Πατρός μου», πείθων αὐτοὺς Πατέρα αὐτοῦ νομίζειν τὸν Θεόν, ἀλλὰ μὴ τὸν Ἰωσήφ, καὶ δεικνὺς ὅτι οὐκ ἔστι τὸ τυχὸν τὸ πιστεῦσαι εἰς αὐτόν. Μονονουχὶ γὰρ τοῦτό φησιν, Οὐ θορυβοῦσιν, οὐδὲ ταράττουσιν, οὐδὲ ξενίζουσί με οἱ μὴ

αὐτῶν. Αὐτὸ εἶναι τὸ σαρκικῶς. Ἀλλὰ δὲν πρέπει νὰ κρίνωμεν μ' αὐτὸν τὸν τρόπον τὰ ὅσα βλέπομεν, ἀλλὰ νὰ ἐξετάζωμεν ὅλα τὰ μυστήρια μὲ τοὺς ἐσωτερικοὺς ὀφθαλμούς. Αὐτὸ εἶναι τὰ πνευματικῶς. Ἑπομένως ἐκεῖνος ποὺ δὲν τρώγει τὴν σάρκα τοῦ Χριστοῦ καὶ δὲν πίνει τὸ αἷμα του, δὲν ἔχει ζωὴν μέσα του.

Διατί ὅμως δὲν ὠφελεῖ ἡ σάρξ, ἀφοῦ χωρὶς αὐτὴν εἶναι ἀδύνατον νὰ ζῶμεν; Βλέπεις ὅτι, Ἡ σὰρξ δὲν ὠφελεῖ τίποτε, δὲν ἔχει λεχθῇ περὶ τῆς ἰδικῆς του σαρκός, ἀλλὰ περὶ τῆς σαρκικῆς ἀκοῆς; «Καὶ ὅμως ὑπάρχουν μερικοὶ ἀπὸ σᾶς, ποὺ δὲν πιστεύουν». Πάλιν κατὰ τὴν συνήθειάν του περιβάλλει τὴν ἀξίωσίν του μὲ τὰ λόγια, προλέγων τὰ μέλλοντα καὶ βεβαιώνων ὅτι δὲν ἔλεγεν αὐτὰ ἐπειδὴ ἐπεθύμει νὰ δοξασθῇ ἀπὸ ἐκείνους, ἀλλ' ἐπειδὴ ἐφρόντιζε περὶ ἐκείνων. Ὅταν δὲ εἶπε, «Μερικοί», ὑπελόγιζε τοὺς μαθητάς. Διότι εἰς τὴν ἀρχὴν ἔλεγεν· «Ἂν καὶ μὲ εἴδατε, ὅμως δὲν μὲ πιστεύετε». Καὶ τώρα ἐδῶ λέγει· «Ὑπάρχουν μερικοὶ ἀπὸ σᾶς, ποὺ δὲν πιστεύουν. Διότι ἤξευρεν ἀπὸ τὴν ἀρχὴν ποῖοι εἶναι ἐκεῖνοι ποὺ δὲν πιστεύουν καὶ ποῖος εἶναι ἐκεῖνος, ποὺ θὰ τὸν παραδώσῃ. Καὶ ἔλεγε. Διὰ τοῦτο σᾶς εἶπα, ὅτι κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ εἰς ἐμέ, ἐὰν δὲν ἔχῃ δοθῇ αὐτὸ ἄνωθεν ἀπὸ τὸν Πατέρα μου».

Ὁ Εὐαγγελιστὴς ὑπαινίσσεται τὴν ἑκουσίαν οἰκονομίαν καὶ δύναμιν τοῦ Χριστοῦ. Τό, «Ἀπὸ τὴν ἀρχήν», δὲν ἐτέθη ἐδῶ χωρὶς αἰτίαν, ἀλλὰ διὰ νὰ καταλάβῃς τὴν ἄνωθεν πρόγνωσιν καὶ ὅτι ὁ Χριστὸς ἐγνώριζε τὸν προδότην πρὶν ἀπὸ αὐτὰ τὰ λόγια καὶ ὄχι μετὰ τὸν γογγυσμόν, οὔτε μετὰ τὸν σκανδαλισμόν των, ἀλλὰ πρὶν ἀπὸ αὐτά, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις τῆς θεότητος. Ἔπειτα ἐπρόσθεσεν· «Ἐὰν δὲν ἔχῃ δοθῇ τοῦτο ἄνωθεν ἀπὸ τὸν Πατέρα μου», διὰ νὰ τοὺς πείσῃ νὰ θεωροῦν Πατέρα του τὸν Θεόν, ἀλλ' ὄχι τὸν Ἰωσὴφ καὶ διὰ νὰ ἀποδείξῃ, ὅτι δὲν ἦτο τυχαῖον νὰ πιστεύουν εἰς αὐτόν. Εἶναι σὰν νὰ τοὺς λέγῃ· Δὲν μὲ ταράσσουν, οὔτε μὲ παραξενεύουν ὅσοι δὲν μὲ πιστεύουν.

πιστεύοντες· οἶδα τοῦτο ἄνωθεν πρὶν ἢ γενέσθαι· οἶδα τίσιν ἔδωκεν ὁ Πατήρ.

3. Ὅταν δὲ ἀκούσῃς, ὅτι «Δέδωκε», μὴ ἀποκλήρωσιν ἁπλῶς νόμιζε, ἀλλ' ἐκεῖνο πίστευε, ὅτι ὁ παρασχὼν ἑαυτὸν ἄξιον τοῦ λαβεῖν, αὐτὸς ἔλαβεν. «Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ' αὐτοῦ περιεπάτουν». Καλῶς καὶ ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ἀνεχώρησαν, ἀλλά, «Ἀπῆλθον εἰς τὸ ὀπίσω», δηλῶν ὅτι τῆς κατὰ ἀρετὴν ἐπιδόσεως ὑπετέμοντο, καὶ ὅτι ἣν εἶχον πάλαι πίστιν ἀπώλεσαν, ἀποσχίσαντες ἑαυτούς. Ἀλλ' οὐχ οἱ δώδεκα τοῦτο ἔπαθον. Διὸ καί φησι πρὸς αὐτούς· «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;», δεικνὺς πάλιν ὅτι οὐ δεῖται τῆς διακονίας αὐτῶν καὶ τῆς θεραπείας, οὐδὲ διὰ τοῦτο αὐτοὺς περιῆγεν ἐπιδεικνύμενος. Πῶς γὰρ ὁ καὶ τούτοις ταῦτα λέγων;

Διατί οὖν αὐτοὺς μὴ ἐπήνεσε; διατί μὴ ἐθαύμασεν; Ὁμοῦ μὲν τὸ τοῦ διδασκάλου πρέπον ἀξίωμα τηρῶν, ὁμοῦ δὲ δεικνύς, ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι ἔδει τοῦ τρόπου. Εἰ μὲν γὰρ ἐπήνεσε, νομίζοντες αὐτῷ χάριν διδόναι, κἂν ἔπαθόν τι ἀνθρώπινον· τῷ δὲ δεικνῦναι μὴ δεόμενον αὐτὸν τῆς ἀκολουθήσεως αὐτῶν, κατεῖχε μᾶλλον. Καὶ ὅρα πῶς αὐτὸ συνετῶς εἴρηκεν. Οὐ γὰρ εἶπεν, Ἀπέλθετε· τοῦτο γὰρ ἀπωθουμένου ἦν· ἀλλ' ἐρωτᾷ λέγων, «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;». Ὅπερ πᾶσαν ἦν ἀφαιροῦντος βίαν καὶ ἀνάγκην, καὶ οὐ βουλομένου αἰδοῖ τινι προσηρτῆσθαι, ἀλλὰ μετὰ τοῦ χάριν εἰδέναι. Τῷ δὲ μήτε ἐκείνων κατηγορῆσαι φανερῶς, ἀλλ' ἠρέμα καθάψασθαι, ἔδειξεν ὅπως δεῖ φιλοσοφεῖν ἐν τοῖς τοιούτοις.

Ἡμεῖς δὲ τἀναντία πάσχομεν· εἰκότως, ἐπειδὴ τῆς

Αὐτὸ τὸ ξεύρω ἄνωθεν, πρὶν συμβῇ. Γνωρίζω εἰς ποίους ἔδωσεν αὐτὸ ὁ Πατήρ.

3. Ὅταν ἀκούῃς τὴν λέξιν, «Ἔδωσε», νὰ μὴ νομίζῃς ὅτι πρόκειται διὰ κάποιον κλῆρον, ἀλλὰ νὰ πιστεύῃς, ὅτι ἐκεῖνος ποὺ κατέστησε τὸν ἑαυτόν του ἄξιον νὰ λάβῃ, αὐτὸς λαμβάνει. «Δι' αὐτὸν τὸν λόγον πολλοὶ ἀπὸ τοὺς μαθητάς του ἔφυγαν καὶ δὲν ἐπήγαιναν πλέον μαζί του». Ὀρθῶς δὲν εἶπεν ὁ Εὐαγγελιστὴς ἀνεχώρησαν, ἀλλὰ «Ἔφυγαν», διὰ νὰ δείξῃ ὅτι ἀπεκλείσθησαν ἀπὸ τὴν μάθησιν τῆς ἀρετῆς καὶ ὅτι μὲ τὸ ν' ἀποσχισθοῦν, ἔχασαν τὴν πίστιν ποὺ εἶχαν προηγουμένως. Ἀλλ' οἱ δώδεκα μαθηταὶ δὲν ἔπαθαν τοῦτο. Δι' αὐτὸ καὶ λέγει πρὸς αὐτούς· «Μήπως θέλετε νὰ φύγετε καὶ σεῖς;», διὰ νὰ δείξῃ πάλιν, ὅτι δὲν χρειάζεται τὴν διακονίαν των καὶ τὴν ὑπηρεσίαν των καὶ ὅτι δὲν τοὺς περιέφερε μαζί του διὰ λόγους ἐπιδείξεως. Διότι, πῶς θὰ συνέβαινεν αὐτὸ τὴν στιγμὴν ποὺ τοὺς ἔλεγεν ὅλα αὐτά;

Διατί λοιπὸν δὲν τοὺς ἐπήνεσε; Διατί δὲν τοὺς ἐγκωμίασεν; Ἀφ' ἑνὸς μὲν ἐπειδὴ ἤθελε νὰ τηρήσῃ τὴν ἀξιοπρέπειαν ποὺ ἁρμόζει εἰς τὸν διδάσκαλον καὶ ἀφ' ἑτέρου διότι μᾶλλον μὲ αὐτὸν τὸν τρόπον ἔπρεπε νὰ τοὺς προσελκύσῃ. Διότι, ἂν τὸν ἐπαινοῦσαν, θέλοντες νὰ τὸν εὐχαριστήσουν, θὰ ἐπάθαιναν ὅ,τι συμβαίνει μὲ τοὺς ἀνθρώπους. Ἀλλὰ τὸ νὰ τοὺς δείξῃ, ὅτι δὲν εἶχεν ἀνάγκην τῆς συνοδείας των, τοὺς συγκρατοῦσε περισσότερον. Καὶ πρόσεχε μὲ πόσην σωφροσύνην εἶχεν ὁμιλήσει. Δὲν τοὺς εἶπε δηλαδὴ 'Φύγετε', διότι ἔτσι θὰ τοὺς ἀπωθοῦσεν, ἀλλὰ τοὺς ἐρωτᾷ· «Μήπως θέλετε καὶ σεῖς νὰ φύγετε;». Μὲ αὐτὸ ἀφαιρεῖ κάθε βίαν καὶ ἀνάγκην καὶ δὲν κρατεῖ κανένα ποὺ δὲν θέλει νὰ μείνῃ ἀπὸ ἐντροπήν, ἀλλὰ τοὺς κάμνει καὶ χάριν. Τὸ ὅτι δὲν κατηγόρησεν ἐκείνους φανερὰ ἀλλὰ μὲ ἠρεμίαν τοὺς ἔθιξε, ἔδειξε μὲ ποῖον τρόπον πρέπει νὰ σκέπτεται κανεὶς εἰς παρομοίας περιπτώσεις.

Ἡμεῖς ὅμως δικαίως παθαίνομεν τὰ ἀντίθετα, ἐπειδὴ τὰ

οἰκείας ἐχόμενοι δόξης, ἅπαντα πράττομεν. Διὸ καὶ ἐλαττοῦσθαι νομίζομεν τὰ ἡμέτερα διὰ τῆς ἀναχωρήσεως τῶν θεραπευόντων. Οὕτως δὲ οὔτε ἐκολάκευσεν, οὔτε διεκρούσατο, ἀλλ᾽ ἠρώτησεν. Οὐκ ἄρα καταφρονοῦντος ἦν, ἀλλὰ μὴ βουλομένου βίᾳ καὶ ἀνάγκῃ κατέχεσθαι. Τὸ γὰρ οὕτω μένειν ἴσον ἐστὶ τοῦ ἀπελθεῖν. Τί οὖν ὁ Πέτρος; «Πρὸς τίνα ἀπελευσόμεθα; Ρήματα ζωῆς αἰωνίου ἔχεις. Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Ὁρᾷς ὅτι οὐ τὰ ρήματα ἦν τὰ σκανδαλίζοντα, ἀλλ᾽ ἡ ἀπροσεξία καὶ ἡ ραθυμία καὶ ἡ ἀγνωμοσύνη τῶν ἀκουόντων; Καὶ γὰρ καὶ εἰ μὴ εἶπεν, ἐσκανδαλίσθησαν ἄν, καὶ οὐκ ἂν ἐπαύσαντο, τροφῇ προσέχοντες ἀεὶ σωματικῇ, καὶ τῇ γῇ προσηλωμένοι.

Ἄλλως δὲ καὶ οὗτοι μετ᾽ ἐκείνων ἤκουον· ἀλλ᾽ ὅμως τἀναντία ἐκείνων ἀπεφήναντο λέγοντες· «Πρὸς τίνα ἀπελευσόμεθα;». Πολλῆς τὸ ρῆμα φιλοστοργίας ἐμφαντικόν. Δείκνυσι γὰρ ὅτι παντὸς αὐτοῖς ἐστιν ὁ Διδάσκαλος τιμιώτερος, καὶ πατέρων, καὶ μητέρων, καὶ τῶν ὄντων ἁπάντων, καὶ ἀποστάντας αὐτοῦ οὐκ ἔνι λοιπὸν ποῦ καταφυγεῖν. Εἶτα, ἵνα μὴ δοκῇ τό, «Πρὸς τίνα ἀπελευσόμεθα;», διὰ τοῦτο εἰρηκέναι αὐτόν, ὡς οὐκ ὄντων τῶν ὑποδεξαμένων αὐτούς, εὐθέως ἐπήγαγε· «Ρήματα ζωῆς αἰωνίου ἔχεις». Οἱ μὲν γὰρ σαρκικῶς καὶ μετὰ λογισμῶν ἀνθρωπίνων ἤκουον, οὗτοι δὲ πνευματικῶς, καὶ τῇ πίστει τὸ πᾶν ἐπιτρέποντες. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε· «Πνεῦμά ἐστι τὰ ρήματα, ἃ λελάληκα ὑμῖν»· τουτέστι, μὴ ὑπολάβῃς τῇ τῶν πραγμάτων ἀκολουθίᾳ, καὶ τῇ τῶν γινομένων ἀνάγκῃ τῶν ρημάτων τῶν ἐμῶν τὴν διδασκαλίαν ὑποκεῖσθαι. Οὐ τοιαῦτα τὰ πνευματικά· οὐκ ἀνέχεται δουλεύειν νόμοις τοῖς ἐπὶ γῆς.

Τοῦτο καὶ Παῦλος δηλοῖ, λέγων, «Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν

πράττομεν ὅλα ἐξ αἰτίας τῆς δόξης μας. Δι' αὐτὸ νομίζομεν, ὅτι μειωνόμεθα, ὅταν φύγουν ἐκεῖνοι ποὺ μᾶς κολακεύουν. 'Αλλ' ὁ Χριστὸς οὔτε ἐκολάκευσεν, οὔτε τοὺς ἀπέκρουσεν, ἀλλὰ τοὺς ἠρώτησεν. Ἐπομένως δὲν τοὺς περιεφρόνησεν, ἀλλὰ δὲν ἤθελε νὰ παραμείνουν μὲ τὴν βίαν καὶ ἀπὸ ἀνάγκην. Διότι τὸ νὰ μένουν ἔτσι, ἦτο τὸ ἴδιο σὰν νὰ ἔφυγαν. Τί ἀπήντησεν ὁ Πέτρος; «Εἰς ποῖον νὰ ἀπέλθωμεν; Ἔχεις λόγια ζωῆς αἰωνίου καὶ ἡμεῖς ἔχομεν πιστεύσει καὶ γνωρίσει ὅτι σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Βλέπεις, ὅτι δὲν ἦσαν τὰ λόγια ποὺ σκανδαλίζουν, ἀλλ' ἡ ἀπροσεξία, ἡ ραθυμία καὶ ἡ ἀγνωμοσύνη τῶν ἀκροατῶν; Διότι καὶ ἂν ἀκόμη δὲν ὡμίλει, πάλιν θὰ ἐσκανδαλίζοντο καὶ δὲν θὰ ἔπαυαν νὰ προσέχουν συνεχῶς εἰς τὴν σωματικὴν τροφὴν καὶ νὰ εἶναι προσηλωμένοι εἰς τὰ γήϊνα.

'Αλλὰ καὶ οἱ μαθηταὶ ἤκουαν τὰ λόγια του μαζὶ μὲ τοὺς 'Ιουδαίους, ὅμως ὡμίλησαν κατὰ τρόπον ἀντίθετον πρὸς ἐκείνους· «Εἰς ποῖον νὰ ἀπέλθωμεν;». Αὐτὴ ἡ λέξις φανερώνει μεγάλην φιλοστοργίαν. Διότι δεικνύει, ὅτι αὐτὸς εἶναι ὁ Διδάσκαλος τοῦ παντὸς πολυτιμότερος καὶ ἀπὸ τοὺς πατέρας καὶ ἀπὸ τὰς μητέρας καὶ ἀπὸ ὅλα τὰ ὑπάρχοντα, καὶ ἂν φύγουν ἀπὸ αὐτόν, δὲν ξεύρει κανεὶς ποῦ νὰ ὑπάγῃ. Ἔπειτα, διὰ νὰ φανῇ ὅτι αὐτὸ τό «Εἰς ποῖον ν' ἀπέλθωμεν;», δὲν τὸ εἶπεν ὁ Πέτρος, ἐπειδὴ δὲν ὑπῆρχον ἄνθρωποι νὰ τοὺς δεχθοῦν, προσέθεσεν ἀμέσως· «Ἔχεις λόγια ζωῆς αἰωνίου». Οἱ μὲν 'Ιουδαῖοι ἤκουον τὰ λόγια τοῦ Χριστοῦ σαρκικῶς καὶ μὲ ἀνθρωπίνην λογικήν, οἱ μαθηταί του ὅμως πνευματικῶς καὶ ἀφήνοντες τὸ πᾶν εἰς τὴν πίστιν. Δι' αὐτὸ καὶ ὁ Χριστὸς ἀπήντησε· «Τὰ λόγια ποὺ σᾶς εἶπα, εἶναι πνεῦμα», δηλαδὴ νὰ μὴ νομίσῃς ὅτι ἡ διδασκαλία τῶν λόγων μου ὑπόκειται εἰς τὴν συνέπειαν τῶν πραγμάτων καὶ εἰς τὴν ἀνάγκην. Διότι δὲν εἶναι τέτοια τὰ πνευματικὰ καὶ δὲν ἀνέχονται νὰ ὑπακούουν εἰς τοὺς γηΐνους νόμους.

Τοῦτο διακηρύσσει καὶ ὁ Παῦλος μὲ τὰ ἑξῆς λόγια· «Μὴ εἴπῃς εἰς τὴν καρδίαν σου, ποῖος θὰ ἀνεβῇ εἰς τὸν οὐρανόν;

καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ρήματα ζωῆς αἰωνίου ἔχεις». Ἤδη τὴν ἀνάστασιν οὗτοι παρεδέξαντο καὶ τὴν ἐκεῖ λῆξιν ἅπασαν. Ὅρα δὲ τὸν φιλάδελφον, τὸν φιλόστοργον, πῶς ὑπὲρ παντὸς ἀπολογεῖται τοῦ χοροῦ· οὐ γὰρ εἶπεν Ἔγνωκα, ἀλλ' «Ἐγνώκαμεν»· μᾶλλον δὲ σκόπει πῶς ἐπ' αὐτῶν ἔρχεται τῶν ρημάτων τοῦ διδασκάλου, οὐ τὰ αὐτὰ τοῖς Ἰουδαίοις φθεγγόμενος. Οἱ μὲν γὰρ ἔλεγον· «Οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ»· οὗτος δέ, ὅτι «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»· καί, ὅτι «Ρήματα ζωῆς αἰωνίου ἔχεις»· τάχα πολλάκις ἀκούσας αὐτοῦ λέγοντος, ὅτι «Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον». Ἔδειξε γὰρ ὅτι πάντα κατέχει τὰ εἰρημένα, αὐτῶν ἀναμνήσας τῶν ρημάτων.

Τί οὖν ὁ Χριστός; Οὐκ ἐπήνεσε τὸν Πέτρον, οὐδὲ ἐθαύμασε, καίτοι ἀλλαχοῦ τοῦτο ποιήσας· ἀλλὰ τί φησιν; «Οὐχὶ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν;». Επειδὴ γὰρ εἶπε «Καὶ ἡμεῖς πεπιστεύκαμεν», ἐξαιρεῖ τοῦ χοροῦ τὸν Ἰούδαν. Ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ τῶν μαθητῶν αὐτὸς εἶπε, ἀλλὰ τοῦ Χριστοῦ εἰπόντος· «Ὑμεῖς δὲ τίνα με λέγετε;», φησί· «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Ἐνταῦθα δὲ ἐπειδὴ εἶπε, «Καὶ ἡμεῖς πεπιστεύκαμεν», εἰκότως οὐκ ἀφίησι τὸν Ἰούδαν εἰς τὸν ἐκείνων χορόν. Τοῦτο δὲ ἐποίει, πόρρωθεν καὶ ἄνωθεν τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος, εἰδὼς μὲν ὅτι οὐδὲν ὀνήσει, τὸ δὲ ἑαυτοῦ πράττων.

4. Καὶ θέα τὴν σοφίαν· οὔτε αὐτὸν φανερὸν ἐποίησεν, οὔτε λαθεῖν εἴασεν ἐκεῖνο μέν, ἵνα μὴ ἀναισχυνθῇ καὶ φιλο-

3α. Ρωμ. 10, 6 - 7.
4. Ματθ. 16, 15.

διὰ νὰ κατεβάσῃ δηλαδὴ τὸν Χριστόν, ἢ ποῖος θὰ κατεβῇ εἰς τὴν χώραν τῶν νεκρῶν; διὰ ν' ἀνεβάσῃ δηλαδὴ τὸν Χριστὸν ἀπὸ τοὺς νεκρούς. Ἔχεις λόγια ζωῆς αἰωνίου»[3α]. Ἤδη οἱ μαθηταὶ εἶχαν παραδεχθῆ τὴν ἀνάστασιν καὶ τὴν κατάληξιν τῶν πάντων εἰς αὐτήν. Πρόσεχε, σὲ παρακαλῶ, πόσον φιλάδελφος καὶ φιλόστοργος ὑπῆρξεν ὁ Πέτρος καὶ πῶς λαμβάνει τὸν λόγον ἐκ μέρους ὅλης τῆς ὁμάδος τῶν μαθητῶν. Διότι δὲν εἶπεν, Ἔχω γνωρίσει, ἀλλὰ «Ἔχομεν γνωρίσει» ἢ καλύτερα πρόσεχε, πῶς συμφωνεῖ μὲ τὰ λόγια τοῦ διδασκάλου καὶ δὲν λέγει τὰ ἴδια μὲ τοὺς Ἰουδαίους. Διότι αὐτοὶ μὲν ἔλεγαν, «Αὐτὸς εἶναι ὁ υἱὸς τοῦ Ἰωσήφ», ἐνῷ ὁ Πέτρος διεκήρυσσε· «Σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος», καὶ «Ἔχεις λόγια ζωῆς αἰωνίου», ἴσως ἐπειδὴ πολλὰς φορὰς εἶχεν ἀκούσει τὸν Χριστὸν νὰ λέγῃ τοῦτο. «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον». Μὲ τὰ λόγια αὐτὰ ποὺ ἐνεθυμήθη ὁ Πέτρος, ἀπέδειξεν ὅτι ἐγνώριζεν ὅλα, ὅσα εἶχεν εἰπεῖ ὁ Χριστός.

Τί ἀπήντησεν ὁ Χριστός; Οὔτε ἐπήνεσεν οὔτε ἐκολάκευσε τὸν Πέτρον, ἂν καὶ εἰς ἄλλην περίπτωσιν τὸ εἶχε κάμει. Ἀλλὰ τί λέγει; «Δὲν ἐδιάλεξα ἐγὼ ἐσᾶς τοὺς δώδεκα; Καὶ ὅμως ἕνας ἀπὸ σᾶς εἶναι διάβολος». Ὅταν δηλαδὴ ὁ Πέτρος εἶπε, «Καὶ ἡμεῖς ἔχομεν πιστεύσει», ἐξαιρεῖ ἀπὸ τὸν ἀριθμὸν τῶν μαθητῶν τὸν Ἰούδαν. Διότι ὁ Ματθαῖος δὲν εἶπε τίποτε περὶ τῶν μαθητῶν, ἀλλ' ὅταν ὁ Χριστὸς ἠρώτησε τὸν Πέτρον, «Σεῖς ποῖος λέγετε ὅτι εἶμαι;», οὗτος ἀπήντησε· «Σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»[4]. Ἐδῶ ὅμως, ὅταν ὁ Πέτρος εἶπε, «Καὶ ἡμεῖς ἔχομεν πιστεύσει», ὀρθῶς ὁ Χριστὸς δὲν περιλαμβάνει τὸν Ἰούδαν εἰς τὸν χορὸν τῶν μαθητῶν. Ἔκαμνε δὲ τοῦτο, διὰ ν' ἀποκρούσῃ ἤδη ἐκ τῶν προτέρων τὴν ἀπιστίαν τοῦ προδότου, ἂν καὶ ἐγνώριζεν, ὅτι εἰς οὐδὲν θὰ ὠφελήσῃ, ἀλλ' ὅτι ἔκαμεν, ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτόν.

4. Καὶ παρατήρησε τὴν σοφίαν του. Οὔτε τὸν Ἰούδαν ἀπεκάλυψεν, οὔτε ἄφησε νὰ μείνῃ κρυπτόν, ἀφ' ἑνὸς μὲν

νεικότερος γένηται· τοῦτο δέ, ἵνα μὴ νομίζων λανθάνειν, ἀδεῶς ἐργάσηται τὸ τόλμημα. Διὸ καὶ προϊὼν φανερωτέρους ἐπάγει τοὺς ἐλέγχους. Πρότερον μὲν γὰρ καὶ αὐτὸν μετὰ τῶν ἄλλων ἠρίθμησεν, εἰπών, ὅτι «Εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν» (ὅτι δὲ καὶ τὸν προδότην ἠρίθμησεν, ἐδήλωσεν εἰπὼν ὁ εὐαγγελιστής. «Ἤδει γὰρ ἐξ ἀρχῆς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν»)· ἐπειδὴ δὲ ἐνέμεινε, σφοδρότερον ἐπάγει τὸν ἔλεγχον, «Εἷς ἐξ ὑμῶν διάβολός ἐστιν», καὶ κοινὸν πᾶσι τὸν φόβον καθίστησιν, ἐκεῖνον συσκιάσαι βουλόμενος.

Ἄξιον δὲ ἐνταῦθα διαπορῆσαι, τί δήποτε νῦν μὲν οὐδὲν λέγουσιν οἱ μαθηταί, ὕστερον δὲ δεδοίκασι καὶ διαποροῦνται πρὸς ἀλλήλους ὁρῶντες καὶ πυνθανόμενοι, «Μή τι ἐγώ εἰμι, Κύριε;». Καὶ τῷ Ἰωάννῃ ὁ Πέτρος ἐννεύει μαθεῖν τὸν προδότην, καὶ πυθέσθαι τοῦ Διδασκάλου τίς ἐστιν. Τί ποτε οὖν ἐστι τὸ αἴτιον; Οὔπω ἦν ὁ Πέτρος ἀκούσας, «Ὕπαγε ὀπίσω μου, σατανᾶ». Διὰ τοῦτο οὐδέ τι δέος εἶχεν· ἐπειδὴ δὲ ἐπετιμήθη, καὶ ἀπὸ πολλῆς διαθέσεως εἰπών, οὐκ εὐδοκίμησεν, ἀλλὰ καὶ σατανᾶς ἤκουσεν· ἀκούων ὅτι «Εἷς ἐξ ὑμῶν παραδώσει με», εἰκότως λοιπὸν ἔδεισε. Ἄλλως δέ, οὐδὲ νῦν φησιν, «Εἷς ἐξ ὑμῶν παραδώσει με», ἀλλ' «Εἷς ἐξ ὑμῶν διάβολός ἐστι». Διόπερ οὐδὲ ᾔδεσαν τὸ λεγόμενον, ἀλλὰ πονηρίας ᾤοντο σκώπτεσθαι μόνον.

Τί δήποτε δὲ τὸ «Οὐχὶ ἐγὼ ὑμᾶς», εἶπεν, «τοὺς δώδεκα ἐξελεξάμην καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν;». Κολακείας ἀπηλλαγμένην αὐτοῦ τὴν διδασκαλίαν δεικνύς. Ἐπειδὴ γὰρ

---

5. Ματθ. 26, 22.

διὰ νὰ μὴ γίνῃ ἐκεῖνος ἀναιδέστερος καὶ σκληρότερος, ἀφ' ἑτέρου δὲ διὰ νὰ μὴ νομίζῃ ὅτι διαφεύγει τῆς προσοχῆς του καὶ ὡς ἐκ τούτου κάμῃ τὸ ἔγκλημά του μὲ μεγαλυτέραν ἀναίδειαν. Δι' αὐτὸ εἰς τὰ ἑπόμενα ὁ Χριστὸς τὸν ἐλέγχει αὐστηρότερον. Διότι προηγουμένως ἀπηρίθμησε τὸν 'Ιούδαν μαζὶ μὲ τοὺς ἄλλους καὶ συγκεκριμένως ὅταν εἶπεν «Καὶ ὅμως ὑπάρχουν μερικοὶ ἀπὸ σᾶς, ποὺ δὲν πιστεύουν» (ἄλλωστε ὁ Εὐαγγελιστὴς ἀπηρίθμησε καὶ τὸν προδότην καὶ φαίνεται ἀπὸ αὐτὸ ποὺ λέγει· «Διότι ἐγνώριζεν ἀπὸ τὴν ἀρχὴν ὁ 'Ιησοῦς, ποῖοι εἶναι ἐκεῖνοι ποὺ δὲν πιστεύουν καὶ ποῖος εἶναι ἐκεῖνος ποὺ θὰ τὸν παραδώσῃ»), ἐπειδὴ ὅμως ἐκεῖνος ἐπέμενεν, ὁ Χριστὸς τὸν ἐλέγχει αὐστηρότερον. «Ἕνας ἀπὸ σᾶς εἶναι ὁ διάβολος» καὶ ἐμβάλλει τὸν φόβον ἀπὸ κοινοῦ εἰς ὅλους, διὰ ν' ἀποκρύψῃ τὸν 'Ιούδαν.

'Εδῶ εἶναι ἄξιον ἀπορίας, διατί τώρα οἱ μαθηταὶ δὲν λέγουν τίποτε, καταλαμβάνονται ὅμως ἀπὸ φόβον καὶ ἀπορίαν ἀργότερα κοιτάζοντες ὁ ἕνας τὸν ἄλλον καὶ προσπαθοῦντες νὰ πληροφορηθοῦν, «Μήπως εἶμαι ἐγώ, Κύριε;»[5]. Καὶ ὁ Πέτρος κάμνει νόημα εἰς τὸν 'Ιωάννην νὰ ἐρωτήσῃ καὶ νὰ μάθῃ ἀπὸ τὸν διδάσκαλον, ποῖος εἶναι ὁ προδότης. Ποία εἶναι λοιπὸν ἡ αἰτία; Δὲν εἶχεν ἀκούσει ἀκόμη ὁ Πέτρος τὴν φράσιν τοῦ Χριστοῦ, «Ὕπαγε ὀπίσω μου, σατανᾶ». Δὲν εἶχεν ὅμως κανέναν φόβον διὰ τοῦτο, ὅταν δὲ ἐπεπλήχθη καὶ μάλιστα ἐπειδὴ εἶχεν ὁμιλήσει εἰς τὸν Χριστὸν μὲ καλὴν διάθεσιν, ὄχι μόνον δὲν ἐπῃνέθη, ἀλλὰ ἤκουσε καὶ τὴν λέξιν σατανᾶ. Ὅταν ὅμως ἤκουσεν ἀπὸ τὸν Χριστόν, «Ἕνας ἀπὸ σᾶς θὰ μὲ προδώσῃ», δικαίως ἐφοβήθη. Καὶ μάλιστα εἰς τὴν παροῦσαν περίπτωσιν ὁ Χριστὸς δὲν εἶπεν, «Ἕνας ἀπὸ σᾶς θὰ μὲ προδώσῃ», ἀλλὰ «Ἕνας ἀπὸ σᾶς εἶναι διάβολος». Δι' αὐτὸ οἱ μαθηταὶ δὲν ἐκατάλαβαν τὸν λόγον του, ἀλλ' ἐνόμιζαν ὅτι τοὺς ἐπιπλήττει ὡς πονηρούς.

Διατί λοιπὸν εἶπεν εἰς τοὺς μαθητάς του, «'Εγὼ δὲν ἐδιάλεξα σᾶς τοὺς δώδεκα καὶ ὅμως ἕνας ἀπὸ σᾶς εἶναι διάβολος»; Ἔκαμε τοῦτο, διὰ νὰ δείξῃ ὅτι ἡ διδασκαλία του

πάντων αὐτὸν ἐγκαταλειψάντων αὐτοὶ παρέμειναν μόνοι, καὶ διὰ τοῦ Πέτρου ὡμολόγουν εἶναι Χριστόν, ἵνα μὴ νομίσωσιν ὅτι διὰ τοῦτο ἔμελλεν αὐτοὺς κολακεύειν, ἀπάγει ταύτης τῆς ὑποψίας. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οὐδέν με δυσωπεῖ πρὸς τὸ τοὺς κακοὺς μὴ ἐλέγχειν· μὴ νομίσητε ὅτι ἐπειδὴ ἐπεμείνατε, κολακεῦσαι ὑμᾶς αἱρήσομαι ἢ ἐπειδὴ ἠκολουθήσατε, οὐκ ἐλέγχω τοὺς πονηρούς. Ὃ γὰρ πολὺ τούτου μεῖζόν ἐστιν εἰς τὸ δυσωπῆσαι τὸν διδάσκαλον, οὐδὲ τοῦτό με δυσωπεῖ. Ὁ μὲν γὰρ παραμένων, τῆς αὐτοῦ φιλοστοργίας παρέχεται τεκμήριον· ὁ δὲ ἐκλεγεὶς παρὰ τοῦ διδασκάλου, περιάπτει δόξαν ἀνοίας, ἐκριπτούμενος παρὰ τοῖς ἀνοήτοις.

Ἀλλ' ὅμως οὐδὲ τοῦτό με ἀπάγει τῶν ἐλέγχων. Τοῦτο γοῦν καὶ νῦν ἐγκαλοῦσι τῷ Χριστῷ Ἕλληνες ψυχρῶς καὶ ἀνοήτως. Οὐ γὰρ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν ἀγαθοὺς εἴωθεν ὁ Θεός, οὐδὲ ἡ ἐκλογὴ αὐτοῦ καὶ ἡ αἵρεσις βιαστικὴ τῶν καλουμένων ἐστίν, ἀλλὰ προτρεπτική. Καὶ ἵνα μάθῃς, ὅτι οὐ βιάζεται ἡ κλῆσις, σκόπει πόσους συνέβη τῶν κληθέντων ἀπολέσθαι. Ὅθεν φανερόν, ὅτι καὶ ἐν τῇ γνώμῃ κεῖται τῇ ἡμετέρᾳ, τὸ σωθῆναι καὶ ἀπολέσθαι.

5. Ταῦτα οὖν ἀκούοντες, παιδευώμεθα νήφειν ἀεὶ καὶ ἐγρηγορέναι. Εἰ γὰρ ὁ εἰς τὸν ἅγιον ἐκεῖνον χορὸν τελῶν, ὁ τοσαύτης ἀπολελαυκὼς δωρεᾶς, ὁ σημεῖα πεποιηκὼς (καὶ γὰρ καὶ αὐτὸς μετὰ τῶν ἄλλων ἦν τῶν πεμφθέντων νεκροὺς ἐγεῖραι καὶ λεπροὺς καθαρίσαι), ἐπειδὴ ἑάλω νοσήματι δεινῷ τῷ τῆς φιλαργυρίας κακῷ, καὶ τὸν Δεσπότην τὸν ἑαυτοῦ προὔδωκεν, οὐδὲν αὐτὸν ὠφέλησαν, οὔτε αἱ εὐεργεσίαι, οὐχ αἱ δωρεαί, οὐ τὸ μετ' αὐτοῦ εἶναι, οὐ θεραπεία,

ἦτο ἀπηλλαγμένη ἀπὸ κολακείαν. Διότι, ὅταν ὅλοι τὸν εἶχαν ἐγκαταλείψει καὶ ἔμειναν πλησίον του μόνον οἱ μαθηταί του, οἱ ὁποῖοι μὲ τὸ στόμα τοῦ Πέτρου ὡμολόγησαν, ὅτι αὐτὸς εἶναι ὁ Χριστός, διὰ νὰ μὴ νομίσουν ὅτι θὰ τοὺς ἐκολάκευε δι' αὐτὸν τὸν λόγον, τοὺς ἀφαιρεῖ αὐτὴν τὴν ὑποψίαν. Τὰ λόγια του λοιπὸν σημαίνουν· Τίποτε δὲν μ' ἐμποδίζει νὰ μὴ ἐλέγχω τοὺς κακούς. Μὴ φαντασθῆτε, ὅτι θὰ προτιμήσω νὰ σᾶς κολακεύσω, ἐπειδὴ ἐμείνατε μαζί μου, ἢ ἐπειδὴ μὲ ἠκολουθήσατε, δὲν θὰ ἐλέγξω τοὺς πονηρούς. Διότι ἐκεῖνο ποὺ ἠμπορεῖ πάρα πολὺ νὰ κάμψῃ τὸν διδάσκαλον, τοῦτο δὲν μὲ κάμπτει. Διότι ἐκεῖνος ποὺ παραμένει, δίδει ἀπόδειξιν τῆς ἀγάπης του, καὶ ἐκεῖνος ποὺ ἔχει ἐκλεγεῖ ἀπὸ τὸν διδάσκαλον, εἶναι ἀνόητος, ἐὰν ἀντικρούεται ἀπὸ τοὺς ἀνοήτους.

'Αλλ' οὔτε τοῦτο μὲ ἀποτρέπει ἀπὸ τὸν ἔλεγχον. Διότι αὐτὴν τὴν κατηγορίαν ἀπευθύνουν ἐναντίον τοῦ Χριστοῦ οἱ εἰδωλολάτραι, ἀλλὰ ψυχρῶς καὶ ἀνοήτως. Διότι ὁ Θεὸς δὲν κάμνει συνήθως τοὺς ἀνθρώπους καλοὺς μὲ τὸν ἐξαναγκασμὸν καὶ μὲ τὴν βίαν, οὔτε ἡ ἐκλογὴ καὶ ἡ προτίμησίς του διὰ τοὺς κλητοὺς γίνεται μὲ τὴν βίαν, ἀλλὰ μὲ τὴν προτροπήν. Καὶ διὰ νὰ μάθῃς, ὅτι ἡ κλῆσις δὲν γίνεται μὲ τὴν βίαν, νὰ ἐξετάσῃς, πόσοι ἀπὸ τοὺς κληθέντας συνέβη νὰ χαθοῦν. Ἑπομένως εἶναι φανερόν, ὅτι ἀπὸ τὴν ἰδικήν μας ἀπόφασιν ἐξαρτᾶται καὶ νὰ σωθοῦμεν καὶ νὰ χαθοῦμεν.

5. Αὐτὰ λοιπὸν ἔχοντες ὑπ' ὄψιν, ἂς ἐκπαιδευώμεθα νὰ εἴμεθα νηφάλιοι πάντοτε καὶ ν' ἀγρυπνοῦμεν. Διότι, ἐὰν ἐκεῖνος ποὺ ἀνῆκεν εἰς τὸν ἅγιον χορὸν τῶν μαθητῶν, ὁ ὁποῖος εἶχεν ἀπολαύσει, τόσην μεγάλην χάριν, ὁ ὁποῖος εἶχε κάμει θαύματα (διότι καὶ αὐτὸς εἶχεν ἀποσταλῆ μαζὶ μὲ τοὺς ἄλλους μαθητὰς νὰ ἀναστήσῃ νεκροὺς καὶ νὰ καθαρίσῃ λεπρούς), ἐκυριεύθη ἀπὸ τὸ φοβερὸν πάθος τῆς φιλαργυρίας καὶ ἐπρόδωσε τὸν Κύριόν του, εἰς τίποτε δὲν τὸν ὠφέλησαν οὔτε αἱ εὐεργεσίαι, οὔτε αἱ δωρεαί, οὔτε ἡ συναναστροφή του μὲ τὸν Χριστόν, οὔτε ἡ οἰκειότης, οὔτε τὸ

οὐ τὸ τοὺς πόδας νίψαι, οὐ τὸ τῆς τραπέζης κοινωνῆσαι, οὐ τὸ γλωσσόκομον κατέχειν, ἀλλὰ καὶ ἐφόδια αὐτῷ ταῦτα κολάσεως γέγονε· φοβηθῶμεν καὶ ἡμεῖς, μή ποτε τὸν Ἰούδαν μιμησώμεθα διὰ τῆς φιλαργυρίας.

Οὐ προδίδως τὸν Χριστόν; Ἀλλ' ὅταν περιίδῃς πένητα λιμῷ τηκόμενον, ἢ ὑπὸ ψύχους διαφθειρόμενον, τὴν αὐτὴν καὶ αὐτὸς ἐφέλκῃ καταδίκην. Καὶ ὅταν ἀναξίως μετέχωμεν τῶν μυστηρίων, ὁμοίως ἀπολλύμεθα τοῖς χριστοκτόνοις. Ὅταν ἁρπάζωμεν, ὅταν ἄγχωμεν τοὺς καταδεεστέρους, μεγίστην ἐπισπασόμεθα τὴν τιμωρίαν· καὶ μάλα εἰκότως. Μέχρι γάρ τινος ὁ ἔρως ἡμᾶς οὕτω κατέχει τῶν παρόντων πραγμάτων τῶν περιττῶν καὶ ἀνονήτων; Ὁ γὰρ πλοῦτος ἐν τοῖς περιττοῖς, ἐν οἷς οὐδὲν ὄφελος γίνεται. Μέχρι τίνος προσηλώμεθα τοῖς ματαίοις; μέχρι τίνος οὐ διαποβλέπομεν ἐν τοῖς οὐρανοῖς, οὐ νήφομεν, οὐ λαμβάνομεν κόρον τῶν γηΐνων τούτων καὶ παραρρεόντων; οὐ παιδευόμεθα διὰ τῆς πείρας αὐτῶν τὴν εὐτέλειαν; Ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν πλουτήσαντας. Οὐχὶ ὄναρ πάντα ἐκεῖνα; οὐχὶ σκιὰ καὶ ἄνθος, οὐ ῥεῦμα παραρρέον; οὐχὶ διήγημα καὶ μῦθος; Ὁ δεῖνα πεπλούτηκε· καὶ ποῦ νῦν ὁ πλοῦτος; Ἀπώλετο καὶ διέφθαρται· ἀλλὰ τὰ δι' αὐτὸν ἁμαρτήματα διαμένει, καὶ ἡ διὰ τὰ ἁμαρτήματα κόλασις. Μᾶλλον δέ, εἰ μὴ κόλασις ἦν, μηδὲ βασιλεία προὔκειτο, τὸ ὁμόφυλον καὶ τὸ ὁμογενὲς αἰδεσθῆναι ἐχρῆν, τὸ ὁμοιοπαθὲς δυσωπηθῆναι.

Νῦν δὲ κύνας μὲν τρέφομεν· πολλοὶ δὲ καὶ ὀνάγρους καὶ ἄρκτους, καὶ διάφορα θηρία· ἄνθρωπον δὲ περιορῶμεν λιμῷ τηκόμενον, καὶ τιμιώτερον ἡμῖν τὸ ἀλλότριον τοῦ συγγενοῦς, καὶ ἀτιμότερον ἡμῖν τὸ οἰκεῖον τοῦ μὴ ὄντος οὐδὲ προσήκοντος. Ἀλλ' οἰκοδομεῖσθαι λαμπρὰς οἰκίας καὶ πολ-

νήψιμον τῶν ποδῶν, οὔτε ἡ συμμετοχὴ εἰς τὴν τράπεζαν, οὔτε ἡ τήρησις τῶν λόγων, ἀλλ' ἀντιθέτως αὐτὰ ὅλα ἔγιναν ἐφόδια κολάσεως. Ἂς φυλαχθοῦμεν καὶ ἡμεῖς λοιπόν, μήπως μιμηθοῦμεν κάποτε τὸν Ἰούδαν ἕνεκα τῆς φιλαργυρίας.

Δὲν προδίδεις τὸν Χριστόν; Ἀλλ' ὅταν ἀνέχεσαι νὰ λειώνῃ ὁ πτωχὸς ἀπὸ πεῖναν ἢ νὰ πεθαίνῃ ἀπὸ κρῦο καὶ σὺ προσελκύεις τὴν ἰδίαν καταδίκην διὰ τὸν ἑαυτόν σου. Καὶ ὅταν κοινωνοῦμεν τῶν μυστηρίων χωρὶς νὰ τὸ ἀξίζωμεν, καταστρεφόμεθα ἐξ ἴσου μὲ αὐτοὺς ποὺ φονεύουν τὸν Χριστόν. Ὅταν εἴμεθα ἅρπαγες, ὅταν καταπιέζωμεν τοὺς κατωτέρους μας, θὰ προκαλέσωμεν πολὺ μεγάλην τιμωρίαν. Καὶ πολὺ δικαίως. Μέχρι πότε θὰ μᾶς κυριαρχῇ τόσον πολὺ ἡ ἐπιθυμία τῶν περιττῶν καὶ ἀνωφελῶν πραγμάτων τῆς παρούσης ζωῆς; Διότι ὁ πλοῦτος εἶναι περιττὸς καὶ δὲν παρέχει καμμίαν ὠφέλειαν. Μέχρι πότε θὰ εἴμεθα προσηλωμένοι εἰς τὰ μάταια; Μέχρι πότε δὲν θ' ἀποβλέπωμεν εἰς τοὺς οὐρανούς, δὲν θὰ λογικευώμεθα καὶ δὲν θὰ χορταίνωμεν ἀπὸ αὐτὰ τὰ πράγματα, ποὺ εἶναι γήϊνα καὶ ρευστά; Δὲν ἀντιλαμβανόμεθα τὴν μηδαμινότητά των ἀπὸ τὴν πεῖραν μας; Ἂς κοιτάξωμεν αὐτοὺς ποὺ ἐπλούτισαν πρὶν ἀπὸ ἡμᾶς. Ὅλα ἐκεῖνα δὲν ἦσαν ὄνειρον; Δὲν ἦσαν σκιὰ καὶ ἄνθος καὶ ὕδωρ ποὺ ρέει; Δὲν ἦσαν λόγια καὶ μῦθος; Ὁ τάδε εἶναι πλούσιος. Καὶ ποῦ εἶναι τώρα ὁ πλοῦτος; Ἐχάθη καὶ κατεστράφη, ἀλλὰ τὰ ἁμαρτήματα ποὺ ἔγιναν ἐξ αἰτίας του παραμένουν, ὅπως παραμένει καὶ ἡ κόλασις ἕνεκα τούτου. Ἀλλὰ καὶ ἂν ἀκόμα δὲν ὑπῆρξε κόλασις οὔτε βασιλεία, θὰ ἔπρεπε νὰ ὑπάρξῃ σεβασμὸς πρὸς τοὺς ὁμοφύλους, τοὺς συνανθρώπους καὶ τοὺς ὁμοιοπαθεῖς.

Τώρα ὅμως τρέφομεν σκύλους, πολλοὶ ἄνθρωποι μάλιστα τρέφουν ὀνάγρους καὶ ἄρκτους καὶ διάφορα ἄγρια ζῶα. Ἀνεχόμεθα ὅμως νὰ λειώνῃ ἕνας ἄνθρωπος ἀπὸ πεῖναν καὶ εἶναι δι' ἡμᾶς πολυτιμότερον τὸ ξένον γένος ἀπὸ τὸ ἰδικόν μας καὶ ἀναξιότερον τὸ ἰδικόν μας ἀπὸ ἐκεῖνο ποὺ δὲν ὑπάρχει καὶ δὲν μᾶς ἁρμόζει. Ἀλλ' εἶναι ὡραῖον νὰ οἰκοδο-

λοὺς ἔχειν οἰκέτας, καὶ εἰς χρυσοῦν ὄροφον κατακειμένους ὁρᾶν καλόν; Περιττὸν μὲν οὖν καὶ ἀνόνητον. Ἔστιν ἄλλα οἰκοδομήματα, λαμπρότερα πολλῷ καὶ σεμνότερα τούτων· ἐπὶ τοῖς τοιούτοις εὐφραίνειν τοὺς ὀφθαλμοὺς ἀναγκαῖον· ὁ γὰρ κωλύσων οὐδείς. Βούλει κάλλιστον ὄροφον ἰδεῖν; Ἑσπέρας καταλαβούσης, ἴδε κατηστερισμένον τὸν οὐρανόν. Ἀλλ' οὐκ ἔστιν ἐμὸς ὄροφος, φησί. Καὶ μὴν οὗτος μᾶλλον σὸς ἢ ἐκεῖνος. Καὶ γὰρ διὰ σὲ γέγονε καὶ κοινός σοι μετὰ τῶν ἀδελφῶν ἐστιν· οὗτος δὲ οὐ σός, ἀλλὰ τῶν μετὰ τὴν τελευτὴν κληρονομούντων. Καὶ ὁ μὲν τὰ μέγιστα ὠφελῆσαι δυνήσεται, διὰ τοῦ κάλλους πρὸς τὸν Δημιουργὸν παραπέμπων· οὗτος δὲ τὰ μέγιστά σε καταβλάψει, κατήγορός σου μέγιστος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως γινόμενος, ὅταν αὐτὸς μὲν χρυσῷ περιβεβλημένος ᾖ, ὁ δὲ Χριστὸς μηδὲ ἀναγκαῖον ἔχων ἱμάτιον.

Μὴ δὴ τοσαύτην ἄνοιαν ὑπομένωμεν· μηδὲ διώκωμεν τὰ φεύγοντα, καὶ φεύγωμεν τὰ μένοντα· μηδὲ προδῶμεν ἡμῶν τὴν σωτηρίαν, ἀλλ' ἀντεχώμεθα τῆς μελλούσης ἐλπίδος· οἱ μὲν γεγηρακότες, ἅτε εἰδότες φανερῶς, ὅτι ὀλίγος ἡμῖν ὑπολείπεται τῆς ζωῆς χρόνος· οἱ δὲ νέοι, ἅτε πεπεισμένοι σαφῶς, ὅτι οὐ πολὺ τὸ λειπόμενον. «Ὡς γὰρ κλέπτης ἐν νυκτί, οὕτως ἡ ἡμέρα ἐκείνη ἔρχεται». Ταῦτ' οὖν εἰδότες, καὶ γυναῖκες ἄνδρας παρακαλῶμεν, καὶ ἄνδρες γυναῖκας νουθετῶμεν, καὶ νεωτέρους καὶ παρθένους διδάσκωμεν, καὶ πάντες ἀλλήλους παιδεύωμεν, τῶν μὲν παρόντων ὑπερορᾶν, τῶν δὲ μελλόντων ἐφίεσθαι, ἵνα καὶ τυχεῖν αὐτῶν δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Α' Θεσ. 5, 2.

μοῦμεν πολυτελεῖς οἰκίας καὶ νὰ ἔχωμεν πολλοὺς ὑπηρέτας χρυσοστολισμένους; Καὶ αὐτὸ εἶναι περιττὸν καὶ ἀνόητον. Διότι ὑπάρχουν ἄλλα οἰκοδομήματα πολὺ πολυτελέστερα καὶ σεμνότερα ἀπὸ αὐτά. Μὲ αὐτὰ πρέπει νὰ εὐχαριστοῦμεν τοὺς ὀφθαλμούς μας, διότι δὲν ὑπάρχει κανὲν ἐμπόδιον. Θέλεις νὰ ἰδῇς ὡραιότατον οἰκοδόμημα; Ὅταν βραδυάσῃ, ἰδὲς τὸν οὐρανὸν γεμᾶτον ἀπὸ ἀστέρια. Ἀλλὰ δὲν εἶναι ἰδικόν μου οἰκοδόμημα, θὰ ἰσχυρισθῇς. Καὶ ὅμως αὐτὸ εἶναι περισσότερον ἰδικόν σου, παρὰ τὸ ἄλλο. Διότι ἔχει γίνει δι' ἐσὲ καὶ εἶναι κοινὸν δι' ἐσὲ καὶ διὰ τοὺς ἀδελφούς σου. Ἀλλ' αὐτὸ ποὺ ἔχεις δὲν εἶναι ἰδικόν σου, ἀλλὰ τῶν κληρονόμων σου, μετὰ τὸν θάνατόν σου. Καὶ ἐκεῖνος μὲν θὰ ἠμπορέσῃ νὰ σὲ ὠφελήσῃ πάρα πολύ, διότι μὲ τὸ κάλλος του θὰ ἀνακαλέσῃ εἰς τὸν νοῦν σου τὸν Δημιουργόν. Τὸ ἰδικόν σου ὅμως θὰ σὲ βλάψῃ πολύ, διότι θὰ γίνῃ φοβερὸς κατήγορός σου τὴν ἡμέραν τῆς κρίσεως, ὅταν σὺ μὲν θὰ λάμπῃς ἀπὸ τὸν χρυσόν, ἐνῷ ὁ Χριστὸς δὲν θὰ ἔχῃ οὔτε τὸ ἀπαραίτητον ἔνδυμα.

Ἂς μὴ ὑπομένωμεν αὐτὴν τὴν ἀνοησίαν καὶ ἂς μὴ ἐπιδιώκωμεν ἐκεῖνα ποὺ φεύγουν καὶ ἂς μὴ ἀποφεύγωμεν ἐκεῖνα ποὺ μένουν. Καὶ ἂς μὴ προδώσωμεν τὴν σωτηρίαν μας, ἀλλ' ἂς κρατῶμεν τὴν μέλλουσαν ἐλπίδα, οἱ μὲν γέροντες ἐπειδὴ ξεύρουν καλὰ ὅτι ὀλίγος χρόνος ζωῆς μᾶς ἀπομένει, οἱ δὲ νέοι ἐπειδὴ ἔχουν πεισθῇ, ὅτι δὲν εἶναι μεγάλο τὸ μέρος τῆς ζωῆς ποὺ ὑπολείπεται. «Διότι ἡ ἡμέρα ἐκείνη θὰ ἔλθῃ σὰν κλέπτης τὴν νύκτα»[8]. Ἐπειδὴ λοιπὸν ὅλα αὐτὰ εἶναι γνωστά, ἂς παρακαλοῦμεν καὶ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ἂς συμβουλεύωμεν καὶ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ἂς διδάσκωμεν καὶ τοὺς νέους καὶ τὰς νέας καὶ ἂς παιδαγωγοῦμεν ὁ ἕνας τὸν ἄλλον, νὰ περιφρονοῦμεν τὰ παρόντα καὶ νὰ ἐπιθυμοῦμεν τὰ μέλλοντα, διὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν ταῦτα μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΗ΄.

'Ιω. 7,1 - 8

«Καὶ περιεπάτει ὁ 'Ιησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ 'Ιουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ 'Ιουδαῖοι ἀποκτεῖναι. Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν 'Ιουδαίων, ἡ Σκηνοπηγία».

1. Οὐδὲν φθόνου χεῖρον καὶ βασκανίας· οὕτως ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. 'Επειδὴ γὰρ εἶδεν ὁ διάβολος τὸν ἄνθρωπον τιμώμενον, οὐκ ἐνεγκὼν τὴν εὐημερίαν, πάντα ἔπραττεν ὥστε αὐτὸν ἀνελεῖν. Καὶ πανταχοῦ τῆς ῥίζης ταύτης τοῦτον ἴδοι τις ἂν τὸν καρπὸν γινόμενον. Οὕτω καὶ Ἄβελ ἐσφάγη, οὕτω καὶ ὁ Δαυῒδ ἔμελλεν, οὕτω καὶ ἄλλοι πολλοὶ τῶν δικαίων· ἐντεῦθεν καὶ 'Ιουδαῖοι χριστοκτόνοι γεγόνασι. Καὶ τοῦτο δηλῶν ὁ εὐαγγελιστὴς ἔλεγε· «Μετὰ ταῦτα περιεπάτει ὁ 'Ιησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ εἶχεν ἐξουσίαν ἐν τῇ 'Ιουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ 'Ιουδαῖοι ἀποκτεῖναι».

Τί λέγεις, ὦ μακάριε 'Ιωάννη; Οὐκ εἶχεν ἐξουσίαν ὁ δυνηθεὶς πάντα ὅσα ἠθέλησεν; ὁ εἰπών, «Τίνα ζητεῖτε», καὶ ῥίψας αὐτοὺς εἰς τὰ ὀπίσω; ὁ παρὼν καὶ μὴ ὁρώμενος, οὗτος οὐκ εἶχεν ἐξουσίαν; Πῶς δὲ καὶ ὕστερον εἰς μέσον αὐτῶν παρελθών, ἐν μέσῳ τῷ ἱερῷ, ἐν μέσῃ τῇ ἑορτῇ, συνόδου οὔσης, καὶ τῶν φονώντων παρόντων, διελέγετο ταῦτα, ἃ μᾶλλον αὐτοὺς παρώξυνε; Τοῦτο γοῦν καὶ ἐθαύμαζον λέγοντες, «Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι». Τίνα δή ἐστι ταῦτα τὰ αἰνίγματα; Ἄπαγε· οὐχ ἵνα αἰνίγματα λέγειν νομισθῇ, οὕτως εἶπεν, ἀλλ' ἵνα δηλώσῃ ὅτι καὶ τὰ τῆς θεότητος ἐπεδείκνυτο καὶ τὰ τῆς ἀνθρωπότητος.

---

1. 'Ιω. 7, 1.

ΟΜΙΛΙΑ ΜΗ΄.

'Ιω. 7,1 - 8

«Ὕστερα ἀπὸ αὐτὰ περιήρχετο ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν. Δὲν ἤθελε νὰ μείνῃ εἰς τὴν Ἰουδαίαν, διότι οἱ Ἰουδαῖοι ἐζήτουν νὰ τὸν φονεύσουν. Ἐπλησίαζεν ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ Σκηνοπηγία»[1].

1. Δὲν ὑπάρχει χειρότερον κακὸν ἀπὸ τὸν φθόνον καὶ τὸ μῖσος. Μὲ αὐτὰ εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον. Διότι, ὅταν ὁ διάβολος εἶδεν ὅτι ὁ ἄνθρωπος ἐτιμᾶτο, μὴ δυνάμενος ν' ἀνεχθῇ τὴν εὐτυχίαν του, ἔκαμνε τὰ πάντα, διὰ νὰ τὸν κυριεύσῃ. Καὶ ἠμπορεῖ νὰ ἰδῇ κανεὶς ὅτι εἰς ὅλας τὰς περιπτώσεις ἀπὸ τὸ δένδρον αὐτὸ τέτοιος καρπὸς παράγεται. Ἀπὸ αὐτὴν τὴν αἰτίαν ἐσφάγη ὁ Ἄβελ, ἀπὸ αὐτὴν ἐκινδύνευσεν ὁ Δαυΐδ καθὼς καὶ πολλοὶ ἄλλοι εὐσεβεῖς ἄνδρες. Ἀπὸ αὐτὴν τὴν αἰτίαν καὶ οἱ Ἰουδαῖοι ἔγιναν φονεῖς τοῦ Χριστοῦ. Καὶ διὰ νὰ βεβαιώσῃ αὐτὰ ὁ Εὐαγγελιστὴς ἔγραψεν· «Ὕστερα ἀπὸ αὐτὰ περιήρχετο ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν. Δὲν ἤθελε νὰ μείνῃ εἰς τὴν Ἰουδαίαν, διότι οἱ Ἰουδαῖοι ἐζήτουν νὰ τὸν φονεύσουν».

Τί λέγεις, μακάριε Ἰωάννη; Δὲν εἶχε δύναμιν αὐτὸς ποὺ ἠδυνήθη νὰ κάμῃ ὅσα ἠθέλησεν; Αὐτὸς ποὺ εἶπε «Ποῖον ζητεῖτε» καὶ τοὺς ἔκαμε νὰ ὀπισθοχωρήσουν; Αὐτὸς ποὺ ἂν καὶ ἦτο παρών, ἐν τούτοις δὲν ἐφαίνετο, αὐτὸς δὲν εἶχε δύναμιν; Πῶς ὅμως ἀργότερα παρουσιάσθη εἰς τὸ μέσον τῶν Ἰουδαίων, εἰς τὸ μέσον τοῦ ναοῦ, εἰς τὸ μέσον τῆς ἑορτῆς, ἐνῷ ὑπῆρχε μεγάλη συγκέντρωσις καὶ ἐνώπιον τῶν φονέων ὡμίλει μὲ λόγια, ποὺ τοὺς ἐξώργιζαν περισσότερον; Αὐτὸ ἀκριβῶς ἐθαύμαζαν μερικοὶ Ἰουδαῖοι καὶ ἔλεγαν· «Δὲν εἶναι αὐτὸς ποὺ ζητοῦν νὰ φονεύσουν; Καὶ νὰ ποὺ ὁμιλεῖ δημοσίᾳ καὶ δὲν τοῦ λέγουν τίποτε». Τί ἀκριβῶς εἶναι αὐτὰ τὰ αἰνίγματα; Δὲν τὰ εἶπεν αὐτὰ ὁ Εὐαγγελιστὴς διὰ νὰ θεωρηθῇ ὅτι πρόκειται διὰ αἰνίγματα, ἀλλὰ διὰ νὰ δηλώσῃ· ὅτι μὲ αὐτὰ ἀπεδεικνύετο ὅτι ὁ Χριστὸς ἦτο καὶ Θεὸς καὶ ἄνθρωπος.

Ὅταν μὲν γὰρ λέγῃ, ὅτι «Ἐξουσίαν οὐκ εἶχεν», ὡς περὶ ἀνθρώπου διαλέγεται, πολλὰ καὶ ἀνθρωπίνως ποιοῦντος· ὅταν δὲ λέγῃ, ὅτι ἐν μέσοις αὐτοῖς εἱστήκει καὶ οὐ κατεῖχον αὐτόν, τῆς θεότητος τὴν δύναμιν ἐνδείκνυται δηλονότι. Καὶ γὰρ ἔφευγεν ὡς ἄνθρωπος, καὶ ἐφαίνετο ὡς Θεός· ἀμφότερα ἀληθεύων. Τό τε γὰρ ἐν μέσοις ὄντα τοῖς ἐπιβουλεύουσι μὴ κατέχεσθαι, τὸ ἀκαταγώνιστον αὐτοῦ καὶ ἄμαχον ἐδήλου· τό τε ὑποστέλλεσθαι, τὴν οἰκονομίαν ἐβεβαίου καὶ ἐπιστοῦτο, ἵνα μήτε Παῦλος ὁ Σαμοσατεὺς ἔχῃ τι λέγειν, μήτε Μαρκίων καὶ οἱ τὰ ἐκείνων νοσοῦντες. «Διὰ τούτου τοίνυν πάντων ἐμφράττει τὰ στόματα».

«Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ Σκηνοπηγία». Τό, «Μετὰ ταῦτα», οὐδὲν ἄλλο δηλοῖ, ἢ ὅτι πολὺν μεταξὺ χρόνον ἐπιτεμὼν ὑπερεπήδησε. Καὶ τοῦτο δῆλον ἐκεῖθεν· ὅτε γὰρ εἰς τὸ ὄρος ἐκάθητο, φησίν, ἦν ἡ ἑορτὴ τοῦ Πάσχα· ἐνταῦθα δὲ τῆς Σκηνοπηγίας μέμνηται, καὶ ἐν τοῖς πέντε μησὶν οὐδὲν ἕτερον ἡμῖν διηγήσατο, οὔτε ἐδίδαξεν ἡμᾶς ἄλλο τι, ἢ τὸ κατὰ τοὺς ἄρτους σημεῖον, καὶ τὴν πρὸς τοὺς φαγόντας γενομένην δημηγορίαν· καίτοι αὐτὸς οὐ διελίμπανε σημεῖα ποιῶν καὶ διαλεγόμενος, οὐκ ἐν ἡμέρᾳ, οὐκ ἐν ἑσπέρᾳ, πολλάκις δὲ καὶ νυκτός. Τοῖς γοῦν μαθηταῖς, οὕτως ἐπέστη, ὡς πάντες φασὶν οἱ εὐαγγελισταί. Τί δήποτε οὖν παρέλιπον ἐκεῖνο; Ὅτι οὐκ ἐνῆν ἅπαντα καταλέγειν. Ἄλλως δέ, καὶ ταῦτα λέγειν ἐσπουδάκασιν, ὑπὲρ ὧν ἢ μέμψις ἢ ἀντιλογία τις παρὰ τῶν Ἰουδαίων ἔμελλε παρακολουθεῖν.

Ἐκείνοις μὲν γὰρ πολλὰ ὅμοια ἦν. Καὶ γὰρ ὅτι νο-

Διότι, ὅταν ὁ Εὐαγγελιστὴς λέγῃ, ὅτι «Δὲν εἶχεν ἐξουσίαν», ὁμιλεῖ σὰν νὰ πρόκειται περὶ ἀνθρώπου, ὁ ὁποῖος κάμνει πολλὰ καὶ κατὰ τρόπον ἀνθρώπινον. Ὅταν ὅμως λέγῃ, ὅτι εἶχε σταθῇ εἰς τὸ μέσον αὐτῶν καὶ δὲν τὸν συνέλαβαν, τότε εἶναι φανερὸν ὅτι ἀποκαλύπτει τὴν δύναμιν τῆς θεότητος. Διότι ἔφευγεν ὡς ἄνθρωπος, ἀλλὰ παρουσιάζετο ὡς Θεός, ἐπαληθεύων καὶ τὰ δύο. Διότι ἐφανέρωνε καὶ τὴν μὴ σύλληψίν του ἀπὸ τοὺς ἐχθρούς του ἂν καὶ εὑρίσκετο ἀνάμεσά τους καὶ τὴν ἀσυναγώνιστον καὶ ἀκαταμάχητον δύναμίν του. Ἀλλὰ καὶ ὅτι ἔφευγεν, ἐπιβεβαίωνε καὶ ἐπεσφράγιζε τὴν κατὰ σάρκα γέννησίν του, διὰ νὰ μὴ ἠμποροῦν οὔτε ὁ Παῦλος ἀπὸ τὰ Σαμόσατα, οὔτε ὁ Μαρκίων, οὔτε ἐκεῖνοι ποὺ πάσχουν ἀπὸ τὴν ἰδίαν μὲ αὐτοὺς ἀσθένειαν, νὰ ἰσχυρίζωνται ὁ,τιδήποτε.

«Ὕστερα ἀπὸ αὐτὰ ἦτο ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ Σκηνοπηγία». Ἡ λέξις, «Ὕστερα ἀπὸ αὐτά», σημαίνει ὅτι ὁ Εὐαγγελιστὴς περιέκοψεν ἀπὸ τὴν διήγησιν πολλὰ ἀπὸ ὅσα συνέβησαν εἰς τὸ μεταξύ. Καὶ αὐτὸ ἀποδεικνύεται ἀπὸ τὰ κάτωθι. Ὅταν ἐκάθητο εἰς τὸ ὄρος, ἦτο ἡ ἑορτὴ τοῦ Πάσχα, καθὼς λέγει ὁ Εὐαγγελιστής. Ἐδῶ ἐνθυμεῖται τὴν ἑορτὴν τῆς Σκηνοπηγίας καὶ εἰς τὸ διάστημα τῶν πέντε μηνῶν δὲν μᾶς διηγήθη τίποτε ἄλλο οὔτε μᾶς ἐπληροφόρησε διὰ τίποτε ἄλλο, παρὰ μόνον διὰ τὸ θαῦμα τῶν ἄρτων καὶ διὰ τὴν ὁμιλίαν ποὺ ἔκαμεν ὁ Χριστὸς εἰς ἐκείνους ποὺ ἔφαγαν. Καὶ ὅμως ὁ Χριστὸς δὲν ἔπαυε νὰ κάμνῃ θαύματα καὶ νὰ ὁμιλῇ οὔτε ἡμέραν, οὔτε ἑσπέραν καὶ πολλὰς φορὰς ἀκόμη καὶ νύκτα. Εἰς τοὺς μαθητάς του ἔτσι ἐνεφανίσθη, καθὼς ἀναφέρουν ὅλοι οἱ Εὐαγγελισταί. Διατί λοιπὸν παρέλειψαν αὐτὸ τὸ χρονικὸν διάστημα; Διότι δὲν ἦτο δυνατὸν νὰ τὰ καταγράψουν ὅλα λεπτομερῶς. Καὶ μάλιστα ἐφρόντισαν ν' ἀναφέρουν ἐκεῖνα ἀκριβῶς, εἰς τὰ ὁποῖα οἱ Ἰουδαῖοι θὰ προέβαλλον κάποιαν κατηγορίαν ἢ ἀντιλογίαν.

Εἰς τοὺς Εὐαγγελιστὰς εὑρίσκομεν πολλὰ ὅμοια χω-

σοῦντας ἐθεράπευσε, καὶ νεκροὺς ἤγειρε, καὶ ὅτι ἐθαυμάσθη, πολλάκις ἀνέγραψαν· ἔνθα δὲ ξένον ἔχουσι λέγειν τι, ἢ μέμψιν τινὰ δοκοῦσαν κατ' αὐτοῦ φύεσθαι διηγεῖσθαι, ταῦτα τιθέασιν· οἷον δὴ καὶ τὸ νῦν ἐστιν, ὅτι οἱ ἀδελφοὶ αὐτοῦ ἠπίστουν αὐτῷ· καὶ γὰρ οὐ τὴν τυχοῦσαν ἔχει διαβολὴν τὸ πρᾶγμα. Καὶ ἄξιον θαυμάσαι τὸ φιλάληθες αὐτῶν ἦθος, πῶς οὐκ αἰσχύνονται λέγοντες ταῦτα, ἃ δοκεῖ τῷ διδασκάλῳ φέρειν αἰσχύνην, ἀλλὰ καὶ ταῦτα μάλιστα τῶν ἄλλων ἐσπουδάκασιν ἀπαγγέλλειν. Καὶ νῦν γοῦν πολλὰ παραδραμὼν καὶ σημεῖα καὶ θαύματα καὶ δημηγορίας, ἐπὶ τοῦτο εὐθέως ἐπεπήδησεν.

«Εἶπον» γάρ, φησί, «πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐντεῦθεν εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖς. Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. Φανέρωσον σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν». Καὶ ποία, φησίν, ἀπιστία ἐνταῦθα; Παρακαλοῦσι γὰρ αὐτὸν θαυματουργῆσαι. Πολλὴ σφόδρα. Ἀπιστίας γὰρ καὶ τὰ ῥήματα καὶ ἡ θρασύτης, καὶ ἡ ἄκαιρος παρρησία. «Ὤοντο γὰρ ἀπὸ τῆς συγγενείας ἐξεῖναι αὐτοῖς μετὰ παρρησίας διαλέγεσθαι. Καὶ δοκεῖ μὲν ἡ ἀξίωσις δῆθεν φίλων εἶναι· πολλῆς δὲ πικρίας ἦν τὰ λεγόμενα· ἐνταῦθα γὰρ αὐτῷ καὶ δειλίαν καὶ φιλοδοξίαν ὀνειδίζουσι. Τὸ μὲν οὖν εἰπεῖν, «Οὐδείς τι ἐν κρυπτῷ ποιεῖ, δειλίαν ἐγκαλούντων ἐστίν, ἅμα καὶ ὑποπτευόντων τὰ γινόμενα ὑπ' αὐτοῦ· τὸ δὲ ἐπαγαγεῖν, ὅτι «Ζητεῖ ἐν παρρησίᾳ εἶναι», φιλοδοξίας.

2. Σὺ δέ μοι σκόπει τοῦ Χριστοῦ τὴν δύναμιν. Ἀπὸ γὰρ τούτων τῶν ταῦτα λεγόντων τὰ ῥήματα, ὁ πρῶτος τῶν Ἱεροσολύμων ἐπίσκοπος γέγονεν, ὁ μακάριος Ἰάκωβος, περὶ οὗ

ρία. Διότι πολλὰς φορὰς ἀνέγραψαν, ὅτι ἐθεράπευσεν ἀσθενεῖς, ὅτι ἀνέστησε νεκροὺς καὶ ὅτι ἐθαυμάσθη. Ὅπου ὅμως ἔχουν ν' ἀφηγηθοῦν κάτι τὸ ἀσυνήθιστον, ἢ κάποιαν κατηγορίαν ποὺ φαίνεται ὅτι ἐξετοξεύθη κατὰ τοῦ Χριστοῦ, αὐτὰ τὰ παραθέτουν, ὅπως τώρα, διηγοῦνται ὅτι οἱ ἀδελφοί του δὲν τὸν ἐπίστευον. Διότι αὐτὸ τὸ πρᾶγμα περιέχει μεγάλο μῖσος. Καὶ ἀξίζει νὰ θαυμάζῃ κανείς, πόσον φιλαλήθεις ὑπῆρξαν οἱ Εὐαγγελισταί, ἀφοῦ δὲν διστάζουν ν' ἀναφέρουν αὐτά, τὰ ὁποῖα φαίνονται νὰ ἐντροπιάζουν τὸν διδάσκαλον, ἀλλὰ ἐπὶ πλέον αὐτὰ ἐφρόντισαν νὰ ἀναφέρουν περισσότερον ἀπὸ ὅλα τὰ ἄλλα. Καὶ τώρα λοιπὸν ὁ Εὐαγγελιστὴς ἀφοῦ παρέλειψε πολλὰ σημεῖα, θαύματα καὶ λόγους τοῦ Χριστοῦ, ἦλθεν ἀμέσως εἰς τὴν διήγησιν αὐτοῦ τοῦ γεγονότος.

Λέγει λοιπόν· «Τοῦ εἶπαν οἱ ἀδελφοί του· Φύγε ἀπὸ ἐδῶ καὶ πήγαινε εἰς τὴν Ἰουδαίαν, διὰ νὰ ἰδοῦν καὶ οἱ μαθηταί σου τὰ ἔργα ποὺ κάμνεις. Διότι δὲν κάμνει κανεὶς τίποτε εἰς τὰ κρυφά, ὅταν ζητῇ νὰ γίνῃ γνωστός. Φανερώσου εἰς τὸν κόσμον. Διότι οὔτε καὶ οἱ ἀδελφοί του ἐπίστευαν εἰς αὐτόν». Καί, θὰ ἐρωτήσῃς, ποία εἶναι ἡ ἀπιστία ἐδῶ; Τὸν παρακαλοῦν νὰ κάμῃ θαύματα. Καὶ ὅμως ὑπάρχει μεγάλη ἀπιστία. Διότι καὶ τὰ λόγια καὶ τὸ θράσος καὶ ἡ ἄκαιρος ἐλευθερία εἶναι ἀπόδειξις ἀπιστίας. Διότι ἐνόμιζαν ὅτι θὰ ἠμποροῦσαν νὰ ὁμιλοῦν ἐλεύθερα ἕνεκα τῆς συγγενείας των μὲ τὸν Χριστόν. Καὶ φαίνεται βέβαια, ὅτι ἡ παρακίνησις προέρχεται ἀπὸ δῆθεν προσφιλεῖς, ὅμως τὰ λόγια τους ἦσαν γεμᾶτα ἀπὸ ὀξύτητα. Διότι μὲ τὴν φράσιν τους «Κανεὶς δὲν κάμνει τίποτε εἰς τὰ κρυφά», κατηγοροῦν τὸν Χριστὸν διὰ δειλίαν, ἐνῷ συγχρόνως φανερώνουν ὅτι εἶχον ὑποψίαν διὰ τὰ ἔργα του. Καὶ ἐκεῖνο ποὺ προσέθεσαν, «Ζητεῖ νὰ γίνῃ γνωστόν», φανερώνει τὴν κενοδοξίαν των.

2. Σὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, τὴν δύναμιν τοῦ Χριστοῦ. Διότι ὁ πρῶτος ἀπὸ τοὺς ἀδελφούς του, ποὺ εἶχαν εἰπεῖ αὐτὰ τὰ λόγια, ὁ μακάριος Ἰάκωβος, ἔγινεν ἐπίσκοπος

καὶ Παῦλός φησιν· «Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου». Λέγεται δὲ καὶ ὁ Ἰούδας θαυμαστός τε γεγονέναι. Καίτοι γε οὗτοι, καὶ ἐν Κανᾷ παρῆσαν, τοῦ οἴνου γενομένου· ἀλλ' οὐδὲν ἀπώναντο τέως. Πόθεν οὖν αὐτοῖς ἡ τοσαύτη ἀπιστία; Ἀπὸ πονηρᾶς γνώμης καὶ φθόνου· τὸ γὰρ συγγενὲς ὑπερέχον εἴωθέ πως διαφθονεῖσθαι παρὰ τῶν οὐ τοιούτων. Τίνας δὲ ἐνταῦθα λέγουσι τοὺς μαθητάς; Τὸν ὄχλον τὸν παρεπόμενον, οὐ τοὺς δώδεκα.

Τί οὖν ὁ Χριστός; Ὅρα πῶς προσηνῶς ἀπεκρίνατο. Οὐ γὰρ εἶπεν· Ὑμεῖς δὲ τίνες ἐστὲ ταῦτα συμβουλεύοντες καὶ διδάσκοντες; ἀλλὰ τί; «Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν». Ἐνταῦθά μοι δοκεῖ καὶ ἕτερόν τι αἰνίττεσθαι. Ἴσως γὰρ αὐτὸν καὶ προδοῦναι ἐβουλεύοντο, βασκαίνοντες, τοῖς Ἰουδαίοις. Διὸ καὶ τοῦτο ἐμφαίνων φησίν, «Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστι»· τουτέστιν, ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου. Τί οὖν πρὸ καιροῦ κατεπείγετε ἀνελεῖν; «Ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτε ἕτοιμός ἐστιν». Ὡσεὶ ἔλεγεν· Ὑμεῖς κἂν ἀεὶ συνῆτε τοῖς Ἰουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς· ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν. Ὥστε ὑμῖν μὲν ἀεὶ καὶ καιρὸς συνεῖναι μὴ κινδυνεύσουσιν· ἐμοὶ δὲ τότε καιρός, ὅταν ὁ τοῦ σταυροῦ καιρὸς ἐπιστῇ, ὅταν δέῃ ἀποθανεῖν.

Καὶ γὰρ ὅτι τοῦτο λέγει, δῆλον διὰ τῆς ἐπαγωγῆς· «Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς». Πῶς γὰρ τοὺς τὰ αὐτὰ βουλομένους, καὶ ὑπὲρ τῶν αὐτῶν τρέχοντας; «Ἐμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτόν, ὅτι πονηρά εἰσιν αὐτοῦ τὰ ἔργα», τουτέστιν, ὅτι Καθάπτομαι καὶ ἐλέγχω, διὰ τοῦτο μισοῦμαι. Ἀπὸ τούτων παιδευώμεθα κρατεῖν ὀργῆς, καὶ μὴ ἀνα-

---

2. Ὁ Σχολιαστὴς λέγει: «Ἀγνοῶ ἂν τὸ ἔχῃ εἰπεῖ καὶ ἄλλος, ὅτι ὁ Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου, ὑπῆρξε μεταξὺ τῶν ἀδελφῶν του ποὺ δὲν τὸν ἐπίστευον.

Ἱεροσολύμων. Περὶ αὐτοῦ λέγει ὁ Παῦλος· «Ἄλλον ἀπὸ τοὺς ἀποστόλους δὲν εἶδα, παρὰ τὸν Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου». Λέγεται δὲ ὅτι καὶ ὁ Ἰούδας ὑπῆρξεν ἀξιοθαύμαστος. Καὶ ὅμως οἱ ἀδελφοί του αὐτοὶ ἦσαν παρόντες εἰς τὴν Κανᾶ, ὅταν ἔγινε τὸ θαῦμα τοῦ οἴνου, ἀλλὰ μέχρι τότε δὲν εἶχαν ἀποκομίσει καμμίαν ὠφέλειαν. Ἀπὸ ποῦ λοιπὸν προήρχετο ἡ τόση ἀπιστία των;[2] Ἀπὸ τὴν κακήν των διάθεσιν καὶ ἀπὸ φθόνον. Διότι, ὅταν κάποιος ἀπὸ τοὺς συγγενεῖς ὑπερέχει, ἐκεῖνοι ποὺ μειονεκτοῦν συνήθως φθονοῦν. Καὶ ποίους ἐδῶ οἱ ἀδελφοί του ὀνομάζουν μαθητάς του; Τὸν κόσμον ποὺ τὸν ἀκολουθοῦσεν, ὄχι τοὺς δώδεκα.

Τί ἔκαμεν ὁ Χριστός; Κοίταξε μὲ πόσην πραότητα τοὺς ἀπήντησεν. Διότι δὲν εἶπε· Καὶ ποῖοι εἶσθε σεῖς ποὺ μὲ συμβουλεύετε καὶ διδάσκετε αὐτά; Ἀλλὰ τί τοὺς εἶπε; «Δὲν ἔχει ἔλθει ἀκόμη ὁ καιρός μου». Ἐδῶ νομίζω, ὅτι ὑπαινίσσετε καὶ κάτι ἄλλο. Ἴσως οἱ ἀδελφοί του ἐσκέπτοντο νὰ τὸν προδώσουν εἰς τοὺς Ἰουδαίους ἀπὸ φθόνον. Διὰ νὰ δηλώσῃ δὲ τοῦτο, λέγει «Δὲν ἔχει ἔλθει ἀκόμη ὁ καιρός μου», δηλαδὴ ὁ καιρὸς τοῦ σταυροῦ καὶ τοῦ θανάτου. Διατί λοιπὸν βιάζεσθε νὰ μὲ φονεύσετε πρὶν ἀπὸ τὴν ὥραν μου; «Δι' ἐσᾶς ὅμως ὁ καιρὸς εἶναι πάντοτε κατάλληλος», δηλαδὴ σὰν νὰ τοὺς ἔλεγε· Σᾶς δὲν θὰ σᾶς φονεύσουν οἱ Ἰουδαῖοι, μολονότι πάντοτε εὑρίσκεσθε μαζί τους, ἐπειδὴ φρονεῖτε τὰ ἴδια μὲ αὐτούς. Ἐμὲ ὅμως θὰ θελήσουν νὰ μὲ φονεύσουν ἀμέσως. Ὥστε σεῖς ἠμπορεῖτε νὰ τοὺς συναναστρέφεσθε πάντοτε χωρὶς κίνδυνον, δι' ἐμὲ ὅμως τότε θὰ εἶναι καιρός, ὅταν θὰ ἔλθῃ ἡ ὥρα τοῦ σταυροῦ, ὅταν θὰ πρέπει ν' ἀποθάνω.

Ὅτι ἐννοεῖ αὐτό, φαίνεται ἀπὸ τὰ ὅσα προσθέτει ἀμέσως· «Ὁ κόσμος δὲν ἠμπορεῖ νὰ μισῇ ἐσᾶς». Καὶ πῶς ἠμπορεῖ νὰ τοὺς μισῇ, ἀφοῦ θέλουν καὶ ἐπιδιώκουν τὰ ἴδια; «Ἐμὲ ὅμως μὲ μισεῖ, διότι ἐλέγχω αὐτόν, ὅτι τὰ ἔργα του εἶναι πονηρά», δηλαδή, διότι κατηγορῶ καὶ ἐλέγχω, δι' αὐτὸ προκαλῶ τὸ μῖσος. Ἀπὸ αὐτὰ διδασκόμεθα, ὅτι πρέπει νὰ συγ-

ξιοπαθεῖν, κἂν εὐτελεῖς ὦσιν οἱ συμβουλεύοντες. Εἰ γὰρ τοὺς οὐ πιστεύοντας ὁ Χριστὸς συμβουλεύοντας ἤνεγκε πράως, καὶ συμβουλεύοντας τὰ μὴ δέοντα, καὶ συμβουλεύοντας τὰ οὐκ ἀπὸ προαιρέσεως ἀγαθῆς, τίνος ἡμεῖς τευξόμεθα συγγνώμης, γῆ καὶ σποδὸς ὄντες, καὶ πρὸς τοὺς συμβουλεύοντας, δυσχεραίνοντες, κἂν ὀλίγον εὐτελέστεροι οἱ τοῦτο ποιοῦντες ὦσιν, ἀνάξιον ἑαυτῶν ἡγούμενοι τοῦτο;

Σκόπει γοῦν πῶς μετὰ πραότητος πάσης ἀποκρούεται τὴν κατηγορίαν. Εἰπόντων γὰρ ἐκείνων, «Φανέρωσον σεαυτὸν τῷ κόσμῳ», αὐτός φησιν· «Οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ ὁ κόσμος μισεῖ»· ἀναιρῶν αὐτῶν τὴν κατηγορίαν. Τοσοῦτον γὰρ ἀπέχω, φησί, ζητεῖν τὴν παρὰ ἀνθρώπων δόξαν, ὅτι οὐ διαλιμπάνω ἐλέγχων αὐτούς· καὶ ταῦτα εἰδὼς μῖσος ἐκ τούτου τικτόμενον, καὶ θάνατον κατασκευαζόμενον. Καὶ ποῦ ἤλεγξε, φησί; Πότε γὰρ ἐπαύσατο τοῦτο ποιῶν; οὐχὶ ἔλεγε· «Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς»· καί, «Ἐγὼ ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε»· καί, «Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Εἶδες πῶς ἔδειξε διὰ πάντων, ὅτι τὸ πρὸς αὐτὸν μῖσος ἐποίει ὁ ἔλεγχος ὁ πεπαρρησιασμένος, οὐχ ἡ τοῦ Σαββάτου λύσις;

Τί δήποτε δὲ αὐτοὺς πέμπει εἰς τὴν ἑορτήν, λέγων· «Ἀνάβητε εἰς τὴν ἑορτήν, ἐγὼ οὐκ ἀναβαίνω ἄρτι»; Δεικνὺς ὅτι ταῦτα εἶπεν, οὐχὶ δεόμενος αὐτῶν, οὐδὲ κολακεύεσθαι θέλων, ἀλλὰ συγχωρῶν τὰ Ἰουδαϊκὰ ποιεῖν. Πῶς οὖν,

κρατοῦμεν τὴν ὀργήν μας καὶ νὰ μὴ ἀγανακτοῦμεν, ὅσον καὶ ἂν εἶναι μηδαμινοὶ ἐκεῖνοι ποὺ μᾶς συμβουλεύουν. Διότι, ἂν ὁ Χριστὸς ἠνέχθη ἥσυχα τὰς ἀχρήστους συμβουλὰς ἐκείνων ποὺ μᾶς συμβουλεύουν. Διότι, ἂν ὁ Χριστὸς ἠνέχθη ἥσυχα τὰς ἀχρήστους συμβουλὰς ἐκείνων ποὺ δὲν ἐπίστευαν καὶ μάλιστα συμβουλὰς ποὺ δὲν προήρχοντο ἀπὸ καλὴν διάθεσιν, πῶς θὰ συγχωρηθοῦμεν ἡμεῖς, ποὺ εἴμεθα χῶμα καὶ σκόνη, ποὺ ἀγανακτοῦμεν ἐναντίον ἐκείνων οἱ ὁποῖοι μᾶς συμβουλεύουν, ἔστω καὶ ἂν εἶναι ὀλίγον κατώτεροί μας, ἐπειδὴ θεωροῦμεν ὅτι αὐτὸ εἶναι ἀνάξιον διὰ τὸν ἑαυτόν μας;

Σκέψου λοιπὸν μὲ πόσην πραότητα ἀποκρούει τὴν κατηγορίαν. Διότι, ὅταν τοῦ εἶπαν οἱ ἀδελφοί του «Φανερώσου εἰς τὸν κόσμον», ὁ Χριστὸς ἀπήντησεν· «Ὁ κόσμος δὲν ἠμπορεῖ νὰ μισῇ ἐσᾶς, ἐμὲ ὅμως μὲ μισεῖ» καὶ μὲ αὐτὸν τὸν τρόπον ἀναιρεῖ τὴν κατηγορίαν των. Διότι, λέγει, τόσον πολὺ ἀπέχω ἀπὸ τὸ νὰ ζητῶ τὴν δόξαν ἀπὸ τοὺς ἀνθρώπους, ὥστε δὲν παύω νὰ τοὺς ἐλέγχω, ἐνῷ μάλιστα γνωρίζω ὅτι ἀπὸ αὐτὸ παράγεται τὸ μῖσος καὶ ἑτοιμάζεται ὁ θάνατός μου. Καὶ ποῦ, θὰ ἐρωτήσῃς, τοὺς ἤλεγξεν; Καὶ πότε ἔπαυσε νὰ κάμνῃ τοῦτο; Δὲν ἔλεγε, «Μὴ νομίζετε, ὅτι ἐγὼ θὰ σᾶς κατηγορήσω εἰς τὸν Πατέρα, ἐκεῖνος ποὺ σᾶς κατηγορεῖ εἶναι ὁ Μωϋσῆς» καὶ «Ἐγὼ ξεύρω ὅτι σεῖς δὲν ἔχετε ἀγάπην διὰ τὸν Θεὸν» καὶ «Πῶς ἠμπορεῖτε νὰ πιστεύετε, ὅταν δέχεσθε τιμὰς ἀπὸ τοὺς ἀνθρώπους καὶ μόνον τὴν τιμὴν ἀπὸ τὸν Θεὸν δὲν ζητεῖτε;». Εἶδες πῶς μὲ ὅλα αὐτὰ ἀπέδειξεν, ὅτι τὸ ἐναντίον του μῖσος προήρχετο ἀπὸ τὸν θαρραλέον ἔλεγχον καὶ ὄχι ἀπὸ τὴν κατάργησιν τοῦ Σαββάτου;

Διατί λοιπὸν ὁ Χριστὸς στέλλει τοὺς ἀδελφούς του εἰς τὴν ἑορτὴν λέγων· «Πηγαίνετε σεῖς εἰς τὴν ἑορτήν, ἐγὼ δὲν θὰ πάω ἀκόμη»; Διότι ἤθελε ν' ἀποδείξῃ, ὅτι εἶπεν αὐτὰ ὄχι διότι τοὺς εἶχεν ἀνάγκην, οὔτε διότι ἤθελε νὰ τοὺς κολακεύσῃ, ἀλλὰ διὰ νὰ τοὺς ἐπιτρέψῃ νὰ κάμουν τὰ Ἰουδαϊκὰ ἔθιμα. Διατί ὅμως, θὰ ἐρωτήσῃς, ἐπῆγεν εἰς τὴν

φησίν, ἀνέβη, εἰπών, «Οὐκ ἀναβαίνω»; Οὐκ εἶπεν καθάπαξ, Οὐκ ἀναβαίνω· ἀλλά, «Νῦν», εἶπεν, τουτέστι, μεθ' ὑμῶν· «Ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται». Καὶ μὴν τῷ μέλλοντι Πάσχα σταυροῦσθαι ἔμελλε. Πῶς οὖν οὐκ ἀνέβη καὶ αὐτός; Εἰ γὰρ ἐπειδὴ ὁ καιρὸς οὔπω παρῆν, διὰ τοῦτο οὐκ ἀνέβη, ἐχρῆν μηδὲ ὅλως ἀναβῆναι. Ἀλλ' οὐ διὰ τοῦτο ἀνέβαινεν, ἵνα πάθῃ, ἀλλ' ἵνα αὐτοὺς παιδεύσῃ.

Τίνος δὲ ἕνεκεν λάθρα; Καὶ γὰρ ἐδύνατο φανερῶς ἀνελθὼν ἐν τῷ μέσῳ τε εἶναι, καὶ κατέχειν αὐτῶν τὴν ὀργὴν τὴν ἄτακτον, ὃ πολλάκις ἐποίησεν. Ἀλλ' οὐκ ἐβούλετο συνεχῶς τοῦτο ποιεῖν. Εἰ γὰρ ἀνῆλθε φανερῶς, καὶ πάλιν αὐτοὺς ἐπήρωσε, μειζόνως ἂν τὴν ἑαυτοῦ θεότητα διαλάμπειν ἐποίει, ὃ τέως οὐκ ἔδει, καὶ μᾶλλον αὐτὴν ἐξεκάλυπτεν. Ἐπειδὴ δὲ ἐνόμιζον ἐκεῖνοι δειλίας εἶναι τὸ μένειν, δείκνυσιν αὐτὸς τοὐναντίον, καὶ θάρσος ὂν καὶ οἰκονομίας καὶ ὅτι τὸν καιρὸν προειδὼς καθ' ὃν πείσεται, ὅτε λοιπὸν ἐπιστῇ, τότε μάλιστα βουλήσεται εἰς τὰ Ἱεροσόλυμα ἀναβῆναι. Ἐμοὶ δὲ δοκεῖ καὶ τῷ μὲν εἰπεῖν «Ἀνάβητε ὑμεῖς», τοῦτο λέγειν· μὴ νομίσητε, ὅτι ἀναγκάζω ὑμᾶς σὺν ἐμοὶ μένειν μὴ βουλομένους· τῷ δὲ ἐπαγαγεῖν, «Οὔπω πεπλήρωται ὁ καιρός μου», δῆλον ποιεῖν, ὅτι ἔδει καὶ σημεῖα γενέσθαι καὶ δημηγορίας λεχθῆναι, ὥστε καὶ ὄχλους πιστεῦσαι πλείονας καὶ τοὺς μαθητὰς στερροτέρους γενέσθαι, τὴν παρρησίαν ὁρῶντας τοῦ διδασκάλου, καὶ ἅπερ ἔπαθε.

3. *Μάθωμεν τοίνυν αὐτοῦ ἀπὸ τῶν εἰρημένων τὴν ἐπιείκειαν, τὴν πραότητα· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»· καὶ πᾶσαν πικρίαν ἐκβάλωμεν. Κἂν ἐπαίρηταί τις καθ' ἡμῶν, ἡμεῖς ταπεινοὶ γινώμεθα· κἂν θρασύνηταί τις, θεραπεύσωμεν· κἂν δάκνῃ καὶ κατεσθίῃ σκωπτων καὶ κωμῳδῶν, ἡμεῖς μὴ νικώμεθα, μὴ ἀμυνόμενοι ἑ-*

2α. Ματθ. 11, 29.

ἑορτήν, ἐνῷ εἶχεν εἰπεῖ, «Δὲν θὰ ὑπάγω»; Δὲν εἶπεν ἁπλῶς, 'Δὲν θὰ ὑπάγω', ἀλλά, Δὲν θὰ ὑπάγω «Τώρα», δηλαδὴ μαζὶ μὲ σᾶς. «Διότι ὁ κατάλληλος καιρὸς δὲν ἔχει ἔλθει ἀκόμη δι' ἐμέ». Ἐπρόκειτο κατὰ τὸ ἑπόμενον Πάσχα νὰ σταυρωθῇ. Διατί λοιπὸν δὲν ἐπῆγε καὶ ἐκεῖνος; Διότι, ἂν δὲν εἶχεν ἔλθει ἀκόμη ὁ καιρός, δὲν ἐπῆγε δι' αὐτὸν τὸν λόγον, δὲν ἔπρεπε νὰ μεταβῇ καθόλου. Δὲν μετέβη λοιπὸν ὄχι διὰ νὰ μὴ πάθῃ, ἀλλὰ διὰ νὰ τοὺς διδάξῃ.

Διατί ὅμως ἐπῆγε κρυφά; Διότι ἠμποροῦσε νὰ μεταβῇ φανερὰ καὶ νὰ σταθῇ εἰς τὸ μέσον αὐτῶν καὶ νὰ συγκρατήσῃ τὴν βιαίαν ὁρμητικότητά των, πρᾶγμα ποὺ εἶχε κάμει πολλὰς φοράς. Ἀλλὰ δὲν ἤθελε νὰ κάμνῃ τοῦτο συνεχῶς. Διότι, ἂν ἐπήγαινε φανερά, πάλιν θὰ τοὺς ἐτύφλωνε, καὶ θὰ ἔκαμνε περισσότερον λαμπρὰν τὴν θεότητά του πρὸ τοῦ δέοντος χρόνου καὶ θ' ἀπεκάλυπτεν αὐτὴν περισσότερον. Ἐπειδὴ ὅμως ἐκεῖνοι ἐνόμιζαν ὅτι τὸ νὰ μένῃ εἶναι ἀπόδειξις δειλίας, ὁ Χριστὸς ἀπέδειξεν ἀντιθέτως ὅτι εἶναι ἀπόδειξις θάρρους καὶ πίστεως καὶ ὅτι, ἐπειδὴ ἐγνώριζε τὸν καιρὸν ποὺ θὰ πάθῃ, ὅταν φθάσῃ ὁ καιρὸς αὐτός, τότε θὰ θελήσῃ νὰ μεταβῇ εἰς τὰ Ἱεροσόλυμα. Ἐγὼ ὅμως ἔχω τὴν γνώμην, ὅτι τὸ μὲν «Πηγαίνετε σεῖς» σημαίνει, μὴ νομίζετε ὅτι σᾶς ἀναγκάζω νὰ μείνετε μαζί μου χωρὶς νὰ θέλετε, ἐκεῖνο δὲ ποὺ προσέθεσε, «Δὲν ἔφθασεν ἀκόμη ὁ καιρός μου», σημαίνει, ὅτι ἔπρεπε νὰ γίνουν θαύματα καὶ νὰ ἀναπτυχθοῦν ὁμιλίαι, ὥστε νὰ πιστεύσουν περισσότεροι ἄνθρωποι καὶ νὰ γίνουν σταθερώτεροι οἱ μαθηταί του, βλέποντες τὸ θάρρος τοῦ διδασκάλου των καὶ τὰ ὅσα ἔπαθε.

3. Ἂς μάθωμεν λοιπὸν ἀπὸ ὅσα εἶπεν ὁ Χριστὸς τὴν εὐμένειάν του καὶ τὴν πραότητά του. «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν»[2a] καὶ ἂς βγάλωμεν ἀπὸ μέσα μας κάθε πικρίαν. Καὶ ἂν κάποιος χλευάζῃ εἰς βάρος μας, ἡμεῖς ἂς εἴμεθα ταπεινοί. Καὶ ἂν κάποιος ἀποθρασύνεται, ἂς τὸν καταπραΰνωμεν. Καὶ ἂν μᾶς δαγκώνῃ καὶ μᾶς κατατρώγῃ περιγελῶν καὶ διακωμῳδῶν, ἡμεῖς ἂς

αυτοῖς ἀνέλωμεν ἑαυτούς. Καὶ γὰρ θηρίον ἐστὶν ὁ θυμός, θηρίον ὀξὺ καὶ θερμόν. Ἐπάδωμεν τοίνυν ἑαυτοῖς τὰς ἀπὸ τῆς θείας Γραφῆς ἐπῳδὰς καὶ λέγωμεν, ὅτι Γῆ εἶ καὶ σποδός· καί, «Τί ὑπερηφανεύεται γῆ καὶ σποδός», καί, ὅτι «Ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις αὐτῷ», καί, ὅτι «Ἀνὴρ θυμώδης, οὐκ εὐσχήμων». Οὐδὲν γὰρ αἰσχρότερον ὄψεως θυμουμένης, οὐδὲν δυσειδέστερον. Εἰ δὲ ὄψεως, πολλῷ μᾶλλον ψυχῆς. Καθάπερ γὰρ ἀνακυκωμένου βορβόρου δυσωδία εἴωθε γίνεσθαι, οὕτω ψυχῆς ταραττομένης ὑπὸ θυμοῦ, πολλὴ ἔσται ἡ ἀσχημοσύνη καὶ ἀηδία.

Ἀλλ' οὐ φέρω, φησί, τὴν παρὰ τῶν ἐχθρῶν ὕβριν. Τίνος ἕνεκεν; εἰπέ. Ἂν μὲν γὰρ ἀληθὴς ᾖ καὶ πρὸ ἐκείνου ὀφείλεις κατανύττεσθαι καὶ χάριν ἔχει αὐτῷ τῶν ἐλέγχων· ἂν δὲ ψευδής, καταφρόνησον. Εἶπε πένητα; Καταγέλασον. Εἶπε δυσγενῆ ἢ ἀνόητον; Στέναξον ὑπὲρ ἐκείνου λοιπόν. «Ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Ὅταν οὖν ὑβρίσῃ, ἐννόησον τὴν κόλασιν ἣν κολάζεται, καὶ οὐ μόνον οὐχ ἕξεις ὀργήν, ἀλλὰ καὶ δάκρυα ἀφήσεις. Οὐδὲ γὰρ πρὸς τὸν πυρέττοντά τις παροξύνεται, οὔτε πρὸς τὸν φλεγμαίνοντα, ἀλλ' ἐλεεῖ πάντας τοὺς τοιούτους καὶ δακρύει. Τοιοῦτον γάρ ἐστι ψυχὴ ὀργιζομένη.

Ἀλλά, κἂν ἀμύνασθαι βούλῃ, σίγησον, καὶ καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. Ἂν δὲ λοιδορίαν λοιδορίᾳ συνάψῃς, τὸ πῦρ ἀνῆψας. Ἀλλ' ἀσθένειαν καταγινώσκουσιν οἱ παρόντες, φησίν, ἂν σιγήσωμεν. Οὐκ ἀσθένειαν καταγνώσονται, ἀλλ' ἐπὶ φιλοσοφίᾳ θαυμάσονται. Ἂν δὲ ὑβρισθεὶς δηχθῇς, ὕβρισας· ληχθεὶς δέ, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι τὰ λε-

---

3. Γεν. 5, 10.
4. Γεν. 18, 27. Σοφ. Σειρ. 10, 9.
5. Σοφ. Σειρ. 1, 28. 22.
6. Παροιμ. 11, 25.
7. Ματθ. 5, 22.

μὴ καταβαλλώμεθα, διὰ νὰ καταστρέψωμεν τοὺς ἑαυτούς μας ἀμυνόμενοι. Διότι ὁ θυμὸς εἶναι θηρίον καὶ μάλιστα θηρίον ἄγριον καὶ θερμόν. Ἂς ἐπαναλαμβάνωμεν λοιπὸν ἀπὸ μέσα μας τὰ λόγια τῆς ἁγίας Γραφῆς καὶ ἂς λέγωμεν· «Χῶμα καὶ σκόνη εἶσαι»[3], ἢ «Τί ὑπερηφανεύεται τὸ χῶμα καὶ ἡ σκόνη»[4], ἢ «Ἡ ἔφοδος τῆς ὀργῆς εἶναι ἡ καταστροφή του»[5], ἢ «Θυμωμένος ἄνθρωπος δὲν εἶναι μετριόφρων»[6]. Διότι δὲν ὑπάρχει χειρότερον οὔτε ἀσχημότερον πρᾶγμα ἀπὸ τὸ πρόσωπον τοῦ θυμωμένου. Καὶ ἐὰν δὲν ὑπάρχῃ ἀπὸ τοιοῦτον πρόσωπον, πολὺ περισσότερον δὲν θὰ ὑπάρχῃ ἀπὸ θυμωμένην ψυχήν. Διότι, ὅπως ἀκριβῶς ὅταν ἀνακατεύεται ἡ λάσπη, ἀναδίδει δυσοσμίαν, ἔτσι καὶ ὅταν ταράσσεται ἡ ψυχὴ ἀπὸ τὸν θυμόν, ἐκβάλλει πολλὴν ἀσχημίαν καὶ ἀηδίαν.

Ἀλλὰ δὲν ὑποφέρω, θὰ ἰσχυρισθῇς, τὴν ὕβριν ἀπὸ τοὺς ἐχθρούς μου. Ἀπάντησέ μου, διὰ ποῖον λόγον; Διότι, ἂν μὲν ἡ ὕβρις εἶναι ἀληθινή, ὀφείλεις νὰ τὴν ὑποστῇς καὶ νὰ τὸν εὐχαριστήσῃς, διότι σὲ ἐλέγχει. Ἂν πάλιν εἶναι ψευδής, περιφρόνησέ τον. Σὲ εἶπε πτωχόν; Γέλασε. Σὲ εἶπε ἀγενῆ καὶ ἀνόητον; Ἀναστέναξε διὰ λογαριασμόν του. «Διότι ἐκεῖνος ποὺ εἶπε τὸν ἀδελφόν του «Μωρὲ» θὰ παραδοθῇ εἰς τὴν φλογερὰν γέενναν»[7]. Ὅταν λοιπὸν σὲ ὑβρίσῃ, πρέπει νὰ σκεφθῇς τὴν κόλασιν ποὺ ὑφίσταται καὶ ὄχι μόνον δὲν θὰ ὀργισθῇς, ἀλλὰ καὶ θὰ χύσῃς δάκρυα. Διότι δὲν ὀργίζεται κανεὶς ἐναντίον ἀνθρώπου ποὺ ἔχει πυρετόν, οὔτε ἐναντίον ἐκείνου ποὺ καίγεται ἀπὸ τὴν ἀσθένειαν, ἀλλὰ ὅλους αὐτοὺς τοὺς λυπᾶται καὶ δι' ὅλους αὐτοὺς δακρύζει. Διότι κάτι τέτοιο εἶναι ἡ ψυχή, ὅταν ὀργίζεται.

Ἀλλ' ἂν θέλῃς νὰ ἀμυνθῇς, σώπασε καὶ καταφέρεις κατ' αὐτοῦ καίριον κτύπημα. Ἂν ὅμως εἰς τὴν ὕβριν ἀντιτάξῃς ὕβριν, ἀνάπτεις τὸ πῦρ. Ἀλλά, θὰ ἰσχυρισθῇς, οἱ παρόντες θὰ μᾶς κατηγορήσουν ὡς ἀδυνάτους, ἂν σιωπήσωμεν. Δὲν θὰ μᾶς κατηγορήσουν δι' ἀδυναμίαν, ἀλλὰ θὰ μᾶς θαυμάσουν ὡς στοχαστικούς. Ἂν ὅμως ἀνάψῃς ἕνεκα ὕβρεως καὶ ὑβρίσῃς καὶ σύ, θὰ δώσῃς ἀφορμὴν νὰ θεωρηθῇ

γόμενα. Διατί, εἰπέ μοι, ὁ πλούσιος γελᾷ ἀκούων πένης; ἆρ' οὐχ ὅτι μὴ σύνοιδεν ἑαυτῷ πενίαν; Οὕτω καὶ ἡμεῖς, ἂν μᾶλλον γελάσωμεν ἐπὶ ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρέξομεν τοῦ μὴ συνειδέναι τοῖς λεγομένοις. Ἄλλως δέ, μέχρι πότε τὰς τῶν ἀνθρώπων δεδοίκαμεν εὐθύνας; μέχρι πότε τοῦ κοινοῦ καταφρονοῦμεν Δεσπότου, καὶ τῇ σαρκὶ προσηλώμεθα; «Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;» .

Γενώμεθα τοίνυν πνευματικοί, καὶ χαλινώσωμεν τὸ δεινὸν τοῦτο θηρίον. Ὀργῆς καὶ μανίας μέσον οὐδέν, ἀλλὰ πρόσκαιρός ἐστι δαίμων, μᾶλλον δὲ καὶ δαιμονῶντος χαλεπώτερον. Ὁ μὲν γὰρ δαιμονῶν καὶ συγγνώμης ἀπολαύσαιεν ἄν· ὁ δὲ ὀργιζόμενος, μυρίων ἔσται κολάσεων ἄξιος, ἑκὼν ἑαυτὸν ἐπὶ βάραθρα τῆς ἀπωλείας φέρων καὶ πρὸ τῆς μελλούσης γεέννης ἐντεῦθεν ἤδη τὴν δίκην τιννύων, θόρυβόν τινα ἄπαυστον καὶ ζάλην ἀσίγητον διὰ πάσης μὲν νυκτός, διὰ πάσης δὲ ἡμέρας ἐπεισάγων τοῖς τῆς ψυχῆς λογισμοῖς. Ἵν' οὖν καὶ τῆς ἐν τῷ παρόντι κολάσεως καὶ τῆς ἐν τῷ μέλλοντι τιμωρίας ἑαυτοὺς ἀπαλλάξωμεν, ἐκβαλόντες τουτὶ τὸ πάθος, πραότητα πᾶσαν ἐπιδειξώμεθα καὶ ἐπιείκειαν, ἵνα καὶ ἐνταῦθα ἀνάπαυσιν εὕρωμεν τῇ ψυχῇ ἡμῶν καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. Α' Κορ. 3, 3.

ὅτι ἀληθεύουν τὰ ὅσα σὲ κατηγοροῦν. Διατί, σὲ ἐρωτῶ, ὁ πλούσιος γελᾷ, ὅταν ἀκούσῃ νὰ τὸν ἀποκαλοῦν ὅτι εἶναι πτωχός; Ὄχι ἄρα γε διότι ἔχει συνείδησιν ὅτι δὲν εἶναι πτωχός; Κατὰ τὸν ἴδιον τρόπον καὶ ἡμεῖς, ἂν μᾶλλον γελάσωμεν διὰ τὰς ὕβρεις, θὰ δώσωμεν μεγάλην ἀπόδειξιν, ὅτι ἡμεῖς δὲν ἔχομεν συνείδησιν αὐτοῦ τοῦ πράγματος. Καὶ ἐπὶ τέλους, μέχρι πότε θὰ φοβούμεθα τὰς κατηγορίας τῶν ἀνθρώπων; Μέχρι πότε θὰ περιφρονοῦμεν τὸν κοινόν μας Κύριον καὶ θὰ εἴμεθα προσηλωμένοι εἰς τὴν σάρκα; «Ὅταν ὑπάρχῃ μεταξύ σας ζηλοτυπία καὶ φιλονεικία καὶ διαίρεσις, δὲν εἶσθε γήϊνοι;»[8].

Ἂς γίνωμεν λοιπὸν πνευματικοὶ καὶ ἂς χαλιναγωγήσωμεν αὐτὸ τὸ φοβερὸν θηρίον. Μεταξὺ ὀργῆς καὶ μανίας δὲν ὑπάρχει διάκρισις, ἀλλ' ὑπάρχει κάποιος πρόσκαιρος δαίμων, μᾶλλον κάτι σοβαρότερον ἀπὸ τὸν δαιμονιζόμενον. Διότι ὁ μὲν δαιμονιζόμενος ἴσως τύχῃ κάποιας συγγνώμης, ἐνῷ ὁ ὀργιζόμενος θὰ εἶναι ἄξιος μυρίων κολάσεων, ἐπειδὴ ὁδηγεῖ τὸν ἑαυτόν του εἰς τοὺς κρημνοὺς τῆς καταστροφῆς καὶ ἐπειδὴ τιμωρεῖται διὰ τοῦτο πρὶν ἀπὸ τὴν μέλλουσαν γέενναν, εἰσάγων εἰς σκέψεις του ἀκατάπαυστον θόρυβον καὶ ἀκατασίγαστον ζάλην ὅλην τὴν νύκτα καὶ ὅλην τὴν ἡμέραν. Διὰ ν' ἀπαλλαγῶμεν λοιπὸν καὶ τῆς παρούσης τιμωρίας καὶ τῆς μελλοντικῆς κολάσεως, ἂς ἐπιδείξωμεν κάθε ἠρεμίαν καὶ πραότητα διὰ νὰ εὕρῃ ἡ ψυχή μας τὴν ἀνάπαυσιν καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΘ΄.

Ἰω. 7, 9 - 24

«Ταῦτα εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ, ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς ἀλλ' ὡς ἐν κρυπτῷ».

1. Τὰ ἀνθρωπίνως ὑπὸ τοῦ Χριστοῦ οἰκονομούμενα, οὐ διὰ τοῦτο μόνον οἰκονομεῖται, ἵνα τὴν σάρκωσιν βεβαιώσηται, ἀλλ' ἵνα καὶ ἡμᾶς παιδεύσῃ πρὸς ἀρετήν. Εἰ γὰρ πάντα ὡς Θεὸς ἔπραττε, πόθεν ἐδυνάμεθα ἡμεῖς εἰδέναι, περιπίπτοντες ἀβουλήτοις, τί χρὴ ποιεῖν; οἷόν τι λέγω· ἐν τούτῳ τε αὐτῷ ὢν τῷ χωρίῳ φονώντων τῶν Ἰουδαίων εἰς μέσον εὐθέως παρελθὼν κατέστειλε τὴν ὁρμήν. Εἰ τοίνυν τοῦτο ἐποίει διηνεκῶς, ἡμεῖς οὐ δυνάμενοι τοῦτο ποιεῖν, περιπίπτοντες δέ, πόθεν ἂν ἔγνωμεν πῶς δεῖ τῷ πράγματι χρῆσθαι; καὶ πότερον εὐθέως ἀποθανεῖν, ἤ τι καὶ οἰκονομῆσαι δέον, ὥστε προχωρῆσαι τὸν λόγον; Ἐπεὶ οὖν οὐκ ἂν ἐμάθομεν ἡμεῖς, οἱ μὴ δυνάμενοι, παρελθόντες εἰς μέσον τί δεῖ ποιεῖν, διὰ τοῦτο καὶ ταῦτα παρ' αὐτοῦ παιδευόμεθα.

«Ταῦτα», γάρ, φησίν, «εἰπὼν ὁ Ἰησοῦς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε ἀνέβη καὶ αὐτός, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ». Τὸ εἰπεῖν, ὅτι «Ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ», ἐμφαίνοντός ἐστιν, ὅτι οὐκ ἐβούλετο μετ' ἐκείνων ἀνελθεῖν. Διὸ καὶ μένει ἐν ᾧπερ ἦν, οὔτε δῆλον κατέστησεν ἑαυτόν, ἐκείνων πως κατεπειγόντων τοῦτο ποιῆσαι. Τί δήποτε δὲ ἐν παρρησίᾳ διαλεγόμενος ἀεί, ὡς ἐν κρυπτῷ νῦν τοῦτο ποιεῖ; Οὐκ εἶπεν, Κρύφα, ἀλλ' «Ὡς ἐν κρυπτῷ». Οὕτω γὰρ ἐχρῆν, ὅπερ εἶπον, παιδεύων

---

1. Ἰω. 7, 10.

ΟΜΙΛΙΑ ΜΘ΄.

Ἰω. 7, 9 - 24

«Ἀφοῦ τοὺς εἶπεν αὐτά, ἔμεινεν εἰς τὴν Γαλιλαίαν. Ἀλλ' ὅταν ἐπῆγαν οἱ ἀδελφοί του εἰς τὴν ἑορτήν, τότε ἐπῆγε καὶ αὐτὸς ὄχι φανερὰ ἀλλὰ σχεδὸν κρυφά»[1].

1. Ὅσα ἔπραξεν ὁ Χριστὸς ὡς ἄνθρωπος δὲν τὰ ἔπραξε μόνον μὲ σκοπὸν νὰ βεβαιώσῃ τὴν ἐνσάρκωσίν του, ἀλλὰ καὶ διὰ νὰ μᾶς παιδαγωγήσῃ εἰς τὴν ἀρετήν. Διότι, ἐὰν τὰ ἔπραττεν ὅλα ὡς Θεός, μὲ ποῖον τρόπον θὰ ἠμπορούσαμεν ἡμεῖς, οἱ ὁποῖοι περιπίπτομεν εἰς πλάνας, νὰ διδαχθῶμεν, τί πρέπει νὰ κάμνωμεν; Καὶ βλέπομεν λόγου χάριν εἰς τὴν παροῦσαν περικοπήν, ὅτι, ἐνῷ οἱ Ἰουδαῖοι ἐσκέπτοντο νὰ τὸν φονεύσουν, ὁ Χριστὸς παρουσιασθεὶς ἀνάμεσά των κατέστειλεν αὐτὴν τὴν ἐπιθυμίαν των. Ἐὰν λοιπὸν ἔκαμνε τοῦτο διαρκῶς, ἐπειδὴ ἡμεῖς δὲν ἠμποροῦμεν νὰ πράττωμεν τοῦτο ἀλλ' ἀντιθέτως ὑποκύπτομεν εἰς αὐτὴν τὴν ἐπιθυμίαν, μὲ ποῖον τρόπον θὰ ἐμαθαίναμεν, τί ἐν προκειμένῳ ἔπρεπε νὰ γίνῃ; ποῖον ἐκ τῶν δύο, ἔπρεπε ν' ἀποθάνῃ ἢ νὰ προβλέψῃ κάτι ἄλλο, ὥστε νὰ προχωρήσῃ ὁ λόγος; Ἐπειδὴ λοιπὸν ἡμεῖς, οἱ ὁποῖοι δὲν εἴμεθα ἐφωδιασμένοι μὲ τοιαύτην δύναμιν, δὲν θὰ ἐμαθαίναμεν, ἔστω καὶ ἂν εὑρισκώμεθα εἰς ἀπορίαν, τί ἔπρεπε νὰ κάμωμεν, διὰ τοῦτο διδασκόμεθα ἀπὸ αὐτόν.

Λέγει λοιπὸν ὁ Εὐαγγελιστής· «Ἀφοῦ τοὺς εἶπεν αὐτὰ ὁ Ἰησοῦς, ἔμεινεν εἰς τὴν Γαλιλαίαν. Ἀλλ' ὅταν ἐπῆγαν οἱ ἀδελφοί του, τότε ἐπῆγε καὶ αὐτός, ὄχι φανερὰ ἀλλὰ σχεδὸν κρυφά». Ἡ φράσις, «Ἐπῆγαν οἱ ἀδελφοί του», σημαίνει, ὅτι δὲν ἤθελε νὰ πάῃ μαζί των. Διὰ τοῦτο μένει ἐκεῖ καὶ δὲν δεικνύει φανερὰ τὴν πρόθεσίν του, μολονότι οἱ ἀδελφοί του προσεπάθουν κατὰ κάποιον τρόπον νὰ τὸν πείσουν εἰς τοῦτο. Διατί λοιπόν, ἐνῷ ὡμίλει πάντοτε φανερά, κάμνει τοῦτο σχεδὸν κρυφά; Δὲν εἶπεν «Κρυφὰ» ἀλλὰ «Σχεδὸν κρυφά». Διότι, ὅπως εἶπα, διὰ νὰ μᾶς παιδαγωγή-

ἡμᾶς τὰ πράγματα οἰκονομεῖν. Καὶ χωρὶς τούτου δὲ οὐκ ἦν ἴσον ζεόντων αὐτῶν καὶ σφαδαζόντων ἐμπεσεῖν, καὶ μετὰ ταῦτα τῆς ἑορτῆς διαλυθείσης.

«Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν καὶ ἔλεγον, Ποῦ ἐστιν ἐκεῖνος;». Καλά γε αὐτῶν τὰ ἐν ταῖς ἑορταῖς κατορθώματα· ἐπὶ φόνον ὁρμῶσι καὶ ἐν τῇ ἑορτῇ βουλεύονται αὐτὸν συλλαβεῖν. Οὕτω γοῦν καὶ ἀλλαχοῦ λέγουσι· «Τί δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ ἐν τῇ ἑορτῇ;». Καὶ ἐνταῦθα, «Ποῦ ἐστιν ἐκεῖνος;». Ὑπὸ τοῦ πολλοῦ μίσους καὶ τῆς ἀπεχθείας οὐδὲ ὀνομαστὶ αὐτὸν καλεῖν ἐβούλοντο. Πολλὴ ἡ εἰς τὴν ἑορτὴν αἰδώς, μεγάλη ἡ εὐλάβεια· ἀπ' αὐτῆς τῆς ἑορτῆς αὐτὸν θηρεῦσαι ἐβούλοντο.

«Καὶ γογγυσμὸς ἦν περὶ αὐτοῦ πολὺς ἐν τοῖς ὄχλοις». Ἐμοὶ δὲ δοκεῖ καὶ ἀπὸ τοῦ τόπου παροξύνεσθαι αὐτούς, ἔνθα τὸ σημεῖον ἐγένετο καὶ ὁμοῦ ἀγριαίνειν καὶ δεδοικέναι, οὐχ οὕτως ὑπὲρ τοῦ παρελθόντος ὀργιζομένους, ὡς φοβουμένους, μὴ πάλιν ἐργάσηταί τι τοιοῦτον. Ἐξέβαινε δὲ πᾶν τοὐναντίον καὶ ἄκοντες φανερὸν αὐτὸν ἐποίουν. «Καὶ οἱ μὲν ἔλεγον, ὅτι Ἀγαθός ἐστιν, οἱ δέ, Οὐκ, ἀλλὰ πλανᾷ τὸν ὄχλον». Ἐκείνην μὲν οὖν οἶμαι τὴν δόξαν τῶν πολλῶν εἶναι· ταύτην δέ, τῶν ἀρχόντων καὶ τῶν ἱερέων. Τὸ γὰρ διαβάλλειν τῆς ἐκείνων βασκανίας καὶ πονηρία ἐστί. «Πλανᾷ», φησί, τὸν ὄχλον. Τί ποιῶν, εἰπέ μοι; ἆρα φαντάζων καὶ οὐκ ἐργαζόμενος τὰ σημεῖα; Καὶ μὴν τοὐναντίον ἡ πεῖρα μαρτυρεῖ.

«Οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων». Ὁρᾷς πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον, τοὺς δὲ ἀρχομένους ὑγιαίνοντας μὲν τῇ κρίσει, οὐκ ἔχοντας δὲ ἀνδρείαν προσήκουσαν, ἧς μάλιστα τῷ πλήθει δεῖ; «Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς, καὶ ἐδίδασκε». Τῇ ἀναβολῇ προσεκτικωτέρους αὐτοὺς ἐποίησεν.

---

2. Ἰω. 11, 56.

ση, ἔτσι ἔπρεπε νὰ πράξῃ. Ἐκτὸς αὐτοῦ δὲν ἦτο τὸ ἴδιο νὰ φανερωθῇ εἰς τοὺς Ἰουδαίους, ὅταν αὐτοὶ ἦσαν ὠργισμένοι καὶ ὠρύοντο, ἀλλὰ μετὰ τὴν ἑορτάσιμον ἡμέραν.

«Οἱ Ἰουδαῖοι λοιπὸν τὸν ἀνεζήτουν καὶ ἔλεγαν· «Ποῦ εἶναι ἐκεῖνος;». Ὡραῖα ἦσαν τὰ ἔργα των εἰς ἑορτάσιμον ἡμέραν! Προετοιμάζονται διὰ φόνον καὶ σκέπτονται νὰ συλλάβουν τὸν Χριστὸν κατὰ τὴν ἑορτήν. Ἔτσι λέγουν καὶ εἰς ἄλλο μέρος· «Τί φρονεῖτε, δὲν θὰ ἔλθῃ εἰς τὴν ἑορτήν;»[2]. Καὶ ἐδῶ ἐρωτοῦν· «Ποῦ εἶναι ἐκεῖνος;». Ἕνεκα τοῦ μεγάλου μίσους των καὶ τοῦ φθόνου των δὲν ἤθελαν νὰ τὸν εἰποῦν οὔτε μὲ τὸ ὄνομά του. Μεγάλος ἦτο ὁ σεβασμός των καὶ μεγάλη ἡ εὐλάβειά των διὰ τὴν ἑορτήν! Κατὰ τὴν διάρκειαν τῆς ἑορτῆς ἤθελαν νὰ τὸν συλλάβουν.

«Καὶ μεγάλη φιλονεικία ἐγίνετο δι' αὐτὸν μεταξὺ τοῦ λαοῦ». Ἐγὼ ὅμως νομίζω, ὅτι οἱ Ἰουδαῖοι ὠργίζοντο περισσότερον ἀπὸ τὸν τόπον, ὅπου εἶχε γίνει τὸ θαῦμα καὶ ὅτι εἶχαν ἐξαγριωθῆ, ὄχι τόσον ἀπὸ ἀγανάκτησιν δι' αὐτὸ ποὺ εἶχε γίνει εἰς τὸ παρελθόν, ἀλλ' ἀπὸ φόβον μήπως κάμῃ πάλιν τὸ ἴδιο. Συνέβαινεν ὅμως τὸ ἐντελῶς ἀντίθετον καὶ τὸν ἔκαμναν φανερὸν χωρὶς νὰ θέλουν. «Καὶ ἄλλοι μὲν ἔλεγαν· «Εἶναι καλὸς ἄνθρωπος», ἄλλοι ὅμως· «Ὄχι, πλανᾷ τὸν λαόν». Ἡ πρώτη γνώμη νομίζω ὅτι εἶναι τῶν περισσοτέρων ἀνθρώπων, ἐνῷ ἡ δευτέρα εἶναι τῶν ἀρχόντων καὶ τῶν ἱερέων. Διότι ἡ συκοφαντία ἦτο ἔργον τοῦ φθόνου καὶ τῆς μοχθηρίας των. «Πλανᾷ» τὸν λαόν, ἰσχυρίζοντο. Εἰπέ μου, μὲ ποῖον τρόπον; Μήπως ἔκαμνε τὰ θαύματα διὰ τῆς φαντασίας καὶ ὄχι διὰ τῶν ἔργων; Ἀλλ' ἡ πεῖρα μαρτυρεῖ τὸ ἀντίθετον.

«Κανεὶς ὅμως δὲν ὡμίλει δημοσίᾳ περὶ αὐτοῦ, ἐπειδὴ ἐφοβοῦντο τοὺς Ἰουδαίους». Βλέπεις ὅτι παντοῦ οἱ μὲν ἄρχοντες εἶναι διεφθαρμένοι ἐνῷ οἱ ἀρχόμενοι ἔχουν ὀρθὴν κρίσιν, ἀλλὰ δὲν ἔχουν τὴν ἁρμόζουσαν δύναμιν, ἡ ὁποία εἶναι πάρα πολὺ ἀναγκαία εἰς τὸ πλῆθος; «Κατὰ τὸ μέσον τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς καὶ ἐδίδασκε». Μὲ τὴν ἀναμονὴν

Οἱ γὰρ ταῖς ἡμέραις ζητήσαντες αὐτὸν ταῖς πρώταις καὶ λέγοντες, «Ποῦ ἐστιν ἐκεῖνος;», ἄφνω παρόντα ἰδόντες, ὅρα πῶς ἐπέστησαν, καὶ ἔμελλον ἐπικεῖσθαι λέγοντι, οἵ τε ἀγαθὸν λέγοντες, οἵ τε μὴ τοιοῦτον· ἀλλ' ἐκεῖνοι μέν, ὥστε κερδάναι τι καὶ θαυμάσαι· οὗτοι δέ, ὥστε ἐπιλαβέσθαι, καὶ κατασχεῖν.

Τὸ μὲν οὖν, «Πλανᾷ τὸν ὄχλον», ἀπὸ τῆς διδασκαλίας τῶν δογμάτων ἔλεγον, οὐ νοοῦντες τὰ λεγόμενα, τὸ δέ, «Ἀγαθός», ἀπὸ τῶν σημείων. Χαλάσας τοίνυν αὐτῶν τὸν θυμὸν οὕτως ἐπέστη, ὥστε μετὰ σχολῆς ἀκοῦσαι τῶν λεγομένων, μηκέτι τῆς ὀργῆς ἐμφραττούσης τὰ ὦτα. Τί μὲν οὖν ἐδίδαξεν, οὐκ εἶπεν· ὅτι δὲ θαυμαστῶς, τοῦτο μόνον λέγει, καὶ ὅτι εἷλεν αὐτοὺς καὶ μετέβαλε· τοσαύτη τῶν λεγομένων ἦν ἡ δύναμις. Οἱ δὲ εἰπόντες, ὅτι Πλανᾷ τὸν ὄχλον, μεταβαλλόμενοι ἐθαύμαζον· διὸ καὶ ἔλεγον· «Πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς;». Ὁρᾷς πῶς δείκνυσι καὶ ἐνταῦθα πονηρίας γέμον τὸ θαῦμα αὐτῶν; Οὐ γὰρ εἶπεν, ὅτι τὴν διδασκαλίαν ἐθαύμαζον· ἢ ὅτι ἐδέχοντο τὰ λεγόμενα· ἀλλ' ἁπλῶς, «Ἐθαύμαζον»· τουτέστιν, εἰς ἐκπληξίαν ἐνέπιπτον καὶ διηπόρουν λέγοντες, Πόθεν τούτῳ ταῦτα; δέον ἀπὸ τῆς ἀπορίας ταύτης συνιδεῖν, ὅτι οὐδὲν ἀνθρώπινον ἦν ἐν αὐτῷ.

Ἀλλ' ἐπειδὴ τοῦτο αὐτοὶ οὐκ ἤθελον ὁμολογῆσαι, ἀλλὰ μέχρι τοῦ θαυμάζειν ἵσταντο μόνον, ἄκουσον τί φησιν αὐτός· «Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή». Πάλιν πρὸς τὴν ἀπόνοιαν αὐτῶν ἀποκρίνεται, ἐπὶ τὸν Πατέρα αὐτοὺς ἄγων

τοὺς ἔκαμε περισσότερον προσεκτικούς. Διότι ἐκεῖνοι ποὺ τὸν ἀνεζήτουν κατὰ τὰς προηγουμένας ἡμέρας καὶ ἔλεγαν, «Ποῦ εἶναι ἐκεῖνος;», μόλις τὸν εἶδαν νὰ παρουσιάζεται αἰφνιδίως, πρόσεξε μὲ ποῖον τρόπον προσῆλθαν εἰς αὐτὸν καὶ ἔμελλον νὰ παρακολουθήσουν τὴν ὁμιλίαν του, λέγοντες ἄλλοι μὲν ὅτι εἶναι καλός, ἄλλοι δὲ ὅτι δὲν εἶναι. Ἀλλ' ἐκεῖνοι ποὺ ἔλεγαν ὅτι εἶναι καλός, τὸ ἔκαμναν διὰ ν' ἀποκομίσουν κάποιο κέρδος καὶ διὰ νὰ τὸν θαυμάσουν. Ἐκεῖνοι ὅμως ποὺ ἔλεγαν ὅτι δὲν εἶναι καλός, τὸ ἔκαμναν διὰ νὰ τὸν συλλάβουν καὶ νὰ τὸν κρατήσουν.

Μὲ τὰ λόγια «Πλανᾷ τὸν λαὸν» ἐννοοῦσαν τὴν διδασκαλίαν τῶν δογμάτων, ἐπειδὴ δὲν ἐκαταλάβαιναν τὰ λεγόμενα. Μὲ τὸ «Ἀγαθὸς» πάλιν, ἐννοοῦσαν τὰ θαύματα. Ἀφοῦ λοιπὸν κατέπαυσε τὸν θυμόν των, ἐπενέβη κατὰ τέτοιον τρόπον, ὥστε ν' ἀκούσουν τὰ λόγια του μὲ προσοχήν, ἀφοῦ πλέον ἡ ὀργὴ δὲν ἔφραττε τὰ ὦτα των. Τί ἀκριβῶς ἐδίδαξε, δὲν εἶπεν ὁ Εὐαγγελιστής. Λέγει μόνον ὅτι τοὺς κατέπληξε, τοὺς συνήρπασε καὶ τοὺς ἤλλαξε. Τόσον μεγάλην δύναμιν εἶχον τὰ λόγια του. Ἀκόμη καὶ αὐτοὶ ποὺ ἔλεγαν «Πλανᾷ τὸν λαόν», ἤλλαξαν γνώμην καὶ τὸν ἐθαύμαζαν. Δι' αὐτὸ ἔλεγαν· «Πῶς αὐτὸς ξεύρει γράμματα, ἀφοῦ δὲν ἐσπούδασε;». Βλέπεις μὲ ποῖον τρόπον καὶ ἐδῶ ἀποδεικνύει, ὅτι ὁ θαυμασμός των ἦτο γεμᾶτος πονηρίαν; Διότι δὲν λέγει ὁ Εὐαγγελιστὴς ὅτι ἐθαύμαζαν τὴν διδασκαλίαν, ἢ ὅτι ἐδέχοντο τὰ λόγια του, ἀλλὰ μόνον «Ἐθαύμαζαν», δηλαδὴ κατελαμβάνοντο ἀπὸ ἔκπληξιν καὶ ἀποροῦσαν λέγοντες· Ἀπὸ ποῦ τὰ ξεύρει αὐτά; Ὤφειλαν ὅμως ἀπὸ τὴν ἀπορίαν των αὐτὴν νὰ ἐννοήσουν, ὅτι δὲν ὑπῆρχεν εἰς αὐτὸν τίποτε τὸ καθαρῶς ἀνθρώπινον.

Ἐπειδὴ ὅμως οἱ Ἰουδαῖοι δὲν ἤθελαν νὰ παραδεχθοῦν τοῦτο, ἀλλὰ μόνον τὸν ἐθαύμαζαν, ἄκουσε τί λέγει ὁ ἴδιος ὁ Χριστός· «Ἡ διδασκαλία μου δὲν εἶναι ἰδική μου». Πάλιν ἀπαντᾷ εἰς τὴν ὑποψίαν των, ἀναφέρει εἰς αὐτοὺς τὸν Πατέρα καὶ μ' αὐτὸν τὸν τρόπον θέλει νὰ τοὺς ἀποστομώσῃ·

κἀκεῖθεν ἐπιστομίσαι βουλόμενος. «Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδασκαλίας, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὃ δὲ λέγει, τοῦτό ἐστι· τὴν πονηρίαν ἐξ ἑαυτῶν ἐκβάλετε καὶ τὴν ὀργὴν καὶ τὸν φθόνον καὶ τὸ μῖσος τὸ εἰκῇ πρὸς ἐμὲ γεγενημένον καὶ οὐδὲν τὸ κωλύον ὑμᾶς γνωρίσαι, ὅτι Θεοῦ ὄντως ἐστὶ τὰ ῥήματα τὰ ἐμά. Νῦν μὲν γὰρ ὑμῖν ταῦτα ἐπισκοπεῖ, καὶ τὴν ὀρθὴν διαφθείρει κρίσιν λάμπουσαν· ἂν δὲ ταῦτα ἐξέλητε, οὐκ ἔτι τοῦτο πείσεσθε.

Ἀλλ' οὕτω μὲν οὐκ εἶπεν· ἔπληξε γὰρ ἂν αὐτοὺς σφοδρῶς· πάντα δὲ ταῦτα ᾐνίξατο διὰ τοῦ εἰπεῖν. «Ὁ ποιῶν τὸ θέλημα αὐτοῦ, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ»· τουτέστιν, Ἤ ἐγὼ ἀλλότριόν τι καὶ ξένον καὶ ἐναντίον φθέγγομαι. Τὸ γάρ, «Ἀπ' ἐμαυτοῦ», ἀεὶ ἐπὶ τοῦτο κεῖται, ὅτι οὐδὲν ἔξω τῶν αὐτῷ δοκούντων λέγω, ἀλλὰ πάντα ἃ ὁ Πατὴρ βούλεται, ταῦτα κἀγώ, «Ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς». Τί ἐστιν, «Ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ»; Ἐάν τις ἐραστὴς ᾖ τοῦ βίου τοῦ κατ' ἀρετήν, εἴσεται τῶν λεγομένων τὴν δύναμιν· ἐάν τις θέλῃ προσέχειν ταῖς προφητείαις, πότερον κατ' αὐτὰς λαλῶ ἢ οὔ.

2. Πῶς δὲ αὐτοῦ καὶ οὐκ αὐτοῦ; Οὐ γὰρ εἶπεν, ἡ διδασκαλία αὕτη οὐκ ἔστιν ἐμή· ἀλλὰ πρότερον εἰπών, ὅτι «Ἐμή ἐστι», καὶ οἰκειωσάμενος αὐτήν, τότε ἐπήγαγεν, «Οὐκ ἔστιν ἐμή». Πῶς οὖν τὸ αὐτὸ δύναται εἶναι, καὶ αὐτοῦ καὶ οὐκ αὐτοῦ; Αὐτοῦ μέν, ὅτι ὡς μὴ διδασκόμενος ἔλεγεν· οὐκ αὐτοῦ δέ, ὅτι τοῦ Πατρὸς ἦν ἡ διδασκαλία. Πῶς οὖν λέγει, «Πάντα τὰ τοῦ Πατρὸς ἐμά ἐστι καὶ τὰ ἐμὰ αὐτοῦ»;

«Ἐὰν θέλῃ κανεὶς νὰ κάμνῃ τὸ θέλημα τοῦ Θεοῦ, θὰ γνωρίσῃ, ἐὰν ἡ διδασκαλία μου προέρχεται ἀπὸ αὐτὸν ἢ ἐὰν ἐγὼ ὁμιλῶ ἀπὸ τὸν ἑαυτόν μου». Μὲ αὐτὰ εἶναι σὰν νὰ τοὺς λέγῃ· Βγάλετε ἀπὸ μέσα σας τὴν πονηρίαν, τὴν ὀργήν, τὸν φθόνον καὶ τὸ παράλογον μῖσος ποὺ τρέφετε δι' ἐμὲ καὶ τίποτε δὲν θὰ σᾶς ἐμποδίζῃ νὰ γνωρίσετε, ὅτι τὰ λόγια μου αὐτὰ προέρχονται πραγματικὰ ἀπὸ τὸν Θεόν. Διότι τώρα μὲν αὐτὰ ἔχουν ἀμαυρωθῆ ἀπὸ τὸ σκότος καὶ ἐμποδίζουν τὴν ὀρθήν σας κρίσιν νὰ διαλάμψῃ. Ἂν ὅμως αὐτὰ ἀποβάλλετε, δὲν θὰ πάθετε τὰ ἴδια.

Καὶ δὲν ὡμίλησε βεβαίως κατ' αὐτὸν τὸν τρόπον, διότι θὰ τοὺς ἐπέπληττε πάρα πολύ, ἀλλὰ τὰ ὑπηνίχθη ὅλα αὐτὰ μὲ τὸ νὰ εἰπῇ, «Ἐκεῖνος ποὺ κάμνει τὸ θέλημα τοῦ Θεοῦ, θὰ μάθῃ περὶ τῆς διδασκαλίας, ἂν αὐτὴ προέρχεται ἀπὸ αὐτόν, ἢ ἂν ἐγὼ ὁμιλῶ ἀπὸ τὸν ἑαυτόν μου», δηλαδή, ἂν ἐγὼ λέγω κάτι παράξενον ἢ νέον ἢ κάτι ἀντίθετον. Διότι ἡ λέξις «Ἀπὸ τὸν ἑαυτόν μου» σημαίνει, ὅτι δὲν λέγω τίποτε ποὺ νὰ μὴ εἶναι ἀρεστὸν εἰς αὐτόν, ἀλλὰ ἐκεῖνα ποὺ θέλει ὁ Πατήρ, τὰ ἴδια θέλω καὶ ἐγώ. «Ἐὰν κανεὶς θέλῃ νὰ κάμνῃ τὸ θέλημά του, θὰ γνωρίσῃ περὶ τῆς διδασκαλίας». Τί σημαίνει «Ἐὰν κανεὶς θέλῃ νὰ κάμνῃ τὸ θέλημά του»; Σημαίνει ὅτι, ἐὰν ἀγαπᾷ τὴν ἀρετὴν εἰς τὴν ζωήν του, θὰ γνωρίσῃ τὴν δύναμιν τῶν λόγων μου. Ἐὰν κανεὶς θέλῃ νὰ προσέχῃ εἰς τὰς προφητείας, θὰ γνωρίσῃ ἐὰν ὁμιλῶ σύμφωνα μὲ αὐτὰς ἢ ὄχι.

2. Πῶς ὅμως εἶναι δυνατὸν νὰ εἶναι ἰδικά του καὶ νὰ μὴ εἶναι; Διότι δὲν εἶπεν, ἡ διδασκαλία αὐτὴ δὲν εἶναι ἰδική μου, ἀλλὰ ἀφοῦ εἶπε προηγουμένως, «Εἶναι ἰδική μου» καὶ ἀφοῦ τὴν ἔκαμεν ἰδικήν του, ἔπειτα προσέθεσε, «Δὲν εἶναι ἰδική μου». Πῶς λοιπὸν ἠμπορεῖ τὸ ἴδιο πρᾶγμα νὰ εἶναι ἰδικόν του καὶ νὰ μὴ εἶναι; Ἦτο μὲν ἰδικόν του, διότι ὡμίλει χωρὶς νὰ ἔχῃ διδαχθῆ. Δὲν ἦτο ὅμως ἰδικόν του, διότι ἡ διδασκαλία προήρχετο ἀπὸ τὸν Πατέρα. Διατί ὅμως λέγει, «Ὅλα τὰ τοῦ Πατρὸς εἶναι ἰδικά μου καὶ ὅλα τὰ ἰδικά μου

Εἰ γὰρ ἐπειδὴ τοῦ Πατρός ἐστι, διὰ τοῦτο οὐκ ἔστι σή, ψεῦδος ἐκεῖνο· διὰ τοῦτο γὰρ ὤφειλεν εἶναι σή. Ἀλλὰ τό, «Οὐ ἐμή», σφόδρα αὐτοῦ καὶ τοῦ Πατρὸς μίαν εἶναι δηλοῖ τὴν διδαχήν· ὡσανεὶ ἔλεγεν· οὐδὲν ἔχει παρηλλαγμένον, ὡς ἑτέρου οὖσα. Εἰ γὰρ καὶ ἡ ὑπόστασις ἄλλη, ἀλλ' οὕτω καὶ λέγω καὶ πράττω, ὡς μὴ νομίζεσθαι ἕτερόν τι παρὰ τὸν Πατέρα, ἀλλὰ τὸ αὐτὸ ὅπερ ὁ Πατὴρ εἶπεν ἢ ἔπραξεν.

Εἶτα καὶ ἄλλον ἐπάγει συλλογισμὸν ἀναντίρρητον, ἀνθρώπινόν τι παράγων εἰς μέσον, καὶ ἀπὸ τῶν ἐν συνηθείᾳ παιδεύων. Τί δὲ τοῦτό ἐστιν; «Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ». Τουτέστιν, ὁ βουλόμενος ἰδίαν τινὰ στῆσαι διδασκαλίαν, δι' οὐδὲν ἕτερον βούλεται, ἀλλ' ἢ δόξαν ἐκ τούτου καρποῦσθαι. Εἰ δὲ ἐγὼ οὐ βούλομαι καρπώσασθαι δόξαν, τίνος ἕνεκεν ἰδίαν τινὰ βούλομαι στῆσαι διδασκαλίαν; «Ὁ ἀφ' ἑαυτοῦ λαλῶν»· τουτέστιν, ὁ ἴδιόν τι καὶ παρηλλαγμένον, διὰ τοῦτο λαλεῖ, ἵνα τὴν δόξαν αὐτοῦ στήσῃ. Εἰ δὲ ἐγὼ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, τίνος ἕνεκεν ἂν ἑλοίμην ἕτερα διδάσκειν; Ὁρᾷς ὅτι αἰτία τις ἦν, δι' ἣν καὶ ἐκεῖ ἔλεγε μηδὲν ἀφ' ἑαυτοῦ ποιεῖν; Τίς δὲ αὕτη; Ἵνα πιστεύσωσιν, ὅτι οὐ δόξης ἐφίεται τῆς τῶν πολλῶν. Διὰ τοῦτο ὅταν μὲν ταπεινὰ λέγῃ, «Ἐγὼ τὴν δόξαν τοῦ Πατρὸς ζητῶ», φησί· πανταχοῦ πεῖσαι βουλόμενος, ὅτι οὐ δόξης ἐρᾷ.

Τοῦ μὲν οὖν ταπεινὰ φθέγγεσθαι πολλαί εἰσιν αἰτίαι· οἷον τὸ μὴ ἀγέννητον νομισθῆναι, τὸ μὴ ἀντίθεον, τὸ σάρκα περιβεβλῆσθαι, τὸ ἀσθενὲς τῶν ἀκουόντων, τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριάζειν, καὶ μηδὲν περὶ ἑαυτῶν λέ-

---

3. Ἰω. 17, 10.

εἶναι ἰδικά του»[3]; Διότι, ἐὰν ἡ διδασκαλία δὲν εἶναι ἰδική σου, ἐπειδὴ προέρχεται ἀπὸ τὸν Πατέρα, τὸ προηγούμενον εἶναι ψευδές. Διότι ἀκριβῶς δι' αὐτὸν τὸν λόγον ἔπρεπε νὰ εἶναι ἰδική σου. 'Αλλὰ τό, «Δὲν εἶναι ἰδική μου», φανερώνει καθαρά, ὅτι ἡ διδασκαλία αὐτοῦ καὶ τοῦ Πατρὸς εἶναι μία. Σὰν νὰ λέγῃ, δὲν ἔχει τίποτε τὸ διαφορετικόν, σὰν νὰ προέρχεται ἀπὸ ἄλλον. Διότι, ἂν καὶ εἶναι ἄλλη ἡ ὑπόστασις, ὅμως ὁμιλῶ καὶ πράττω κατὰ τέτοιον τρόπον, ὥστε νὰ μὴ θεωρῆται ὅτι αὐτὸ εἶναι κάτι ἄλλο, ἀλλ' ἀκριβῶς αὐτὸ ποὺ εἶπε καὶ ἔπραξεν ὁ Πατήρ.

Ἔπειτα προσάγει καὶ ἄλλον συλλογισμόν, ποὺ δὲν ἐπιδέχεται ἀντίρρησιν καὶ ποὺ στηρίζεται εἰς συνηθισμένον ἀνθρώπινον παράδειγμα. Καὶ ποῖον εἶναι αὐτό; «Ἐκεῖνος ποὺ ὁμιλεῖ ἀπὸ τὸν ἑαυτόν του, ζητεῖ τὴν ἰδικήν του δόξαν». Δηλαδὴ ἐκεῖνος ποὺ θέλει νὰ ἐπιβάλῃ ἰδικήν του διδασκαλίαν, δὲν τὸ θέλει δι' ἄλλο τίποτε, ἀλλὰ διὰ νὰ καρπωθῇ τὴν δόξαν ἀπὸ αὐτήν. Ἂν λοιπὸν ἐγὼ δὲν θέλω νὰ καρπωθῶ δόξαν, διὰ ποῖον λόγον θέλω νὰ ἐπιβάλλω ἰδικήν μου διδασκαλίαν; «Ὁ ὁμιλῶν ἀπὸ τὸν ἑαυτόν του», δηλαδὴ ἐκεῖνος ποὺ λέγει κάτι ἰδιαίτερον καὶ διαφορετικόν, τὸ λέγει διὰ ν' ἀποκτήσῃ δόξαν. Ἂν ὅμως ἐγὼ ζητῶ τὴν δόξαν ἐκείνου ποὺ μὲ ἔστειλε, διὰ ποῖον λόγον θὰ προετίμων νὰ διδάξω ἄλλα; Βλέπεις λοιπόν, ὅτι εἶχε κάποιαν αἰτίαν, ἕνεκα τῆς ὁποίας ἔλεγε προηγουμένως, ὅτι δὲν κάμνει τίποτε ἀπὸ τὸν ἑαυτόν του; Καὶ ποία εἶναι αὐτὴ ἡ αἰτία; Διὰ νὰ πιστεύσουν, ὅτι δὲν ἐπιθυμεῖ τὴν δόξαν τῶν πολλῶν. Διὰ τοῦτο, ὅταν ὁμιλῇ διὰ ταπεινά, λέγει· «Ἐγὼ ζητῶ τὴν δόξαν τοῦ Πατρός», ἐπειδὴ θέλει νὰ πείσῃ τοὺς Ἰουδαίους, ὅτι δὲν ἐπιθυμεῖ τὴν δόξαν.

Πολλαὶ εἶναι αἱ αἰτίαι, ἕνεκα τῶν ὁποίων χρησιμοποιεῖ ταπεινὰ λόγια, ὅπως τὸ νὰ μὴ θεωρηθῇ ὅτι εἶναι ἀγέννητος, ὅτι εἶναι ἀντίθετος μὲ τὸν Θεόν, τὸ ὅτι ἔχει περιβληθῆ σάρκα, ἡ πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν, τὸ νὰ διδάσκῃ τοὺς ἀνθρώπους νὰ μετριοφρονοῦν καὶ νὰ μὴ περιαυ-

γειν μέγα. Τοῦ δὲ ὑψηλὰ φθέγγεσθαι μίαν εὕροι τις ἂν αἰτίαν, τῆς φύσεως τὸ μέγεθος. Εἰ γάρ, ἐπειδὴ εἶπεν, Πρὸ τοῦ Ἀβραὰμ ἐγώ εἰμι, ἐσκανδαλίσθησαν, τί οὐκ ἂν ἔπαθον ἀεὶ ῥημάτων ὑψηλῶν ἀκούοντες; «Οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; Τί με ζητεῖτε ἀποκτεῖναι;». Καὶ ποίαν ἀκολουθίαν ἔχει τοῦτο, φησίν, ἢ τί κοινὸν πρὸς τὰ πρότερον εἰρημένα;

Δύο ἐγκλήματα ἐπήγαγον, ἕν, ὅτι τὸ Σάββατον λύει· ἄλλο, ὅτι Πατέρα ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ὅτι γὰρ οὐ τῆς ἐκείνων ὑπονοίας ἦν, ἀλλὰ τῆς αὐτοῦ γνώμης· καὶ ὅτι οὐχ ὡς οἱ πολλοί, ἀλλ' ἐξαιρέτως καὶ ἰδιαζόντως ἔλεγε, δῆλον ἐκεῖθεν. Πολλοὶ πολλάκις πατέρα εἶπον τὸν Θεὸν ἑαυτῶν· οἷον, ὅτι «Θεὸς εἷς ἔκτισεν ἡμᾶς καὶ Πατὴρ εἷς πάντων ἡμῶν»· ἀλλ' οὐ παρὰ τοῦτο ἴσος ἦν ὁ λαὸς τῷ Θεῷ· ὅθεν οὐδὲ ἐσκανδαλίζοντο ἀκούοντες. Ὥσπερ οὖν ὅτε, «Οὐκ ἔστιν ἐκ Θεοῦ», ἔλεγον, καὶ ἐθεράπευσεν αὐτοὺς πολλάκις καὶ ὑπὲρ τῆς τοῦ Σαββάτου λύσεως ἀπελογήσατο, οὕτω καὶ τοῦτο, εἰ τῆς ἐκείνων ὑποψίας ἦν καὶ μὴ τῆς αὐτοῦ γνώμης, διώρθωσεν ἂν καὶ εἶπεν· τί με νομίζετε ἴσον τῷ Θεῷ; Οὐκ εἰμὶ ἴσος. Ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ καὶ τοὐναντίον καὶ ἀπέδειξεν ὅτι ἴσος ἐστὶ διὰ τῶν ἑξῆς.

Τὸ γάρ, «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱός»· καί, «Ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα», καί, «Τὰ ἔργα, ἃ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· ταῦτα πάντα τῆς ἰσότητός ἐστι συστατικά. Καὶ περὶ τοῦ νόμου δὲ λέγει· «Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς

4. Μαλ. 2,10.

τολογοῦν. Ἀλλὰ διὰ τὴν χρησιμοποίησιν λόγων μὲ ὑψηλὰ νοήματα μίαν αἰτίαν ἠμπορεῖ νὰ εὕρῃ κανείς, δηλαδὴ τὴν ἔξοχον φύσιν του. Διότι, ἐὰν οἱ Ἰουδαῖοι ἐσκανδαλίσθησαν, ὅταν εἶπεν, Ἐγὼ προϋπῆρξα τοῦ Ἀβραάμ, τί θὰ ἐπάθαιναν ὅταν ἤκουον συνεχῶς λόγια μὲ ὑψηλὰ νοήματα; «Δὲν σᾶς ἔδωσεν ὁ Μωϋσῆς τὸν νόμον καὶ κανεὶς ἀπὸ σᾶς δὲν ἐκτελεῖ τὸν νόμον; Διατί ζητεῖτε νὰ μὲ φονεύσετε;». Καὶ ποίαν σχέσιν ἔχει αὐτό, θὰ ἐρωτήσῃς, ἢ τί κοινὸν ὑπάρχει μὲ ὅσα ἐλέχθησαν προηγουμένως;

Διὰ δύο ἐγκλήματα κατηγόρουν οἱ Ἰουδαῖοι τὸν Χριστόν, ἓν ὅτι καταργεῖ τὸ Σάββατον καὶ τὸ ἄλλο, ὅτι ἔλεγε τὸν Θεὸν Πατέρα του, κάμνων τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεόν. Ὅτι δηλαδὴ τοῦτο δὲν προήρχετο ἀπὸ τὴν ὑποψίαν τῶν Ἰουδαίων ἀλλ' ἀπὸ τὴν ἰδικήν του γνώμην καὶ ὅτι ὡμίλει περὶ αὐτοῦ ὄχι ὅπως οἱ πολλοὶ ἀλλὰ κατὰ τρόπον ἐξαιρετικὸν καὶ ἰδιάζοντα, φαίνεται ἀπὸ τὰ ἑπόμενα. Πολλὰς φορὰς δηλαδὴ πολλοὶ ὠνόμασαν τὸν Θεὸν πατέρα των, παραδείγματος χάριν «Ἕνας Θεὸς μᾶς ἔπλασε καὶ ἕνας εἶναι ὁ Πατὴρ ὅλων μας»[4], ἀλλὰ παρὰ ταῦτα ὁ κόσμος δὲν εἶναι ἴσος μὲ τὸν Θεόν. Δι' αὐτὸ οἱ Ἰουδαῖοι δὲν ἐσκανδαλίζοντο, ὅταν τὸ ἤκουον. Ὅπως λοιπὸν ἔλεγαν τότε, «Δὲν προέρχεται ἀπὸ τὸν Θεόν», καὶ ὅμως τοὺς διώρθωσε πολλὰς φορὰς καὶ ὑπερήσπισε τὸν ἑαυτόν του διὰ τὴν κατάργησιν τοῦ Σαββάτου, ἔτσι καὶ τώρα, ἂν τοῦτο προήρχετο ἀπὸ τὴν ἰδικήν των ὑποψίαν καὶ ὄχι ἀπὸ τὴν ἰδικήν του γνώμην, θὰ τοὺς διώρθωνε καὶ θὰ τοὺς ἔλεγε· Διατί μὲ θεωρεῖτε ἴσον μὲ τὸν Θεόν; Δὲν εἶμαι ἴσος. Καὶ ὄχι μόνον δὲν εἶπε κάτι τέτοιο, ἀλλὰ ἀντιθέτως ἀπέδειξεν ὅτι εἶναι ἴσος μὲ τὸν Θεὸν μὲ τὰ ἑξῆς·

«Ὅπως ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ δίδει ζωήν, ἔτσι καὶ ὁ Υἱός», «Διὰ νὰ τιμοῦν τὸν Υἱόν, καθὼς τιμοῦν τὸν Πατέρας», «Τὰ ἔργα ποὺ κάμνει ἐκεῖνος, τὰ ἴδια μὲ ὅμοιον τρόπον κάμνει καὶ ὁ Υἱός». Ὅλα αὐτὰ ἀποδεικνύουν τὴν ἰσότητα. Ἀλλὰ καὶ περὶ τοῦ νόμου λέγει· «Μὴ

προφήτας». Οὕτως οἶδε καὶ τὰς ἐν διανοίᾳ πονηρὰς ὑπονοίας ἐξελεῖν. Ἐνταῦθα δὲ τὴν τοῦ ἴσου ὑπόνοιαν οὐ μόνον οὐκ ἀναιρεῖ, ἀλλὰ καὶ βεβαιοῖ. Διὸ καὶ ἀλλαχοῦ εἰπόντων αὐτῶν, ὅτι «Ποιεῖς σεαυτὸν Θεόν», οὐκ ἀνεῖλε τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐβεβαίωσεν εἰπών· «Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει τῷ παραλυτικῷ· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει».

Ἐκεῖνο μὲν οὖν τὸ πρότερον ἐπέτεινε, τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, δεικνὺς ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ καὶ τὰ αὐτὰ λέγει καὶ τὰ αὐτὰ ἐκείνῳ διδάσκει· λοιπὸν πρὸς τὴν τοῦ Σαββάτου λύσιν ἵσταται λέγων· «Οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον καὶ οὐδεὶς ἐξ ὑμῶν τηρεῖ τὸν νόμον;». Ὡσανεὶ ἔλεγεν· Εἶπεν ὁ νόμος, Οὐ φονεύσεις· ὑμεῖς δὲ φονεύετε, καὶ ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον; Διατί δὲ εἶπεν, «Οὐδείς»; Ὅτι πάντες ἐζήτουν αὐτὸν ἀποκτεῖναι. Ἐγὼ μὲν οὖν εἰ καὶ ἔλυσα τὸν νόμον, φησίν, ἀλλὰ ἄνθρωπον σώσας· ὑμεῖς δὲ παραβαίνετε ἐπὶ κακῷ. Τὸ ἐμὸν εἰ καὶ παράβασις ἦν, ἀλλ' ἐπὶ σωτηρίᾳ, καὶ οὐκ ἐχρῆν ὑφ' ἡμῶν τῶν τὰ μεγάλα παραβαινόντων ἐμὲ κρίνεσθαι. Τὸ γὰρ ὑμέτερον, ἀνατροπὴ τοῦ νόμου παντός.

Εἶτα καὶ ἐπαγωνίζεται, καίτοι πολλὰ καὶ πάλαι διαλεχθείς· ἀλλὰ τότε μὲν ὑψηλότερον καὶ κατὰ τὴν ἀξίαν τὴν αὐτοῦ, νῦν δὲ ταπεινότερον. Τί δήποτε; Ὅτι οὐκ ἐβούλετο συνεχῶς παρακνίζειν αὐτούς. Νῦν γὰρ τὰ τῆς ὀργῆς ἐπιτέτατο, καὶ εἰς φόνον προήεσαν. Διὸ μένει, δύο τούτοις καταστέλλων αὐτούς· τῷ τε ἐλέγξαι αὐτῶν τὸ τόλμημα καὶ

---

5. **Ματθ. 5, 17.**
6. **Αὐτόθι 9, 6.**

νομίσετε ὅτι ἦλθα διὰ νὰ καταργήσω τὸν νόμον ἢ τοὺς Προφήτας»[5]. Ἔτσι ἐγνώριζε νὰ ἀφαιρῇ τὰς πονηρὰς ὑποψίας ποὺ εἶχαν εἰς τὸν νοῦν των. Ἐδῶ ὅμως τὴν ὑποψίαν περὶ τῆς ἰσότητος ὄχι μόνον δὲν τὴν ἀφαιρεῖ, ἀλλὰ καὶ τὴν ἐπιβεβαιώνει. Διὰ τοῦτο καὶ εἰς ἄλλην περίπτωσιν, ὅταν οἱ Ἰουδαῖοι τοῦ εἶπαν «Κάμνεις τὸν ἑαυτόν σου Θεόν», δὲν ἀφήρεσεν ἀπὸ αὐτοὺς τὴν ὑποψίαν, ἀλλὰ τὴν ἐπεβεβαίωσε καὶ εἶπεν· «Ἀλλὰ διὰ νὰ μάθετε ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει τὴν ἐξουσίαν νὰ συγχωρῇ ἁμαρτίας ἐπὶ τῆς γῆς, τότε λέγει εἰς τὸν παραλυτικόν· Σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὴν οἰκίαν σου»[6].

Ἐκεῖνο λοιπὸν ποὺ ἐλέχθη προηγουμένως, ἐπιβεβαιώνει, ὅτι κάμνει τὸν ἑαυτόν του ἴσον μὲ τὸν Θεὸν καὶ ἀποδεικνύει ὅτι δὲν εἶναι ἀντίθετος πρὸς τὸν Θεόν, ἀλλὰ καὶ λέγει τὰ ἴδια, ποὺ λέγει ἐκεῖνος καὶ διδάσκει τὰ ἴδια μὲ ἐκεῖνον. Τέλος φθάνει καὶ εἰς τὴν κατηγορίαν τῆς καταργήσεως τοῦ Σαββάτου καὶ λέγει· «Δὲν σᾶς ἔδωσεν ὁ Μωϋσῆς τὸν νόμον καὶ ὅμως κανεὶς ἀπὸ σᾶς δὲν τηρεῖ τὸν νόμον;». Σὰν νὰ τοὺς ἔλεγεν· Εἶπεν ὁ νόμος· «Δὲν θὰ φονεύσῃς», σεῖς ὅμως φονεύετε καὶ κατηγορεῖτε ἐμὲ ὡς παραβάτην τοῦ νόμου; Καὶ διατί εἶπε «Κανείς»; Διότι ὅλοι ἐζήτουν νὰ τὸν φονεύσουν. Ἂν ἐγὼ παρέβην τὸν νόμον, λέγει, τὸ ἔκαμα διὰ νὰ σώσω ἄνθρωπον. Σεῖς ὅμως τὸν παραβαίνετε διὰ νὰ κάμετε τὸ κακόν. Καὶ ἂν ἀκόμη ἔκαμα παράβασιν, τὸ ἔκαμα διὰ σωτηρίαν καὶ δὲν ἔπρεπε νὰ κρίνωμαι ἀπὸ σᾶς, ποὺ κάμνετε τὰς μεγαλυτέρας παραβάσεις. Διότι ἐκεῖνο ποὺ κάμνετε σεῖς, εἶναι τελεία ἀνατροπὴ τοῦ νόμου.

Ἔπειτα ἀγωνίζεται ἀκόμη, ἂν καὶ πολλὰ εἶχε πραγματευθῇ παλαιότερον. Ἀλλὰ τότε ὡμίλει εἰς ὕφος ὑψηλότερον καὶ σύμφωνον μὲ τὴν ἀξίαν του, τώρα ὅμως εἰς ὕφος ταπεινότερον. Διατί ἆρά γε; Διότι δὲν ἤθελε νὰ τοὺς ἐρεθίζῃ διαρκῶς. Διότι τώρα ἡ ὀργή των εἶχεν ἐνταθῇ καὶ εἶχαν φθάσει μέχρι τοῦ φόνου. Διὰ τοῦτο ἐπιμένει νὰ κατευνάσῃ αὐτοὺς μὲ τοὺς ἑξῆς δύο τρόπους, δηλαδὴ καὶ μὲ τὸν

εἰπεῖν, «Τί με ζητεῖτε ἀποκτεῖναι;», καὶ τῷ μετ᾽ ἐπιεικείας εἰπεῖν, «Ἄνθρωπον, ὃς τὴν ἀλήθειαν λελάληκε», καὶ τῷ δεῖξαι ὅτι φονῶντες οὐκ εἰσὶν ἄξιοι κρίνειν ἕτερον.

Σὺ δὲ ὅρα καὶ τῆς ἐρωτήσεως τὸ ταπεινὸν τῆς τοῦ Χριστοῦ, καὶ τῆς ἀποκρίσεως ἐκείνων τὸ θρασύ. «Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;». Ὀργῆς τὸ ρῆμα καὶ θυμοῦ, καὶ ψυχῆς ἀναισχυντούσης ἐπὶ τῷ παραδόξως ἐληλέγχθαι, καὶ προκαταπληττομένης αὐτῶν, ὡς ᾤοντο. Καθάπερ γὰρ λησταί τινες ᾄδοντες ἐπὶ ταῖς ἐπιβουλαῖς εἶτα βουλόμενοι ἀφύλακτον ἐργάσασθαι τὸν ἐπιβουλευόμενον, διὰ τῆς σιωπῆς τοῦτο ποιοῦσιν, οὕτω καὶ οὗτοι. Αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, πάλιν τῆς ἀπολογίας ἅπτεται τῆς ὑπὲρ τοῦ Σαββάτου, ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτούς.

3. Καὶ ὅρα πῶς συνετῶς. Οὐδὲν θαυμαστόν, φησίν, εἰ ἐμοῦ παρακούετε, ὅπου γε τοῦ νόμου, οὗ δοκεῖτε ἀκούειν καὶ ὃν νομίζετε παρὰ Μωϋσέως δεδόσθαι, παρακούετε. Οὐδὲν οὖν κοινόν, εἰ τοῖς ἐμοῖς οὐ προσέχετε λόγοις. Ἐπειδὴ γὰρ ἔλεγον, ὅτι «Μωϋσεῖ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐδὲ οἴδαμεν πόθεν ἐστίν», δείκνυσι ὅτι καὶ εἰς ἐκεῖνον ὕβριζον· καὶ γὰρ τὸν νόμον ἐκεῖνος ἔδωκε, καὶ οὐκ ἤκουσαν. «Ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε». Σκόπει πῶς ἔνθα ἂν ἀπολογήσασθαι δέῃ καὶ ὡς ἔγκλημα δέχεσθαι τὸ γεγονός, οὐ μέμνηται τοῦ Πατρός, ἀλλὰ τὸ αὐτοῦ πρόσωπον εἰσάγει. «Ἓν ἔργον ἐποίησα». Θέλει δεῖξαι, ὅτι τὸ μὴ ποιῆσαι, λῦσαι τὸν νόμον ἦν· καὶ ὅτι ἐστὶ πολλὰ τοῦ νόμου κυριώτερα· καὶ ὅτι ἐντολὴν ἠνέσχετο δέξασθαι Μωϋσῆς κατὰ τοῦ νόμου, καὶ τοῦ

7. Ἰω. 9, 29.

ἔλεγχον τοῦ ἐγκλήματός των λέγων «Διατί ζητεῖτε νὰ μὲ φονεύσετε;»· καὶ μὲ τὸ ὅτι ὡμίλησε μὲ μετριοπάθειαν «Ἄνθρωπον, ποὺ σᾶς εἶπε τὴν ἀλήθειαν», ἀποδεικνύων ὅτι αὐτοὶ ποὺ ἐσκέπτοντο νὰ φονεύσουν, δὲν ἦσαν ἄξιοι νὰ κρίνουν ἄλλον.

Σὺ ὅμως παρατήρησε τὴν μετριοπάθειαν τῆς ἐρωτήσεως τοῦ Χριστοῦ καὶ τὴν θρασύτητα τῆς ἀπαντήσεως ἐκείνων. «Δαιμόνιον ἔχεις. Ποῖος ζητεῖ νὰ σὲ φονεύσῃ;». Τὰ λόγια των φανερώνουν ὀργὴν καὶ μανίαν καὶ ψυχὴν ἀναίσχυντον, διότι ὁ ἔλεγχός των ὑπῆρξεν ἀπροσδόκητος καὶ ἐνόμισαν ὅτι κατ' αὐτὸν τὸν τρόπον τοὺς ἐπροκάλει. Διότι, ὅπως μερικοὶ λησταί, τραγουδοῦν ὅταν στήνουν ἐνέδραν καὶ ἔπειτα, ὅταν θέλουν νὰ μὴ γίνουν ἀντιληπτοὶ ἀπὸ τὸ θῦμα των, ἐργάζονται σιωπηλά; ἔτσι καὶ οἱ Ἰουδαῖοι. Ὁ Χριστὸς ὅμως ἀφοῦ ἔπαυσε νὰ τοὺς ἐλέγχῃ, διὰ νὰ μὴ τοὺς κάμῃ περισσότερον ἀναισχύντους, πάλιν θίγει τὴν κατάργησιν τοῦ Σαββάτου, συζητῶν μὲ αὐτοὺς διὰ τὸν νόμον.

3. Καὶ κοίταξε πόσον συνετά. Δὲν εἶναι ἄξιον ἀπορίας, λέγει, ἐὰν δὲν ὑπακούετε εἰς ἐμέ, ἐφ' ὅσον δὲν φαίνεσθε νὰ ὑπακούετε εἰς κάποιον νόμον καὶ μάλιστα δὲν πειθαρχεῖτε οὔτε εἰς αὐτὸν ποὺ θεωρεῖτε ὅτι ἐδόθη ἀπὸ τὸν Μωϋσῆν. Δὲν εἶναι λοιπὸν κάτι τὸ νέον, ἐὰν δὲν προσέχετε εἰς τὰ λόγια μου. Καὶ ἐπειδὴ ἰσχυρίζοντο ὅτι «Ἡμεῖς γνωρίζομεν, ὅτι εἰς τὸν Μωϋσῆν ὡμίλησεν ὁ Θεός, ἀλλὰ δι' αὐτὸν δὲν ξεύρομεν ἀπὸ ποῦ εἶναι»[7], ἀποδεικνύει ὅτι ὕβριζαν καὶ τὸν Μωϋσῆν. Διότι ἐκεῖνος τοὺς ἔδωσε τὸν νόμον, ἀλλὰ δὲν τὸν ὑπήκουον. «Ἕνα ἔργον ἔκαμα καὶ ἐμείνατε ὅλοι κατάπληκτοι». Παρατήρησε μὲ ποῖον τρόπον, ὅπου πρέπει νὰ ὑπερασπίσῃ τὸν ἑαυτόν του καὶ δέχεται τὸ γεγονὸς ὡς κατηγορίαν, δὲν ἐνθυμεῖται τὸν Πατέρα, ἀλλὰ εἰσάγει τὸ ἰδικόν του πρόσωπον. «Ἕνα ἔργον ἔκαμα». Θέλει ν' ἀποδείξῃ, ὅτι ἐκεῖνο ποὺ δὲν ἔκαμεν, ἦτο ἡ κατάλυσις τοῦ νόμου, ὅτι ὑπῆρχαν πολὺ σπουδαιότερα ἀπὸ τὸν νόμον καὶ ὅτι ὁ Μωϋσῆς εἶχε λάβει ἐντολὴν ἐναντίον τοῦ νόμου καὶ μάλιστα

νόμου κυριωτέραν. Τοῦ γὰρ Σαββάτου ἡ περιτομὴ κυριωτέρα· καίτοι οὐκ ἔστι τοῦ νόμου, ἀλλὰ τῶν πατέρων.

Ἐγὼ δὲ καὶ τῆς περιτομῆς τὸ κυριώτερον ἐποίησα καὶ κρεῖττον. Εἶτα οὐ μέμνηται ἐντολῆς νομικῆς· οἷον, ὅτι οἱ ἱερεῖς τὸ Σάββατον βεβηλοῦσι, καθάπερ ἤδη εἶπεν, ἀλλ' ἐκ μείζονος περιουσίας. Τὸ δέ, Θαυμάζετε, τοῦτό ἐστι, θορυβεῖσθε, ταράττεσθε. Εἰ γὰρ ἔδει εἶναι βέβαιον τὸν νόμον, οὐκ ἂν ἡ περιτομὴ αὐτοῦ κυριωτέρα ἦν. Καὶ οὐκ εἶπεν, ὅτι μεῖζον ἐποίησα τῆς περιτομῆς· ἀλλ' ἐκ περιουσίας ἐλέγχει τῷ εἰπεῖν· «Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος». Ὁρᾷς ὅτι τότε μάλιστα ἵσταται ὁ νόμος, ὅταν αὐτὸν λύῃ; ὁρᾷς ὅτι ἡ τοῦ Σαββάτου λύσις τήρησίς ἐστι τοῦ νόμου; ὡς εἰ μὴ ἐλύθη τὸ Σάββατον, ἀνάγκη τὸν νόμον ἦν λυθῆναι· ὥστε καὶ ἐγὼ ἔστησα αὐτόν. Καὶ οὐκ εἶπεν, Ἐμοὶ χολᾶτε, ὅτι μεῖζον περιτομῆς εἰργασάμην· ἀλλὰ τὸ γεγονὸς νόμον εἰπών, αὐτοῖς τὴν κρίσιν ἐπέτρεψεν, εἰ μὴ περιτομῆς ἀναγκαιότερον ὁλόκληρος ὑγίεια. Ἵνα σημεῖον λάβῃ ὁ ἄνθρωπος οὐδὲν πρὸς ὑγείαν συντελοῦν, λύεται νόμος, φησίν· ἵνα νόσου τοσαύτης ἀπαλλαγῇ, δυσχεραίνετε, καὶ ἀγανακτεῖτε;

«Μὴ κρίνετε κατ' ὄψιν». Τί ἐστι, «Κατ' ὄψιν»; Μὴ ἐπειδὴ Μωϋσῆς μείζονα παρ' ὑμῖν ἔχει τὴν δόξαν, ἀπὸ τοῦ τῶν προσώπων ἀξιώματος φέρετε τὴν ψῆφον· ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων φύσεως· τοῦτο γάρ ἐστι τὸ δικαίως κρῖναι. Διατί γὰρ οὐδεὶς ἀνεκάλεσε Μωϋσεῖ; διατί οὐδεὶς ἠπείθησε κελεύοντι τὸ Σάββατον λύεσθαι ὑπὸ ἐντολῆς ἔξωθεν ἐπεισενεχθείσης τῷ νόμῳ; Ἀλλ' ἐκεῖνος μὲν τοῦ οἰκείου νόμου ἀνέχεται ἐντολὴν εἶναι κυριωτέραν, ἐντολήν, τὴν οὐκ ὑπὸ τοῦ νόμου εἰσενεχθεῖσαν, ἀλλ' ἔξωθεν· ὅπερ ἐστὶ μάλιστα

μεγαλυτέρας ἀξίας ἀπὸ τὸν νόμον. Διότι ἡ περιτομὴ ἦτο σπουδαιοτέρα ἀπὸ τὸ Σάββατον, μολονότι δὲν προήρχετο ἀπὸ τὸν νόμον ἀλλ' ἀπὸ τοὺς πατέρας.

Ἐγὼ ὅμως ἔκαμα σπουδαιότερον καὶ ἀνώτερον ἔργον ἀπὸ τὴν περιτομήν. Ἔπειτα δὲν ἐνθυμεῖται νομικὴν ἐντολήν, ὅπως ὅτι οἱ ἱερεῖς παραβιάζουν τὸ Σάββατον, ὅπως ἤδη εἶπεν, ἀλλ' ὁμιλεῖ μὲ μεγαλυτέραν αὐθεντίαν. Ἡ δὲ λέξις, 'Θαυμάζετε', σημαίνει ἀνησυχεῖτε, ταράττεσθε. Διότι, ἐὰν ἔπρεπε νὰ τηρῆται ὁ νόμος αὐστηρῶς, δὲν θὰ ἦτο ἡ περιτομὴ ἰσχυροτέρα ἀπὸ αὐτόν. Καὶ δὲν εἶπεν, ὅτι ἔκαμα ἔργον μεγαλύτερον ἀπὸ τὴν περιτομήν, ἀλλὰ τοὺς ἐλέγχει μὲ αὐθεντίαν λέγων· «Ἐὰν ἕνας ἄνθρωπος περιτέμνεται». Παρατηρεῖς ὅτι τότε μάλιστα τηρεῖται ὁ νόμος, ὅταν τὸν παραβιάζῃ; Παρατηρεῖς ὅτι ἡ παραβίασις τοῦ Σαββάτου εἶναι τήρησις τοῦ νόμου; καὶ ὅτι, ἂν δὲν παρεβιάσθη τὸ Σάββατον, ἦτο ἀνάγκη νὰ παραβιασθῇ ὁ νόμος; ὥστε ἐγὼ τὸν ἐπεκύρωσα. Δὲν εἶπεν, Ὀργίζεσθε ἐναντίον μου, διότι ἔκαμα ἔργον σπουδαιότερον ἀπὸ τὴν περιτομήν, ἀλλ' ἀφοῦ ἀνέφερε τὸ γεγονός, ἄφησεν αὐτοὺς νὰ κρίνουν, ἂν ὁλόκληρος ἡ θεραπεία ἑνὸς ἀνθρώπου ἦτο ἀναγκαιοτέρα ἀπὸ τὴν περιτομήν. Παραβιάζεται ὁ νόμος, λέγει, διὰ νὰ λάβῃ ὁ ἄνθρωπος ἀπόδειξιν, ἡ ὁποία δὲν συμβάλλει καθόλου εἰς τὴν ὑγείαν του. Ὀργίζεσθε ὅμως καὶ ἀγανακτεῖτε, ὅταν πρόκειται ν' ἀπαλλαγῇ ἀπὸ τόσον βαρεῖαν νόσον;

«Μὴ κρίνετε κατὰ τὰ ἐξωτερικὰ φαινόμενα». Τί σημαίνει «Κατὰ τὰ ἐξωτερικὰ φαινόμενα»; Ἐπειδὴ ὁ Μωϋσῆς τιμᾶται περισσότερον ἀπὸ σᾶς, μὴ κρίνετε ἀπὸ τὴν ἀξίαν τοῦ προσώπου, ἀλλ' ἀπὸ τὴν φύσιν τῶν πραγμάτων. Διότι αὐτὸ ἀπαιτεῖ ἡ δικαία κρίσις. Διατί δὲν κατηγόρησε κανεὶς τὸν Μωϋσῆν; Διατί κανεὶς δὲν ἀπειθάρχησεν, ὅταν ἐκεῖνος ἐπέβαλε τὴν παράβασιν τοῦ Σαββάτου ἀπὸ ἐντολὴν ποὺ προσετέθη εἰς τὸν νόμον ἀπὸ ἔξω; Ἀλλ' ὁ Μωϋσῆς ἀνέχεται νὰ εἶναι κυριωτέρα ἐντολὴ τοῦ νόμου, ἐντολὴ ἡ ὁποία δὲν εἰσήχθη ἀπὸ τὸν νόμον ἀλλ' ἀπὸ ἔξω, πρᾶγμα ποὺ εἶναι

θαυμαστόν· ὑμεῖς δὲ οἱ οὐ νομοθέται, πέρα τοῦ μέτρου ἐκδικεῖτε τὸν νόμον καὶ ἀμύνετε αὐτῷ.

Ἀλλὰ ἀξιοπιστότερος ὑμῶν ἐστιν ὁ Μωϋσῆς, ὁ κελεύων λύεσθαι τὸν νόμον παρὰ ἐντολῆς οὐ νομίμης. Τῷ γοῦν εἰπεῖν, Ὅλον ἄνθρωπον, δείκνυσι καὶ μερικὴν ὑγείαν οὖσαν τὴν περιτομήν. Καὶ τίς ἡ ὑγεία τῆς περιτομῆς; «Ψυχή», φησί, «πᾶσα, ἥτις ἐὰν μὴ περιτμηθῇ, ἐξολοθρευθήσεται». Ἐγὼ δὲ οὐκ ἀπὸ μέρους κεκακωμένον, ἀλλ' ὅλον διεφθαρμένον ἀνέστησα. «Μὴ κρίνετε, τοίνυν κατ' ὄψιν». Τοῦτο πειθώμεθα μὴ τοῖς τότε εἰρῆσθαι μόνον, ἀλλὰ καὶ ἡμῖν, ὥστε μηδενὶ πράγματι διαφθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα ὑπὲρ τούτου ποιεῖν· εἴτε πένης, εἴτε πλούσιος ᾖ τις, μὴ τοῖς προσώποις προσέχειν, ἀλλὰ τὰ πράγματα ἐξετάζειν. «Οὐκ ἐλεήσεις», φησί, «πένητα ἐν κρίσει». Τί δή ἐστι τὸ λεγόμενον; Μὴ κατακλασθῇς, μηδὲ ἐπικαμφθῇς, φησίν, ἐὰν πένης ὁ ἀδικῶν τύχῃ. Εἰ δὲ πένητι χαρίζεσθαι οὐ χρή, πολλῷ μᾶλλον πλουτοῦντι.

Ταῦτα δὲ λέγω, οὐ πρὸς τοὺς δικάζοντας μόνον, ἀλλὰ καὶ πρὸς πάντας ἀνθρώπους, ὥστε μηδαμοῦ διαφθείρειν τὸ δίκαιον, ἀλλὰ πανταχοῦ ἀκέραιον φυλάττειν. «Ἀγαπᾷ», φησί, «δικαιοσύνην ὁ Κύριος. Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν». Μὴ δὴ μισήσωμεν τὰς ἑαυτῶν ψυχάς, μηδὲ ἀγαπήσωμεν ἀδικίαν. Πάντως γὰρ αὐτῆς τὸ κέρδος νῦν μικρὸν καὶ οὐδέν· ἀλλ' εἰς τὸ μέλλον μεγάλα ζημιοῖ· μᾶλλον δὲ οὐδὲ ἐνταῦθα αὐτῆς ἀπολαυσόμεθα. Ὅταν γὰρ μετὰ συνειδότος πονηροῦ τρυφῶμεν, ἆρα οὐχὶ κόλασις καὶ τιμωρία τοῦτο;

Ἀγαπήσωμεν τοίνυν τὸ δίκαιον, καὶ μηδαμοῦ παραβλάψωμεν τοῦτον τὸν νόμον. Τί γὰρ δυνησόμεθα ἐκ τοῦ παρόν-

---

8. Γεν. 17, 14.
9. Ἐξ. 23, 3.
10. Ψαλμ. 10, 6.

ἄξιον θαυμασμοῦ, σεῖς ὅμως ἂν καὶ δὲν εἶσθε οἱ νομοθέται, διεκδικεῖτε τὸν νόμον ὑπερμέτρως καὶ τὸν προστατεύετε.

Ἀλλ' ὁ Μωϋσῆς εἶναι περισσότερον ἀξιόπιστος ἀπὸ σᾶς, διότι αὐτὸς διέταξε νὰ παραβιάζεται ὁ νόμος ἀπὸ ἐντολὴν ποὺ δὲν ὑπάρχει εἰς αὐτόν. Ὅταν λοιπὸν εἶπεν, Ὁλόκληρον ἄνθρωπον, δηλώνει ὅτι ἡ περιτομὴ εἶναι μόνον ἕνα μέρος τῆς ὑγείας. Καὶ ποία εἶναι ἡ ὑγεία ἀπὸ τὴν περιτομήν; «Κάθε ψυχή», λέγει ὁ Προφήτης, «ἐὰν δὲν περιτμηθῇ, θὰ ἐξολοθρευθῇ»[8]. Ἐγὼ ὅμως ὄχι μόνον ἐξησθενημένον μέρος ἀλλ' ὁλόκληρον ἄνθρωπον κατεστραμμένον ἐθεράπευσα. «Μὴ κρίνετε, λοιπόν, κατὰ τὰ ἐξωτερικὰ φαινόμενα». Ἂς πεισθοῦμεν, ὅτι τοῦτο δὲν ἐλέχθη μόνον δι' ἐκείνους ἀλλὰ καὶ δι' ἡμᾶς, διὰ νὰ μὴ προσπαθοῦμεν νὰ διαφθείρωμεν τὸ δίκαιον διὰ κανένα λόγον. Καὶ εἴτε εἶναι κανεὶς πλούσιος, εἴτε πτωχός, ἂς μὴ προσέχῃ μόνον τὰ πρόσωπα, ἀλλ' ἂς ἐξετάζῃ τὰ πράγματα. «Δὲν θὰ εὐσπλαγχνισθῇς», λέγει ὁ Προφήτης, «πτωχὸν ὁ ὁποῖος κρίνεται»[9]. Τί σημαίνει τοῦτο; Νὰ μὴ λυπηθῇς, λέγει, οὔτε νὰ καμφθῇς, ἐὰν ἐκεῖνος ποὺ ἀδικεῖ εἶναι κατὰ τύχην πτωχός. Ἐὰν δὲ δὲν πρέπει νὰ κάμνῃ κανεὶς χάριν εἰς τὸν πτωχόν, πολὺ ὀλιγώτερον δὲν πρέπει νὰ κάμνῃ εἰς τὸν πλούσιον.

Αὐτὰ δὲν τὰ λέγω μόνον εἰς τοὺς δικαστάς, ἀλλὰ καὶ εἰς ὅλους τοὺς ἀνθρώπους διὰ νὰ μὴ παραβιάζεται ἀπὸ κανέναν τὸ δίκαιον, ἀλλὰ διὰ νὰ τὸ τηροῦν ὅλοι ἀκέραιον. Διότι ὁ Προφήτης λέγει· «Ἀγαπᾷ τὴν δικαιοσύνην ὁ Κύριος. Ἐκεῖνος ὅμως ποὺ ἀγαπᾷ τὴν ἀδικίαν, τὴν ἰδικήν του ψυχὴν μισεῖ»[10]. Ἂς μὴ μισήσωμεν λοιπὸν τὰς ψυχάς μας καὶ ἂς μὴ ἀγαπήσωμεν τὴν ἀδικίαν. Διότι ὁπωσδήποτε τὸ κέρδος ἀπὸ αὐτὴν τώρα εἶναι μικρὸν καὶ μηδαμινόν, ἀλλ' εἰς τὸ μέλλον θὰ μᾶς βλάψῃ πολὺ καὶ μᾶλλον οὔτε ἐδῶ θὰ τὴν ἀπολαύσωμεν. Διότι, ὅταν παραδιδώμεθα εἰς τὴν τρυφηλότητα, ἄρα αὐτὸ δὲν εἶναι κόλασις καὶ τιμωρία;

Ἂς ἀγαπήσωμεν λοιπὸν τὴν δικαιοσύνην καὶ ἂς μὴ παραβῶμεν ποτὲ αὐτὸν τὸν νόμον. Διότι, τί θὰ ἠμπορέσω-

τος καρπώσασθαι βίου, ἂν μὴ λαβόντες ἀρετὴν ἀπέλθωμεν; Τί δὲ ἐκεῖ ἡμῶν προστήσεται; φιλία καὶ συγγένεια καὶ ἡ τοῦ δεῖνος χάρις; Καὶ τί λέγω ἡ τοῦ δεῖνος χάρις; Κἂν γὰρ τὸν Νῶε, κἂν τὸν Ἰώβ, κἂν τὸν Δανιὴλ ἔχωμεν πατέρα, οὐδὲν ἡμᾶς ὠφελήσει τοῦτο, ὅταν ἀπὸ τῶν οἰκείων ἔργων ὦμεν προδεδομένοι. Ἀλλ' ἑνὸς ἡμῖν δεῖ μόνου, ἀρετῆς τῆς κατὰ τὴν ψυχήν. Αὕτη ἡμᾶς διασῶσαι δυνήσεται, καὶ ἀπαλλάξαι τοῦ αἰωνίου πυρός. Αὕτη παραπέμψει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μεν ν' ἀπολαύσωμεν ἀπὸ τὴν παροῦσαν ζωήν, ἂν δὲν φύγωμεν ἀπὸ αὐτὴν ἀφοῦ πάρωμεν μαζί μας τὴν ἀρετήν; Τί θὰ μᾶς προστατεύσῃ ἐκεῖ; Ἡ φιλία καὶ ἡ συγγένεια καὶ ἡ χάρις τοῦ τάδε; Καὶ διατί λέγω ἡ χάρις τοῦ τάδε; Διότι καὶ ἂν ἀκόμῃ ἔχωμεν πατέρα τὸν Νῶε ἢ τὸν Ἰὼβ ἢ τὸν Δανιήλ, αὐτὸ δὲν θὰ μᾶς ὠφελήσῃ εἰς τίποτε, ὅταν ἔχωμεν προδοθῆ ἀπὸ τὰ ἴδια μας τὰ ἔργα. Ἀλλ' ἀπὸ ἕνα μόνον ἔχομεν ἀνάγκην, ἀπὸ τὴν ἀρετὴν τῆς ψυχῆς. Μόνον αὐτὴ θὰ ἠμπορέσῃ νὰ μᾶς σώσῃ καὶ νὰ μᾶς προφυλάξῃ ἀπὸ τὸ αἰώνιον πῦρ. Αὐτὴ θὰ μᾶς στείλῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ὁποίαν εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ν΄.

Ἰω. 7,25 - 36

«Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παρρησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσι. Μή τι ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν».

1. Οὐδὲν ἁπλῶς ἐν ταῖς θείαις Γραφαῖς κεῖται· Πνεύματι γὰρ εἰρημέναι εἰσὶν ἁγίῳ. Διὸ πάντα μετὰ ἀκριβείας ἐξετάζωμεν. Καὶ γὰρ ἀπὸ μιᾶς λέξεως ἔνεστιν ὁλόκληρον εὑρεῖν νοῦν, οἷον δὴ καὶ νῦν ἡμῖν ἐστι προκείμενον. «Πολλοὶ γὰρ ἐκ τῶν Ἱεροσολυμιτῶν ἔλεγον· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι». Τί δήποτε πρόσκειται, Τῶν Ἰεσολυμιτῶν; Δείκνυσιν ὁ εὐαγγελιστής, ὅτι οἱ μάλιστα τῶν μεγάλων ἀπολελαυκότες σημείων, οὗτοι πάντων ἦσαν ἐλεεινότεροι, οἳ τῆς θεότητος αὐτοῦ σημεῖον ἑωρακότες μέγιστον, τὸ πᾶν τῇ κρίσει τῶν ἀρχόντων ἐπέτρεπον τῶν διεφθαρμένων.

Ἢ γὰρ οὐ μέγα σημεῖον, μαινομένους καὶ φονῶντας καὶ περιιόντας καὶ ζητοῦντας ἀνελεῖν καὶ κατέχοντας ἐν χερσίν, ἡσυχάζειν ἐξαίφνης; τίς γὰρ ἂν τοῦτο ἐποίησε; τίς ὁλόκληρον μανίαν οὕτως ἔσβεσεν; Ἀλλ' ὅμως μετὰ τοσαῦτα σημεῖα, ὅρα τὴν ἄνοιαν καὶ τὴν μανίαν. «Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι;». Ὅρα πῶς ἑαυτῶν κατηγοροῦσι. «Ὃν ζητοῦσι», φησίν, «ἀποκτεῖναι καὶ οὐδὲν αὐτῷ λέγουσι». Καὶ οὐχ ἁπλῶς οὐδὲν αὐτῷ λέγουσιν, ἀλλὰ καὶ παρρησιαζομένῳ· ὁ γὰρ παρρησίᾳ λαλῶν καὶ μετ' ἐλευθερίας ἁπάσης, μᾶλλον ἂν αὐτοὺς παρώξυνεν· ἀλλ' οὐδὲν ἐποίουν. «Μήποτε

1. Ἰω. 7, 25-27.

ΟΜΙΛΙΑ Ν'.

'Ιω. 7,25 - 36

"Ελεγαν λοιπὸν μερικοὶ ἀπὸ τοὺς 'Ιεροσολυμίτας· Δὲν εἶναι αὐτὸς ποὺ ζητοῦν νὰ φονεύσουν; Καὶ ἰδές, ὁμιλεῖ δημοσία καὶ δὲν τοῦ λέγουν τίποτε. Μήπως ἐννόησαν πραγματικὰ οἱ ἄρχοντες ὅτι αὐτὸς εἶναι ἀληθινὰ ὁ Χριστός; 'Αλλὰ δι' αὐτὸν ξεύρομεν ἀπὸ ποῦ εἶναι»[1].

1. Τίποτε δὲν ἔχει τεθῆ εἰς τὰς ἁγίας Γραφὰς τυχαίως. Διότι εἶναι ἐμπνευσμέναι ἀπὸ τὸ ἅγιον Πνεῦμα. Διὰ τοῦτο ἂς ἐξετάζωμεν τὸ κάθε τι μὲ ἐπιμέλειαν. Διότι εἶναι δυνατὸν ἀπὸ μίαν λέξιν νὰ ἀνακαλύψωμεν ὁλόκληρον νόημα, ὅπως ἀκριβῶς συμβαίνει καὶ τώρα μὲ τὴν περικοπὴν ποὺ ἔχομεν ἐνώπιόν μας. «"Ελεγαν λοιπὸν πολλοὶ ἀπὸ τοὺς 'Ιεροσολυμίτας· Δὲν εἶναι αὐτὸς ποὺ ζητοῦν νὰ φονεύσουν; Καὶ ἰδὲς ὁμιλεῖ δημοσίᾳ καὶ δὲν τοῦ λέγουν τίποτε». Διατί ἀναφέρονται οἱ 'Ιεροσολυμῖται; 'Ο Εὐαγγελιστὴς δεικνύει ὅτι ἐκεῖνοι ποὺ εἶχαν ἀπολαύσει τὰ περισσότερα ἀπὸ τὰ θαύματα ἦσαν οἱ ἀθλιώτεροι ἀπὸ ὅλους, διότι αὐτοὶ ἂν καὶ εἶχαν ἰδεῖ πολὺ μεγάλην ἀπόδειξιν τῆς θεότητος τοῦ Χριστοῦ, ἄφηναν τὰ πάντα εἰς τὴν κρίσιν τῶν διεφθαρμένων ἀρχόντων των.

"Η δὲν ἦτο μεγάλη ἀπόδειξις τὸ γεγονὸς ὅτι, ἐνῷ ἐμαίνοντο καὶ ἐσκέπτοντο τὸν φόνον καὶ περιφερόμενοι ἐζήτουν νὰ τὸν φονεύσουν καὶ ἐνῷ τὸν εἶχαν εἰς τὰ χέρια τους, ἡσύχασαν αἰφνιδίως; Ποῖος θὰ ἠμποροῦσε νὰ τὸ κάμῃ αὐτό; Ποῖος κατέπαυσε τόσην μανίαν; 'Αλλ' ὕστερα ἀπὸ τόσα θαύματα, πρόσεχε τὴν μωρίαν καὶ τὴν μανίαν των· «Δὲν εἶναι αὐτὸς ποὺ ζητοῦν νὰ φονεύσουν;». Πρόσεχε μὲ ποῖον τρόπον κατηγοροῦν τοὺς ἑαυτούς των. «Αὐτὸς ποὺ ζητοῦν νὰ φονεύσουν καὶ δὲν τοῦ λέγουν τίποτε». Καὶ ὄχι μόνον δὲν τοῦ λέγουν τίποτε, ἀλλὰ καὶ ὁμιλεῖ δημοσίᾳ. Διότι ἐκεῖνος ποὺ ὁμιλεῖ δημοσίᾳ καὶ μὲ πλήρη ἐλευθερίαν μᾶλλον θὰ τοὺς ἐξώργιζε περισσότερον. 'Αλλὰ δὲν ἔκα-

ἀληθῶς ἔγνωσαν, ὅτι οὗτός ἐστιν ὁ Χριστός;». Ὑμῖν δὲ τί δοκεῖ; ποίαν περὶ αὐτοῦ φέρετε ψῆφον.

Τὴν ἐναντίαν, φησί. Διὰ τοῦτο ἔλεγον. «Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν». Ὢ τῆς πονηρίας! ὢ τῆς ἐναντιολογίας! οὐδὲ ταῖς τῶν ἀρχόντων ἕπονται ψήφοις, ἀλλ' ἑτέραν ἐκφέρουσι διεφθαρμένην καὶ τῆς οἰκείας ἀνοίας ἀξίαν. «Οἴδαμεν αὐτόν», φησί, «πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί». Καὶ μὴν οἱ ἄρχοντες ὑμῶν ἐρωτώμενοι ἔλεγον, ὅτι ἐν Βηθλεὲμ γεννᾶται. Καὶ πάλιν ἄλλοι τινές, «Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν». Ὅρα μεθυόντων ῥήματα. Καὶ πάλιν, «Μὴ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός; οὐκ ἀπὸ Βηθλεὲμ τῆς κώμης;». Εἶδες μαινομένων ψῆφον; Οἴδαμεν, καὶ οὐκ οἴδαμεν· ἀπὸ Βηθλεὲμ ἔρχεται ὁ Χριστός· «Ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί». Τί ταύτης τῆς μάχης σαφέστερον; Πρὸς γὰρ ἓν μόνον ἑώρων, τὸ μὴ πεισθῆναι.

Τί οὖν πρὸς ταῦτα ὁ Χριστός; «Καὶ ἐμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Καὶ πάλιν· «Πῶς οὖν φησιν αὐτοὺς καὶ εἰδέναι αὐτόν, καὶ πόθεν ἐστί· καὶ πάλιν, μήτε αὐτὸν εἰδέναι αὐτούς, μήτε τὸν Πατέρα; Οὐκ ἐναντιολογῶν· ἄπαγε, ἀλλὰ καὶ σφόδρα ἑαυτῷ ἀκολουθῶν. Ἑτέραν δὲ λέγει γνῶσιν, ὅταν λέγῃ, «Οὐκ οἴδατε», ὥσπερ ὅταν λέγῃ· «Υἱοὶ Ἠλεί, υἱοὶ λοιμοὶ καὶ οὐκ εἰδότες τὸν Κύριον»· καὶ πάλιν, «Ἰσραὴλ δέ με οὐκ ἔγνω». Ὡς καὶ Παῦ-

2. Ἰω. 9, 29.
3. Α' Βασ. 2, 12.
4. Ἡσ. 1, 3.

μναν τίποτε. «Μήπως ἐννόησαν πραγματικὰ ὅτι αὐτὸς εἶναι ὁ Χριστός»; Σεῖς τί νομίζετε; Ποίαν γνώμην ἔχετε περὶ αὐτοῦ;

Τὴν ἀντίθετον, ἀπαντοῦν. Διὰ τοῦτο ἔλεγαν· «Ἀλλ' αὐτὸς γνωρίζομεν ἀπὸ ποῦ εἶναι». Πόση πονηρία! Καὶ πόση ἐναντίωσις! Ὄχι μόνον δὲν ἀκολουθοῦν τὴν γνώμην τῶν ἀρχόντων των, ἀλλὰ σχηματίζουν ἄλλην διεφθαρμένην καὶ ἀνταξίαν τῆς ἰδικῆς των μωρίας. «Ξεύρομεν ἀπὸ ποῦ εἶναι αὐτός, λέγουν. Ὅταν ὅμως ἔλθῃ ὁ Χριστός, κανεὶς δὲν θὰ γνωρίζῃ ἀπὸ ποῦ εἶναι». Καὶ ὅμως οἱ ἄρχοντές σας, ὅταν ἠρωτῶντο, ἀπήντων ὅτι θὰ γεννηθῇ εἰς τὴν Βηθλεέμ. Καὶ μερικοὶ πάλιν ἔλεγαν· «Ἡμεῖς γνωρίζομεν ὅτι εἰς τὸν Μωϋσῆν ὡμίλησεν ὁ Θεός, ἀλλὰ δι' αὐτὸν δὲν γνωρίζομεν ἀπὸ ποῦ εἶναι»[2]. Κοίταξε λόγια μεθυσμένων ἀνθρώπων. Μερικοὶ πάλιν ἔλεγαν· «Μήπως ὁ Χριστὸς ἦλθεν ἀπὸ τὴν Γαλιλαίαν καὶ ὄχι ἀπὸ τὴν κώμην τῆς Βηθλεέμ;». Εἶδες κρίσιν ἀνθρώπων μαινομένων; γνωρίζομεν καὶ δὲν γνωρίζομεν. Ὁ Χριστὸς ἦλθεν ἀπὸ τὴν Βηθλεέμ. «Ὅταν ἔλθῃ ὁ Χριστός, κανεὶς δὲν θὰ γνωρίζῃ ἀπὸ ποῦ εἶναι». Τί ὑπάρχει σαφέστερον ἀπὸ αὐτὴν τὴν λογομαχίαν; Διότι οὗτοι εἰς ἓν μόνον ἀπέβλεπον, εἰς τὸ νὰ μὴ πιστεύσουν.

Τί ἀπήντησεν ὁ Χριστὸς εἰς αὐτά; «Μὲ γνωρίζετε καὶ γνωρίζετε ἀπὸ ποῦ εἶμαι καὶ ὅμως δὲν ἔχω ἔλθει ἀπὸ τὸν ἑαυτόν μου, ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλεν εἶναι ἀληθινὸς καὶ αὐτὸν σεῖς δὲν τὸν ξεύρετε». Καὶ ξαναλέγει· «Ἐὰν ἐγνωρίζατε ἐμέ, θὰ ἐγνωρίζατε καὶ τὸν Πατέρα μου». Διατί ὁ Χριστὸς λέγει ὅτι καὶ αὐτὸν γνωρίζουν καὶ γνωρίζουν ἀπὸ ποῦ εἶναι καὶ ἀλλοῦ ὅτι οὔτε αὐτὸν γνωρίζουν οὔτε τὸν Πατέρα του; Δὲν ἀντιλέγει πρὸς τὸν ἑαυτόν του, ἀλλ' ἀντιθέτως εἶναι πολὺ συνεπὴς μὲ τὸν ἑαυτόν του. Ἀλλὰ ἐννοεῖ ἄλλην γνῶσιν, ὅταν λέγῃ, «Δὲν γνωρίζετε», καθὼς ὅταν λέγῃ ὁ Προφήτης· «Υἱοὶ τοῦ Ἠλεί, υἱοὶ τοῦ ὀλέθρου καὶ ὅμως δὲν γνωρίζετε τὸν Κύριον;»[3]. Καὶ πάλιν λέγει ὁ Προφήτης· «Τὸ Ἰσραὴλ ὅμως δὲν μὲ ἐγνώρισε»[4]. Καθὼς

λός φησι, «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται».

Ἔστιν ἄρα μὴ εἰδέναι εἰδότα. Τοῦτο οὖν φησιν· Εἰ ἐμὲ οἴδατε, οἴδατε ὅτι τοῦ Θεοῦ Υἱός εἰμι. Τὸ γάρ, «Πόθεν εἰμί», οὐ τὸν τόπον ἐνταῦθά φησι· καὶ δῆλον ἐκ τῆς ἐπαγωγῆς· «Καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε»· ἄγνοιαν ἐνταῦθα λέγων, τὴν διὰ τῶν ἔργων· καθὼς Παῦλός φησι· «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται». Οὐδὲ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα, ἀλλὰ κακίας καὶ πονηρᾶς γνώμης. Καὶ τοῦτο εἰδότες, ἀγνοεῖν βούλονται.

Πλὴν ποία ἀκολουθία ταῦτα; πῶς γὰρ ἐλέγχων αὐτούς, τὰ αὐτῶν φθέγγεται; Εἰπόντων γὰρ ἐκείνων, «Τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν», ἐπήγαγε, «Καὶ ἐμὲ οἴδατε». Τί γὰρ εἶπον ἐκεῖνοι, ὅτι «Οὐκ οἴδαμεν»; Καὶ αὐτοὶ μὲν οὖν τοῦτο ἔλεγον, ὅτι «Οἴδαμεν». Ἀλλ' ἐκεῖνοι μὲν τό, «Οἴδαμεν πόθεν ἐστί», λέγοντες, οὐδὲν ἄλλο ἐνέφαινον, ἀλλ' ἢ ὅτι ἐκ τῆς γῆς ἐστι, καὶ ὅτι τοῦ τέκτονός ἐστιν υἱός· αὐτὸς δὲ αὐτοὺς ἀνῆγεν εἰς τὸν οὐρανὸν λέγων· «Οἴδατε πόθεν εἰμί»· τουτέστιν, οὐκ ἐντεῦθεν ὅθεν ὑποπτεύετε, ἀλλ' ὅθεν ὁ πέμψας με. Τὸ γὰρ εἰπεῖν ὅτι, «Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα», τοῦτο αἰνίττεται, ὅτι ᾔδεσαν ὅτι παρὰ τοῦ Πατρὸς ἀπέσταλτο, εἰ καὶ μὴ ἐξεκάλυπτον. Διπλῇ γοῦν αὐτοὺς ἐλέγχει. Καὶ πρῶτον μὲν ἃ κατ' ἰδίαν ἐλάλουν, ταῦτα εἰς μέσον ἤγαγε κράζων, ὥστε αὐτοὺς ἐντρέψαι· ἔπειτα καὶ τὰ κατὰ διάνοιαν ἐξεκάλυπτεν· ὡσανεὶ ἔλεγεν· Οὐκ εἰμὶ τῶν ἀπερριμμένων, οὐδὲ τῶν ἁπλῶς ἐλθόντων. «Ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε». Τί ἐστιν, «Ἀληθὴς ὁ πέμψας με»;

---

5. Τίτ. 1, 16.

λέγει καὶ ὁ Παῦλος· «Ὁμολογοῦν μὲ τὸ στόμα ὅτι γνωρίζουν τὸν Θεόν, ἀλλὰ μὲ τὰ ἔργα τους τὸν ἀρνοῦνται»[5].

Εἶναι ἑπομένως δυνατὸν ἐκεῖνος ποὺ γνωρίζει νὰ μὴ γνωρίζῃ. Αὐτὸ ἐννοεῖ ὁ Χριστός, ὅταν λέγῃ· Ἐὰν ἐγνωρίζατε ἐμέ, θὰ ἐγνωρίζατε ὅτι εἶμαι Υἱὸς τοῦ Θεοῦ. Καὶ τὸ «Ἀπὸ ποῦ εἶμαι» δὲν λέγεται ἐδῶ γιὰ τὸν τόπον, ὅπως φαίνεται ἀπὸ τὰ ἑπόμενα· «Καὶ ὅμως δὲν ἔχω ἔλθει ἀπὸ τὸν ἑαυτόν μου ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλεν εἶναι ἀληθινὸς καὶ αὐτὸν σεῖς δὲν τὸν γνωρίζετε». Ἐδῶ ἄγνοια ἐννοεῖ τὴν διὰ τῶν ἔργων, καθὼς λέγει ὁ Παῦλος· «Ὁμολογοῦν μὲ τὸ στόμα ὅτι γνωρίζουν τὸν Θεόν, ἀλλὰ μὲ τὰ ἔργα τους τὸν ἀρνοῦνται». Διότι τὸ ἁμάρτημά τους δὲν προήρχετο ἀπὸ ἄγνοιαν ἀλλὰ ἀπὸ κακίαν καὶ πονηρὰν γνώμην. Καὶ ἐνῷ τὸ ξεύρουν αὐτό, θέλουν νὰ τὸ ἀγνοοῦν.

Ποίαν συνέπειαν ἔχουν ὅμως αὐτά; Πῶς δηλαδὴ ἐνῷ τοὺς ἐλέγχει συγχρόνως λέγει τὰ ἴδια μὲ αὐτούς; Διότι, ὅταν ἐκεῖνοι εἶπαν «Αὐτὸς ὅμως δὲν γνωρίζομεν ἀπὸ ποῦ εἶναι», ὁ Χριστὸς προσέθεσε· «Καὶ ἐμὲ γνωρίζετε». Διότι, τί εἶπαν ἐκεῖνοι; «Δὲν γνωρίζομεν». Καὶ αὐτοὶ λοιπὸν τὸ ἴδιο ἔλεγαν· «Δὲν γνωρίζομεν». Ἀλλὰ οἱ ἄλλοι ποὺ ἔλεγαν «Γνωρίζομεν ἀπὸ ποῦ εἶναι», δὲν ἐννόουν τίποτε ἄλλο, παρὰ ὅτι ἦτο γήϊνος, καὶ ὅτι ἦτο υἱὸς τοῦ τέκτονος. Αὐτοὺς λοιπὸν ὁ Χριστὸς ἀνύψωσεν εἰς τὸν οὐρανόν, ὅταν εἶπεν «γνωρίζετε ἀπὸ ποῦ εἶμαι», δηλαδὴ ὄχι ἀπὸ τὴν γῆν, ὅπως ὑποπτεύεσθε, ἀλλ' ἀπὸ ἐκεῖ ποὺ μὲ ἔστειλεν ἐκεῖνος. Διότι, ὅταν εἶπε, «Δὲν ἔχω ἔλθει ἀπὸ τὸν ἑαυτόν μου», ὑπαινίσσεται ὅτι ἐγνώριζαν ὅτι εἶχε σταλῆ ἀπὸ τὸν Πατέρα, μολονότι δὲν τὸ ἀπεκάλυπταν. Τοὺς ἐλέγχει λοιπὸν κατὰ δύο τρόπους· Πρῶτον παρουσίασε, καὶ μάλιστα μὲ δυνατὴν φωνήν, ὅσα ἔλεγαν ἰδιαιτέρως, ὥστε νὰ τοὺς κάμῃ νὰ ἐντραποῦν. Ἔπειτα ἀπεκάλυψε τὰς σκέψεις των, σὰν νὰ τοὺς ἔλεγε· Δὲν εἶμαι ἀπόβλητος, οὔτε ἦλθα χωρὶς αἰτίαν. «Ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλεν εἶναι ἀληθινός, τὸν ὁποῖον σεῖς δὲν γνωρίζετε». Τί σημαίνει «Εἶναι ἀληθινὸς αὐτὸς ποὺ μὲ

Εἰ ἀληθής ἐστιν, ἐπ' ἀληθείᾳ ἔπεμψεν· εἰ ἀληθής ἐστι καὶ τὸν ἀπεσταλμένον εἰκὸς ἀληθῆ εἶναι.

2. Καὶ ἑτέρως δὲ τοῦτο κατασκευάζει, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος λόγων. Ἐπειδὴ γὰρ ἔλεγον, «Ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί», δείκνυσι καὶ ἐντεῦθεν ἑαυτὸν εἶναι τὸν Χριστόν. Καὶ γὰρ ἐκεῖνοι τό, «Οὐδεὶς γινώσκει», πρὸς ἀντιδιαστολὴν τοπικοῦ τινος ἔλεγον διορισμοῦ· καὶ ἐντεῦθεν δείκνυσιν ἑαυτὸν ὄντα τὸν Χριστόν, ὅτι παρὰ τοῦ Πατρὸς ἦλθε· καὶ πανταχοῦ τὴν γνῶσιν ἑαυτῷ μαρτυρεῖ μόνῳ τοῦ Πατρός, λέγων· «Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Πατρός». Καὶ παρώξυνεν αὐτοὺς τὰ λεγόμενα. Τὸ γὰρ εἰπεῖν, ὅτι «Οὐκ οἴδατε αὐτόν», καὶ τὸ ἐλέγξαι ὅτι εἰδότες προσποιοῦνται ἀγνοεῖν, ἱκανὸν δακεῖν καὶ καθάψασθαι.

«Ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐλελύθει ἡ ὥρα αὐτοῦ». Ὁρᾷς αὐτὸς ἀοράτως κατεχομένους, καὶ τὸν θυμὸν αὐτῶν χαλινούμενον; Διὰ τί δὲ μὴ εἶπεν, ὅτι κατεῖχεν αὐτοὺς ἀοράτως, ἀλλ' «Ὅτι οὔπω ἐλελύθει ἡ ὥρα αὐτοῦ;» Ἀνθρωπινώτερον ἠβουλήθη φθέγξασθαι καὶ ταπεινότερον ὁ εὐαγγελιστής, ὥστε αὐτὸν καὶ ἄνθρωπον ὑποπτευθῆναι. Ἐπειδὴ γὰρ πανταχοῦ ὑψηλὰ λέγει, τούτου ἕνεκεν ταῦτα παρασπείρει. Ὅταν δὲ λέγῃ, ὅτι «Παρ' αὐτοῦ εἰμι»· οὐχ ὡς προφήτης μανθάνων λέγει, ἀλλ' ὡς ὁρῶν αὐτόν, καὶ μετ' αὐτοῦ ὤν. «Οἶδα γὰρ αὐτόν», φησίν, «ὅτι ἐγὼ παρ' αὐτοῦ εἰμι».

Ὁρᾷς πῶς ἄνω καὶ κάτω κατασκευάζει τό, «Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα», καί, «Ὁ πέμψας με ἀληθής ἐστι», πρὸς ἐκεῖνο μαχόμενος, τὸ μὴ νομισθῆναι ἀλλότριον τοῦ Θεοῦ; Καὶ σκόπει πόνον τῆς ταπεινότητος τῶν ῥημάτων τὸ κέρ-

ἔστειλε»; Ἐὰν εἶναι ἀληθινός, μὲ ἔστειλε διὰ τὴν ἀλήθειαν. Ἐὰν εἶναι ἐκεῖνος ἀληθινός, εἶναι καὶ ὁ ἀπεσταλμένος του.

2. Καὶ κατ' ἄλλον τρόπον ἐπιβεβαιώνει τοῦτο συλλαμβάνων αὐτοὺς ἀπὸ τὰ ἴδια των τὰ λόγια. Ἐπειδὴ δηλαδὴ ἔλεγαν, «Ὅταν ἔλθῃ ὁ Χριστός, κανεὶς δὲν θὰ γνωρίζῃ ἀπὸ ποῦ εἶναι» ἀποδεικνύει καὶ ἀπὸ αὐτό, ὅτι αὐτὸς εἶναι ὁ Χριστός. Διότι ἐκεῖνοι τὰς λέξεις «Κανεὶς δὲν θὰ γνωρίζῃ» τὰς ἔλεγαν πρὸς ἀντιδιαστολὴν τοπικοῦ προσδιορισμοῦ. Καὶ ἀποδεικνύει ἐδῶ, ὅτι αὐτὸς εἶναι ὁ Χριστὸς καὶ ὅτι ἦλθεν ἀπὸ τὸν Πατέρα. Καὶ παντοῦ δίδει μαρτυρίαν, ὅτι μόνον αὐτὸς γνωρίζει τὸν Πατέρα, λέγων· «Ὄχι ὅτι ἔχει ἰδεῖ κανεὶς τὸν Πατέρα, παρὰ μόνον ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸν Πατέρα». Καὶ τὰ λόγια του ἐξώργιζαν τοὺς Ἰουδαίους. Διότι, ὅταν τοὺς εἶπε, «Δὲν τὸν γνωρίζετε», καὶ τοὺς ἤλεγξε, διότι, ἂν καὶ τὸν ἐγνώριζαν προσποιοῦνται ὅτι δὲν τὸν γνωρίζουν, ἦτο ἀρκετὸν νὰ τοὺς ἐρεθίσῃ καὶ νὰ τοὺς θίξῃ.

«Ἐζήτουν τότε νὰ τὸν πιάσουν, ἀλλὰ κανεὶς δὲν ἔβαζε χέρι ἐπάνω του, διότι δὲν εἶχεν ἔλθει ἀκόμη ἡ ὥρα του». Βλέπεις ὅτι αὐτοὶ συγκρατοῦνται ἀοράτως καὶ ὅτι χαλιναγωγεῖται ὁ θυμός των; Διατί ὅμως ὁ Εὐαγγελιστὴς δὲν εἶπεν, ὅτι συνεκράτει αὐτοὺς ἀοράτως, ἀλλ' εἶπε, «Διότι δὲν εἶχεν ἔλθει ἀκόμη ἡ ὥρα του»; Διότι ὁ Εὐαγγελιστὴς ἠθέλησε νὰ ὁμιλήσῃ κατὰ τρόπον ἀνθρώπινον καὶ ταπεινόν, διὰ νὰ νομίσουν οἱ Ἰούδαῖοι ὅτι ὁ Χριστὸς ἦτο καὶ ἄνθρωπος. Ἐπειδὴ δηλαδὴ χρησιμοποιεῖ παντοῦ ὑψηλὰ νοήματα, δι' αὐτὸ παρεμβάλλει ταῦτα. Ὅταν ὅμως ὁ Χριστὸς λέγῃ, «Ἀπὸ αὐτὸν εἶμαι», δὲν ὁμιλεῖ ὡς Προφήτης, ποὺ ἔμαθε τοῦτο, ἀλλὰ διότι βλέπει τὸν Θεὸν καὶ εὑρίσκεται μαζί του. Διότι τονίζει· «Ἐγὼ τὸν γνωρίζω, διότι εἶμαι ἀπὸ αὐτόν».

Βλέπεις πῶς μὲ κάθε τρόπον ἐπιβεβαιώνει αὐτὰ ποὺ εἶπε, «Δὲν ἦλθα ἀπὸ τὸν ἑαυτόν μου», καὶ «Ἐκεῖνος ποὺ μὲ ἔστειλε εἶναι ἀληθινός», διὰ νὰ βεβαιώσῃ τοῦτο, δηλαδὴ τὸ νὰ μὴ θεωρηθῇ ὅτι εἶναι ξένος πρὸς τὸν Θεόν; Καὶ πρόσε-

δος. Μετὰ γὰρ ταῦτα πολλοί, φησίν, ἔλεγον· «Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησε;». Πόσα σημεῖα; Καὶ μὴν τρία ἦν σημεῖα, τὸ τοῦ οἴνου, καὶ τὸ τοῦ παραλυτικοῦ, καὶ τὸ τοῦ υἱοῦ τοῦ βασιλικοῦ· καὶ οὐδὲν διηγήσατο πλέον ὁ εὐαγγελιστής. Ὅθεν δῆλον, ὃ πολλάκις εἶπον, ὅτι τὰ πολλὰ παρατρέχουσι καὶ ὑπὲρ τούτων ἡμῖν διαλέγονται, ὑπὲρ ὧν οἱ ἄρχοντες ἐκακούργουν.

Ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ ἀνελεῖν. Τίνες; Οὐ τὸ πλῆθος τὸ τῆς ἀρχῆς οὐκ ἐφιέμενον, οὐδὲ βασκανίᾳ ἁλῶναι δυνάμενον· ἀλλ' οἱ ἱερεῖς. Οἱ γὰρ τοῦ πλήθους ἔλεγον· «Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει;». Πλὴν ἀλλ' οὐδὲ αὕτη ἦν ὑγιὴς ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου. Τὸ γὰρ λέγειν, «Ὅταν ἔλθῃ», οὐ σφόδρα πεπεισμένων ἦν τοῦτον εἶναι τὸν Χριστόν. Ἢ τοῦτο οὖν ἔστιν εἰπεῖν ἢ ὅτι κατὰ συνδρομὴν εἴρηται παρὰ τῶν ὄχλων· ὡς γὰρ τῶν ἀρχόντων ἄνω καὶ κάτω σπουδαζόντων δεῖξαι οὐκ ὄντα αὐτὸν τὸν Χριστόν, θῶμεν μηδὲ εἶναι αὐτὸν τὸν Χριστόν· μὴ τούτου βελτίων ἔσται ἐκεῖνος; Ὅπερ ἀεὶ λέγω, ὅτι οἱ παχύτεροι, οὐκ ἀπὸ διδασκαλίας, οὐδὲ ἀπὸ δημηγορίας, ἀλλ' ἀπὸ σημείων ἐνάγονται.

«Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος, καὶ ἔπεμψαν ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν». Ὁρᾷς ὅτι τοῦ Σαββάτου ἡ λύσις πρόσχημα ἦν; Ὁ δὲ μάλιστα αὐτοὺς ἔδακνε, τοῦτο ἦν. Ἐνταῦθα γὰρ οὐδὲν ἔχοντες ἐγκαλεῖν, οὔτε τοῖς εἰρημένοις, οὔτε τοῖς πεπραγμένοις, διὰ τὸν ὄχλον ἐβούλοντο πιάσαι αὐτόν. Καὶ αὐτοὶ μὲν οὐκ ἐτόλμων, τὸν κίνδυνον ὑφορώμενοι, τοὺς δὲ διακόνους ἀπέστελλον ἐκδό-

ξε πόσον μεγάλη εἶναι ἡ ὠφέλεια ἀπὸ αὐτὰ τὰ λόγια. Διότι, λέγει ὁ Εὐαγγελιστής, μετὰ ἀπὸ αὐτὰ πολλοὶ Ἰουδαῖοι ἔλεγαν· «Ὅταν ἔλθῃ ὁ Χριστός, μήπως θὰ κάμῃ περισσότερα θαύματα, ἀπὸ ὅσα ἔκαμεν αὐτός;». Πόσα θαύματα; Τρία ἦσαν τὰ θαύματα, τὸ θαῦμα τοῦ οἴνου, τὸ θαῦμα τοῦ παραλυτικοῦ καὶ τὸ θαῦμα τοῦ ἀξιωματούχου τοῦ βασιλέως. Κανὲν ἄλλο ἐκτὸς ἀπὸ αὐτὰ δὲν ἀφηγήθη ὁ Εὐαγγελιστής. Ἀπὸ αὐτὰ φαίνεται, ὅπως εἶπα πολλὰς φοράς, ὅτι οἱ Εὐαγγελισταὶ παραλείπουν πολλὰ καὶ μᾶς ἀναφέρουν μόνον ἐκεῖνα, τὰ ὁποῖα μηχανεύονται οἱ ἄρχοντες τῶν Ἰουδαίων.

Ἐζήτουν λοιπὸν νὰ πιάσουν τὸν Χριστὸν καὶ νὰ τὸν φονεύσουν. Ποῖοι; Ὄχι ὁ λαὸς ποὺ δὲν ἤθελε τοὺς ἄρχοντας, οὔτε ἠμποροῦσε νὰ κυριευθῇ ἀπὸ φθόνον, ἀλλὰ οἱ ἱερεῖς. Διότι ὁ πολὺς κόσμος ἔλεγεν· «Ὅταν ἔλθῃ ὁ Χριστός, μήπως θὰ κάμῃ περισσότερα θαύματα ἀπὸ αὐτόν;». Ἀλλὰ καὶ ἡ πίστις αὐτὴ δὲν ἦτο ὑγιής, ἀλλ' ὅπως εἶναι συνήθως ἡ πίστις τοῦ ἀμορφώτου λαοῦ. Διότι μὲ τὸ νὰ λέγουν, «Ὅταν ἔλθῃ», δὲν εἶχαν σταθερὰν πεποίθησιν ὅτι αὐτὸς ἦτο ὁ Χριστός. Ἢ αὐτὸ λοιπὸν ἐλέχθη ἔτσι, ἢ οἱ ἄνθρωποι τὸ εἶπαν κατὰ τύχην. Διότι, ὅπως οἱ ἄρχοντες ἐφρόντιζαν ν' ἀποδείξουν μὲ κάθε τρόπον, ὅτι δὲν ἦτο αὐτὸς ὁ Χριστός, ἔτσι καὶ ὁ κόσμος ἔλεγεν· ἂς ὑποθέσωμεν ὅτι αὐτὸς δὲν εἶναι ὁ Χριστός. Μήπως ἐκεῖνος ποὺ θὰ ἔλθῃ, θὰ εἶναι καλύτερος ἀπὸ αὐτόν; Ὅπως λέγω συνεχῶς, οἱ ἀμαθέστεροι δὲν προσελκύονται ἀπὸ τὴν διδασκαλίαν, οὔτε ἀπὸ τὸν λόγον, ἀλλ' ἀπὸ τὰ θαύματα.

«Ἤκουσαν οἱ Φαρισαῖοι νὰ ψιθυρίζῃ ὁ κόσμος καὶ ἔστειλαν ὑπηρέτας διὰ νὰ τὸν πιάσουν». Βλέπεις ὅτι ἡ παραβίασις τοῦ Σαββάτου ἦτο πρόσχημα; Ἐκεῖνο ὅμως ποὺ τοὺς κατέτρωγε περισσότερον ἦτο τὸ ἑξῆς. Ἐπειδὴ δηλαδὴ δὲν εἶχον καμμίαν αἰτίαν διὰ νὰ τὸν κατηγορήσουν, εἴτε ἀπὸ τὰ λόγια εἴτε ἀπὸ τὰ ἔργα του, ἤθελαν νὰ τὸν συλλάβουν ἕνεκα τοῦ λαοῦ. Καὶ οἱ ἴδιοι μὲν δὲν ἐτόλμων, ἐπειδὴ ὑπωψιάζοντο τὸν κίνδυνον, ἔστειλαν ὅμως τοὺς ὑπηρέτας των διὰ

τους. Ὢ τῆς τυραννίδος καὶ τῆς μανίας! μᾶλλον δὲ ὢ τῆς ἀνοίας! Αὐτοὶ πολλάκις ἐπιχειρήσαντες, καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέταις τὸ πρᾶγμα ἐπέτρεψαν, ἁπλῶς τὸν θυμὸν αὐτῶν διαναπαύοντες· καίτοι πολλὰ διελέχθη καὶ ἐν τῇ κολυμβήθρᾳ, καὶ οὐδὲν τοιοῦτον ἐποίησαν, ἀλλ' ἐζήτησαν μέν, οὐκ ἐπεχείρησαν δέ. Ἐνταῦθα δὲ οὐκ ἔτι φέρουσι, τοῦ ὄχλου μέλλοντος αὐτῷ προστρέχειν.

Τί οὖν ὁ Χριστός; «Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι». Δυνάμενος καὶ ἐπικάμψαι καὶ φοβῆσαι τοὺς ἀκούοντας, ῥήματα φθέγγεται ταπεινοφροσύνης γέμοντα, ὡσανεὶ ἔλεγεν· Τί σπουδάζετέ με ἀνελεῖν καὶ διῶξαι; Μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ σπουδαζόντων με κατέχειν ἀνέξομαι. Εἶτα ἵνα μή τις θάνατον κοινὸν νομίσῃ, τὸ «Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι» (καὶ γὰρ τοῦτο ἐνόμισαν)· ἵν' οὖν τοῦτο μή τις νομίσῃ, καὶ ὅτι οὐδὲν ἐνήργει μετὰ τελευτήν, ἐπήγαγε· «Καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν».

Εἰ δὲ ἔμελλεν ἐναπομένειν τῷ θανάτῳ, ἠδύναντο ἀπελθεῖν· ἐκεῖ γὰρ πάντες ἄπιμεν. Τὸ μὲν οὖν ἀφελέστερον πλῆθος, ἐπέκαμπτε τὰ λεγόμενα· τὸ δὲ θρασύτερον, ἐφόβει· τὸ δὲ φιλομαθέστερον, σπεύδειν ἐποίει πρὸς τὴν ἀκρόασιν, ὡς ὀλίγου λοιπὸν ὑπολειπομένου χρόνου, καὶ οὐκ ἐνὸν ἀεὶ ταύτης ἀπολαῦσαι τῆς διδασκαλίας. Καὶ οὐκ εἶπεν ἁπλῶς, Ἐνταῦθά εἰμι, ἀλλά, «Μεθ' ὑμῶν εἰμι»· τουτέστι, Κἂν διώκητε κἂν ἐλαύνητε, μικρὸν χρόνον οὐ παύσομαι τὰ ὑπὲρ ὑμῶν οἰκονομῶν καὶ τὰ πρὸς σωτηρίαν λέγων καὶ παραινῶν ὑμῖν.

«Καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με». Φοβῆσαι τοῦτο ἱκανὸν ἦν, καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν. Καὶ γὰρ ὅτι ἐν χρείᾳ αὐτοῦ καταστήσονται δηλοῖ. «Ζητήσετε γάρ με», φησίν, οὐ μόνον οὐκ ἐπιλήσεσθε, ἀλλὰ καὶ «Ζητήσετέ με καὶ οὐχ εὑρήσετε». Καὶ ποῦ ἐζήτησαν αὐτὸν οἱ Ἰουδαῖοι; Λέγει ὁ Λουκᾶς,

νὰ δοκιμάσουν. Πόση ἀγριότης καὶ πόση μανία! Ἢ μᾶλλον πόση μωρία! Ἐνῷ οἱ ἴδιοι ἐπεχείρησαν τόσας φορὰς καὶ δὲν ἠμπόρεσαν, ἐνεπιστεύθησαν τὸ πρᾶγμα εἰς τοὺς ὑπηρέτας των, ἀλλὰ διετήρουν συνεχῶς τὴν ὀργήν των. Καὶ ὅμως πολλὰ εἶχεν εἰπεῖ ὁ Χριστὸς πλησίον τῆς δεξαμενῆς καὶ ὅμως δὲν ἔκαμαν κάτι τέτοιο, ἀλλὰ ἐμηχανεύοντο μέν, ἀλλὰ δὲν ἐπεχείρησαν. Ἐδῶ ὅμως δὲν ἀνέχονται πλέον, ἐπειδὴ ὁ κόσμος ἐπρόκειτο νὰ προστρέξῃ εἰς αὐτόν.

Τί ἀπήντησεν ὁ Χριστός; «Ἀκόμη ὀλίγον χρόνον θὰ εἶμαι μαζί σας». Ἐνῷ ἠμποροῦσε νὰ κάμψῃ καὶ νὰ φοβίσῃ τοὺς ἀκροατάς, λέγει λόγια γεμᾶτα ἀπὸ ταπεινοφροσύνην, σὰν νὰ τοὺς ἔλεγε· Διατί βιάζεσθε νὰ μὲ φονεύσετε καὶ νὰ μὲ διώξετε; Περιμένετε ὀλίγον καιρὸν καὶ χωρὶς νὰ βιάζεσθε τόσον θὰ ἀνεχθῶ νὰ μὲ συλλάβετε. Ἔπειτα διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι μὲ τὰ λόγια του, «Ἀκόμη ὀλίγον χρόνον θὰ εἶμαι μαζί σας», ἐννοοῦσε τὸν κοινὸν θάνατον (διότι αὐτὸ εἶχαν νομίσει), καὶ διὰ νὰ μὴ νομίσῃ λοιπὸν κανεὶς τοῦτο, ὅτι δηλαδὴ ὅτι δὲν θὰ ἐνήργει τίποτε μετὰ τὸν θάνατόν του, προσέθεσε· «Καὶ ὅπου εἶμαι ἐγώ, σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε».

Ἐὰν ὅμως ἐπερίμενε τὸν θάνατον, ἐκεῖνοι ἠμποροῦσαν πράγματι νὰ ἔλθουν, διότι ὅλοι ἐκεῖ θὰ ἀπέλθωμεν. Οἱ ἀφελέστεροι ἀπὸ τοὺς ἀκροατάς του ἐκάμπτοντο ἀπὸ αὐτὰ τὰ λόγια, οἱ θρασύτεροι ἐφοβοῦντο, ἐνῷ οἱ φιλομαθέστεροι ἔσπευδον νὰ τὸν ἀκούσουν, διότι ὀλίγος χρόνος ἀπέμενε καὶ δὲν ἦτο δυνατὸν ν' ἀπολαύουν συνεχῶς αὐτὴν τὴν διδασκαλίαν. Καὶ δὲν εἶπε μόνον, Ἐδῶ εἶμαι, ἀλλὰ «Εἶμαι μαζί σας», ποὺ σημαίνει· Καὶ ἂν μὲ καταδιώκετε καὶ ἂν μὲ ἐκδιώκετε, δὲν θὰ παύσω δι' ὀλίγον χρόνον νὰ φροντίζω διὰ σᾶς καὶ νὰ ὁμιλῶ διὰ τὴν σωτηρίαν σας καὶ νὰ σᾶς συμβουλεύω.

«Καὶ θὰ πάω εἰς ἐκεῖνον ποὺ μὲ ἔστειλεν». Αὐτὸ ἦτο ἀρκετὸν νὰ τοὺς φοβίσῃ καὶ νὰ τοὺς βάλῃ εἰς ἀγωνίαν. Διότι σημαίνει, ὅτι θὰ τὸν χρειασθοῦν. Διότι τοὺς λέγει· «Θὰ μὲ ζητήσετε καὶ δὲν θὰ μὲ εὑρῆτε». Ἀλλὰ πότε τὸν ἐζήτη-

ὅτι ἐκόπτοντο γυναῖκες ἐπ' αὐτῷ. Εἰκὸς δὲ καὶ ἄλλους πολλούς, καὶ εὐθέως καὶ τῆς πόλεως ἁλισκομένης, μεμνῆσθαι τοῦ Χριστοῦ καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τὴν παρουσίαν ζητεῖν τὴν αὐτοῦ. Τοῦτο δὴ πάντα ἐπήγαγε, βουλόμενος αὐτοὺς ἐφελκύσασθαι. Καὶ γὰρ τὸ μικρὸν χρόνον εἶναι τὸν λειπόμενον καὶ τὸ μετὰ τὴν ἀναχώρησιν ποθεινὸν ἔσεσθαι καὶ τὸ μὴ δύνασθαι λοιπὸν αὐτὸν εὑρεῖν, ἱκανὰ πάντα πεῖσαι προσελθεῖν. Εἰ μὲν γὰρ μὴ ἔμελλε ποθεινὴ εἶναι ἡ παρουσία, οὐδὲν μέγα αὐτοῖς ἐδόκει λέγειν. Πάλιν δὲ εἰ ἔμελλε ποθεινὴ εἶναι, δυνατὸν δὲ ἦν εὑρεῖν, οὐδ' ἂν οὕτως αὐτοὺς ἐθορύβησε.

3. Πάλιν, εἰ πολὺν ἔμελλε χρόνον παρεῖναι καὶ οὕτως ὕπτιοι ἂν ἐγένοντο. Νῦν δὲ πάντοθεν αὐτοὺς συνελαύνει καὶ φοβεῖ. Τὸ δέ, «Ὑπάγω πρὸς τὸν πέμψαντά με», δεικνύντος ἐστὶν οὐδεμίαν αὐτῷ· γενησομένην βλάβην ἀπὸ τῆς ἐπιβουλῆς τῆς αὐτῶν, καὶ τὸ πάθος ἑκούσιον. Διὸ τοίνυν προεῖπε προρρήσεις, ὅτι μετὰ μικρὸν ἀπελεύσεται χρόνον, καὶ ὅτι οὐχ ἥξουσι πρὸς αὐτόν· ὅπερ οὐκ ἦν ἀνθρωπίνης διανοίας, τὴν ἑαυτοῦ τελευτὴν προειπεῖν. Ὅρα γοῦν καὶ τὸν Δαυῒδ λέγοντα· «Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ». Καὶ ὅλως οὐδείς ἐστιν ὁ μαθὼν τοῦτο. Ἐκ δὲ τοῦ ἑνὸς καὶ τὸ ἕτερον πιστοῦται. Ἐγὼ δὲ οἶμαι καὶ πρὸς τοὺς ὑπηρέτας τοῦτο αἰνίττεσθαι, καὶ πρὸς αὐτοὺς τὸν λόγον ἀποτείνειν, ᾧ μάλιστα αὐτοὺς ἐπεσπάσατο, δείξας ἑαυτὸν εἰδότα τῆς ἀφίξεως τὴν αἰτίαν, ὡσανεὶ ἔλεγε· περιμείνατε μικρὸν καὶ ἀπελεύσομαι.

«Ἔλεγον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· «Ποῦ οὗτος μέλλει πορεύεσθαι;». Καὶ μὴν τοὺς ἐπιθυμοῦντας ἀπαλλα-

---

5α. Λουκᾶ 23, 49.
6. Ψαλμ. 38, 5.

σαν οἱ Ἰουδαῖοι; Διηγεῖται ὁ Λουκᾶς ὅτι ἐθρήνουν γυναῖκες δι' αὐτόν[5α]. Ἑπόμενον εἶναι ὅτι τὸ ἴδιο ἔκαμαν καὶ πολλοὶ ἄλλοι καὶ μάλιστα ἀμέσως μόλις ἐκυριεύθη ἡ πόλις τῶν Ἱεροσολύμων, ὅλοι ἐνεθυμήθησαν τὸν Χριστὸν καὶ τὰ θαύματά του καὶ ἐζήτησαν τὴν παρουσία του. Ὅλα λοιπὸν αὐτὰ τὰ εἶπε, διὰ νὰ τοὺς προσελκύση. Διότι καὶ τὸ ὅτι ὑπελείπετο ὀλίγος ἀκόμη χρόνος καὶ τὸ ὅτι θὰ ἐγίνετο ἐπιθυμητὸς μετὰ τὴν ἀναχώρησίν του καὶ τὸ ὅτι δὲν θὰ ἠμποροῦσαν πλέον νὰ τὸν εὕρουν, ἦσαν ἀρκετὰ νὰ τοὺς πείσουν διὰ νὰ ἔλθουν πρὸς αὐτόν. Διότι, ἐὰν ἡ παρουσία τοῦ Χριστοῦ δὲν ἐπρόκειτο νὰ εἶναι ἐπιθυμητή, δὲν θὰ ἐθεώρουν, ὅτι ἔλεγε τίποτε τὸ σπουδαῖον. Ἐὰν πάλιν ἐπρόκειτο νὰ εἶναι ἐπιθυμητὴ καὶ θὰ ἦτο δυνατὸν νὰ τὸν εὕρουν, δὲν θὰ τοὺς ἀνησύχει τόσον πολύ.

3. Ἐὰν πάλιν ἐπρόκειτο νὰ μένῃ πλησίον των πολὺν χρόνων, τότε θὰ ἔμεναν ἥσυχοι. Τώρα ὅμως ἀπὸ παντοῦ τοὺς διεγείρει καὶ τοὺς φοβίζει. Τὰ λόγια του, «Θὰ πάω εἰς ἐκεῖνον ποὺ μὲ ἔστειλε», φανερώνουν ὅτι δὲν θὰ συμβῇ εἰς αὐτὸν καμμία βλάβη ἀπὸ τὰς μηχανορραφίας των καὶ τὸ ἑκούσιον πάθος του. Ἔκαμε λοιπὸν δύο προαναγγελίας, ὅτι θὰ ἀπέλθῃ ὕστερα ἀπὸ ὀλίγον χρόνον καὶ ὅτι δὲν θὰ ἔλθουν μαζί του. Δὲν ἦτο βεβαίως ἀπόδειξις τοῦ ἀνθρωπίνου πνεύματος τὸ ὅτι προανήγγειλε τὸν θάνατόν του. Κοίταξε, τί εἶπεν ὁ Δαυΐδ. «Κάμε νὰ γνωρίσω, Κύριε, τὸ τέλος μου καὶ ποῖος εἶναι τῶν ἡμερῶν μου ὁ ἀριθμός, διὰ νὰ γνωρίσω, εἰς τί ἐγὼ ὑστερῶ»[6]. Καὶ γενικὰ κανεὶς δὲν ἔμαθε τοῦτο. Ἀπὸ τὸ ἕνα βεβαιώνεται καὶ τὸ ἄλλο. Ἐγὼ ὅμως νομίζω ὅτι μὲ αὐτὸ ὑπαινίσσεται καὶ τοὺς ὑπηρέτας τῶν Φαρισαίων καὶ ὅτι ἀπηύθυνε τὸν λόγον πρὸς αὐτούς, μὲ τὸν ὁποῖον μάλιστα τοὺς προσείλκυσε, ἀφοῦ ἔδειξεν ὅτι ἐγνώριζε τὴν αἰτίαν τῆς ἀφίξεώς των, σὰν νὰ τοὺς ἔλεγεν· Περιμένετε ὀλίγον καὶ θὰ φύγω.

«Ἔλεγαν τότε οἱ Ἰουδαῖοι μεταξύ των· «Ποῦ πρόκειται αὐτὸς νὰ ὑπάγῃ;». Καὶ ὅμως, ἂν ἐπεθύμουν οὗτοι ν' ἀπαλ-

γῆναι, τοὺς πάντα πράττοντας ὥστε μὴ βλέπειν αὐτόν, οὐκ ἐχρῆν τοῦτο ζητεῖν, ἀλλ' εἰπεῖν, ὅτι Καὶ ἀσμενίζομεν, καὶ πότε γὰρ τοῦτο ἔσται; Ἀλλ' ἔπαθόν τι πρὸς τὰ λεχθέντα, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς ἀνοήτως ὑποπτεύοντες, ποῦ μέλλει πορεύεσθαι. «Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων»; Τί ἐστιν, «Εἰς διασπορὰν τῶν Ἑλλήνων;». Οὕτω τὰ ἔθνη ἐκάλουν οἱ Ἰουδαῖοι, διὰ τὸ πανταχοῦ διεσπάρθαι καὶ ἀδεῶς ἀλλήλοις ἐπιμίγνυσθαι. Τοῦτο δὲ καὶ αὐτοὶ λοιπὸν τὸ ὄνειδος ὑπέμειναν· διασπορὰ γὰρ ἦσαν καὶ αὐτοί. Τὸ γὰρ παλαιὸν ἅπαν τὸ ἔθνος εἰς ἓν συνείλεκτο καὶ οὐκ ἦν ἀλλαχοῦ Ἰουδαῖον εὑρεῖν, ἀλλ' ἢ ἐν Παλαιστίνῃ μόνῃ. Πρὸς δὲ τοῦτο διασπορὰν τοὺς Ἕλληνας ἐκάλουν, ὀνειδίζοντες καὶ μεγαλαυχοῦντες ἐφ' ἑαυτοῖς.

Τί οὖν ἐστιν; «Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν»; Ἐκείνοις δὲ πάντες ἐπεμίγνυντο τότε, καὶ πανταχοῦ τῆς οἰκουμένης ἦσαν Ἰουδαῖοι. Οὐκ ἂν οὖν, εἰ τοὺς Ἕλληνας δήλου, εἶπεν, «Ὅπου οὐ δύνασθε ἐλθεῖν». Εἰπόντες δέ, «Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι;», οὐκ εἶπον, Καὶ λυμαίνεσθαι αὐτούς, ἀλλὰ «διδάσκειν». Οὕτως ἤδη καθυφῆκαν τῆς ὀργῆς, καὶ τοῖς λεχθεῖσιν ἐπίστευσαν. Οὐκ ἂν δέ, εἰ μὴ ἐπίστευσαν, ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος.

Ἀλλὰ ταῦτα μὲν εἴρητο πρὸς ἐκείνους· δέος δέ, μὴ καὶ πρὸς ἡμᾶς καιρὸν ἔχῃ τὰ λεγόμενα, ὅτι Ὅπου ἐστίν, οὐ δυνάμεθα ἀπελθεῖν, διὰ τὸν βίον ἡμῶν τὸν ἁμαρτημάτων γέμοντα. Περὶ μὲν γὰρ τῶν μαθητῶν φησι. «Θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ»· περὶ δὲ ἡμῶν

7. Ἰω. 17, 24.

λαγοῦν ἀπὸ αὐτὸν καὶ ἂν ἔκαμναν τὰ πάντα διὰ νὰ μὴ τὸν βλέπουν, δὲν ἔπρεπε νὰ ἐρωτοῦν αὐτό, ἀλλὰ νὰ εἰποῦν· Χαίρομεν ποὺ θὰ φύγῃς. Καὶ πότε θὰ γίνῃ αὐτό. Ἀντιθέτως, συνεκλονίσθησαν ἀπὸ τὰ λόγια του καὶ ἐρωτοῦσαν ὁ ἕνας τὸν ἄλλον προσπαθοῦντες νὰ μαντεύσουν ἀνοήτως, ποῦ πρόκειται νὰ ὑπάγῃ. «Μήπως πρόκειται νὰ ὑπάγῃ εἰς τοὺς διεσκορπισμένους εἰς τὰ ἔθνη Ἰουδαίους; Τί σημαίνει «εἰς τοὺς διεσκορπισμένους εἰς τὰ ἔθνη»; Ἔτσι ὠνόμαζαν οἱ Ἰουδαῖοι τὰ ἔθνη καὶ διότι εἶχον διασκορπισθῆ παντοῦ καὶ διότι ἤρχοντο εἰς ἐπιμιξίαν μεταξύ των ἐλευθέρως. Αὐτὸ τὸ αἶσχος ὑπέστησαν καὶ αὐτοὶ ἀργότερα. Διότι καὶ αὐτοὶ διεσκορπίσθησαν. Διότι τὸν παλαιὸν καιρὸν ὅλον τὸ ἔθνος ἦτο συγκεντρωμένον εἰς ἕνα τόπον καὶ δὲν ἠμποροῦσε νὰ εὕρῃ κανεὶς Ἰουδαῖον ἀλλοῦ, παρὰ μόνον εἰς τὴν Παλαιστίνην. Ἐκτὸς αὐτοῦ ὠνόμαζαν διασκορπισμένους τοὺς ἐθνικοὺς διὰ νὰ τοὺς ταπεινώσουν καὶ διὰ νὰ ὑπερηφανεύωνται διὰ τοὺς ἑαυτούς των.

Καὶ τί σημαίνει, «Ὅπου θὰ ὑπάγω ἐγώ, σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε»; Μὲ ἐκείνους τότε ὅλοι ἤρχοντο εἰς ἐπιμιξίαν καὶ ὑπῆρχαν Ἰουδαῖοι εἰς ὅλην τὴν οἰκουμένην. Ἐὰν λοιπὸν ἤθελε νὰ δηλώσῃ τοὺς ἐθνικούς, δὲν θὰ ἔλεγεν, «Ὅπου σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε». Ὅταν λοιπὸν αὐτοὶ εἶπαν, «Μήπως πρόκειται νὰ ὑπάγῃ εἰς τοὺς διασκορπισμένους εἰς τὰ ἔθνη Ἰουδαίους» δὲν ἐπρόσθεσαν, Διὰ νὰ τοὺς καταστρέψῃ, ἀλλὰ «Διὰ νὰ τοὺς διδάξῃ. Τόσον εἶχαν ἀποβάλει τὴν ὀργήν του καὶ ἐπίστευσαν εἰς τὰ λόγια του. Ἐὰν δὲν ἐπίστευαν, δὲν θὰ συνεζήτουν μεταξύ των, τί ἐσήμαιναν τὰ λόγια του.

Ἀλλ' αὐτὰ μὲν εἶχαν λεχθῆ εἰς τοὺς Ἰουδαίους, ἀλλ' ὑπάρχει φόβος μήπως τὰ λόγια του ἀφοροῦν καὶ εἰς ἡμᾶς, δηλαδή, Ὅπου εἶναι ἐκεῖνος, ἡμεῖς δὲν ἠμποροῦμεν νὰ ἔλθωμεν, ἕνεκα τῆς ζωῆς μας ποὺ εἶναι γεμάτη ἁμαρτίας. Διότι περὶ τῶν μαθητῶν του ἔλεγεν· «Ὅπου εἶμαι ἐγώ, θέλω νὰ εἶναι καὶ ἐκεῖνοι μαζί μου»[7]. Φοβοῦμαι ὅμως, μήπως

δέδοικα μὴ τοὐναντίον λεχθῇ, ὅτι «Ὅπου εἰμὶ ἐγώ, οὐ δύνασθε ἐλθεῖν». Ὅταν γὰρ ἐναντία τῶν προσταγμάτων πράττωμεν, πῶς δυνησόμεθα ἀπελθεῖν ἐκεῖ; Καὶ γὰρ καὶ κατὰ τὸν παρόντα βίον, εἴ τις τῶν στρατευομένων ἀνάξια πράττοι τοῦ βασιλέως, οὐ δυνήσεται τὸν βασιλέα ἰδεῖν, ἀλλά, τῆς ἀρχῆς παραλυθείσης, τὴν ἐσχάτην ὑποστήσεται κόλασιν.

Ὅταν οὖν ἁρπάζωμεν, πλεονεκτῶμεν· ὅταν ἀδικῶμεν, πλήττωμεν· ὅταν μὴ ἐλεημοσύνην ἐργασώμεθα, οὐ δυνησόμεθα ἀπελθεῖν ἐκεῖσε, ἀλλὰ καὶ πεισόμεθα ὃ γέγονε ταῖς παρθένοις. Ὅπου γὰρ ἦν, οὐκ ἐδυνήθησαν εἰσελθεῖν, ἀλλ' ἀνεχώρησαν, σβεσθεισῶν αὐτῶν τῶν λαμπάδων· τουτέστι, τοῦ χαρίσματος αὐτὰς καταλιπόντος. Τὴν γὰρ φλόγα ἐκείνην ἣν εὐθέως ἐδεξάμεθα τῇ τοῦ Πνεύματος χάριτι, ἂν μὲν βουλώμεθα, σφοδροτέραν ἐργασόμεθα αὐτήν· ἂν δὲ μὴ βουλώμεθα, ταχέως αὐτὴν ἀπολέσομεν. Σβεσθείσης δὲ ἐκείνης, οὐδὲν ἕτερον, ἀλλ' ἢ σκότος ἐν ταῖς ἡμετέραις ἔσται ψυχαῖς. Ὥσπερ γὰρ καιομένης τῆς λαμπάδος πολὺ τὸ φῶς· οὕτω διαλυθείσης οὐδὲν ἕτερον, ἀλλ' ἢ γνόφος ἔσται.

Διό φησι, «Τὸ πνεῦμα μὴ σβέννυτε». Σβέννυται δέ, ὅταν ἔλαιον μὴ ἔχῃ, ὅταν ἀνέμου σφοδροτέρα τις ἐμβολὴ γένηται, ὅταν συνέχηται καὶ στενοχωρῆται (καὶ γὰρ οὕτω σβέννυται πῦρ)· συνέχεται δὲ ἀπὸ φροντίδων βιωτικῶν, καὶ σβέννυται ὑπὸ ἐπιθυμίας πονηρᾶς. Οὐδὲν δὲ αὐτὴν πρὸς τοὺς εἰρημένους οὕτω σβέννυσιν, ὡς ἀπανθρωπίᾳ, καὶ ὠμότης, καὶ ἁρπαγή. Ὅταν γὰρ τῷ ἔλαιον μὴ ἔχειν, καὶ ὕδωρ ἐπεμβάλλωμεν ψυχρόν· τοῦτο γάρ ἐστιν ἡ πλεονεξία, ἀποψύχουσα διὰ τῆς ἀθυμίας τῶν ἀδικουμένων τὰς ψυχάς· πόθεν δυνήσεται ἀναφθῆναι λοιπόν; Ἀπελευσόμεθα τοίνυν τέφραν τε καὶ κόνιν φέροντες, καὶ πολὺν ἔχοντες τὸν καπνὸν κατηγοροῦντα ἡμῶν, ὅτι λαμπάδας ἔχοντες ἀπεσβέσαμεν. Ἔνθα γὰρ ἂν ᾖ

---

8. Α' Θεσσ. 5, 19.

δι' ἡμᾶς λεχθῇ τὸ ἀντίθετον. «Ὅπου εἶμαι ἐγώ, σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε». Διότι, ὅταν ἐνεργοῦμεν ἐναντίον τῶν ἐντολῶν του, πῶς θὰ ἠμπορέσωμεν νὰ ἀπέλθωμεν ἐκεῖ; Διότι καὶ εἰς τὴν παροῦσαν ζωήν, ἐὰν κάποιος στρατιώτης κάμῃ κάτι ποὺ εἶναι ἐναντίον τοῦ βασιλέως, ὄχι μόνον δὲν θὰ ἠμπορέσῃ νὰ ἰδῇ τὸν βασιλέα, ἀλλὰ καὶ ἀφοῦ ἐκδιωχθῇ ἀπὸ τὴν ἐξουσίαν, θὰ ὑποστῇ τὴν ἐσχάτην τιμωρίαν.

Ὅταν λοιπὸν εἴμεθα ἅρπαγες καὶ πλεονέκται, ὅταν ἀδικῶμεν, ὅταν ἐξαπατῶμεν, ὅταν δὲν κάμνωμεν ἐλεημοσύνην, δὲν θὰ ἠμπορέσωμεν νὰ ἀπέλθωμεν ἐκεῖ ἀλλὰ καὶ θὰ πάθωμεν αὐτὸ ποὺ συνέβη εἰς τὰς παρθένους· αὐταὶ δηλαδὴ δὲν ἠμπόρεσαν νὰ εἰσέλθουν, ὅπου ἦτο ἐκεῖνος, ἀλλ' ἔφυγαν ἐπειδὴ εἶχαν σβησθῇ αἱ λαμπάδες των, δηλαδὴ ἐπειδὴ τὰς εἶχεν ἐγκαταλείψει ἡ χάρις. Διότι ἐκείνην τὴν φλόγα, τὴν ὁποίαν ἐδέχθημεν ἀμέσως μὲ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ἂν θέλωμεν νὰ τὴν κάμωμεν λαμπροτέραν, πρέπει νὰ ἐργασθῶμεν δι' αὐτήν, ἂν δὲν θέλωμεν, θὰ τὴν χάσωμεν ταχέως. Ὅταν ἐκείνη σβήσῃ, δὲν θὰ μείνῃ τίποτε ἄλλο εἰς τὰς ψυχάς μας ἐκτὸς ἀπὸ τὸ σκότος. Διότι, ὅπως ὑπάρχει πολὺ φῶς, ὅταν ἡ λαμπὰς εἶναι ἀναμμένη, ἔτσι ὅταν σβήσῃ δὲν θὰ ὑπάρχῃ τίποτε ἄλλο ἐκτὸς ἀπὸ τὸ σκότος.

Δι' αὐτὸ λέγει ὁ Παῦλος· «Τὸ Πνεῦμα μὴ τὸ σβήνετε»[8]. Σβήνει δέ, ὅταν δὲν ἔχῃ ἔλαιον, ὅταν φυσήξῃ δυνατωτέρα πνοὴ ἀνέμου, ὅταν πιέζεται καὶ ὅταν ἐμποδίζεται (διότι μόνον ἔτσι σβήνει τὸ πῦρ). Καὶ πιέζεται ἀπὸ βιωτικὰς φροντίδας καὶ σβήνει ἀπὸ πονηρὰς ἐπιθυμίας. Ἐκτὸς ὅμως ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν δὲν σβήνουν αὐτὴν τόσον πολύ, ὅσον ἡ ἀπανθρωπία, ἡ σκληρότης καὶ ἡ πλεονεξία. Διότι, ὅταν δὲν ἔχῃ ἔλαιον ἂς ρίψωμεν κρῦον ὕδωρ. Αὐτὸ εἶναι ἡ πλεονεξία, ἡ ὁποία ψυχραίνει ἐντελῶς τὰς ψυχὰς τῶν ἀδικουμένων. Μὲ ποῖον λοιπὸν τρόπον θὰ ἠμπορέσῃ ν' ἀναφθῇ; Θὰ ἀπέλθωμεν λοιπὸν φέροντες μαζί μας στάχτην καὶ σκόνην καὶ ἔχοντες κατήγορόν μας τὸν πολὺν καπνόν, ὅτι ἐνῷ εἴχαμεν τὰς

καπνός, ἀνάγκη πῦρ εἶναι τὸ σβεσθέν.

Ἀλλὰ μὴ γένοιτό τινα ταύτην ἀκοῦσαι τὴν φωνὴν τήν, «Οὐκ οἶδα ὑμᾶς». Πόθεν δὲ ταύτην ἔστιν ἀκοῦσαι τὴν φωνήν, ἢ ὅταν πένητα ἰδόντες, ὡς οὐκ ἰδόντες αὐτὸν διακεώμεθα; Ὅταν ἡμεῖς ἀγνοῶμεν τὸν πεινῶντα Χριστόν, ἀγνοήσει ἡμᾶς καὶ αὐτὸς ἐλέου δεομένους· καὶ δικαίως. Ὁ γὰρ περιιδὼν τὸν θλιβόμενον καὶ μὴ δοὺς ἐκ τῶν αὐτοῦ, πῶς ζητήσει λαβεῖν ἐκ τῶν οὐκ αὐτοῦ; Διό, παρακαλῶ, πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε μὴ ἐκλιπεῖν ἡμᾶς τὸ ἔλαιον, ἀλλὰ κοσμῆσαι τὰς λαμπάδας καὶ συνεισελθεῖν τῷ νυμφίῳ εἰς τὸν νυμφῶνα· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λαμπάδας τὰς ἐσβήσαμεν. Διότι ὅπου ὑπάρχει καπνός, κατ' ἀνάγκην ἐκεῖνο ποὺ ἔσβησεν ἦτο πῦρ.

'Αλλ' εἴθε νὰ μὴ ἀκούσωμεν τὴν φωνήν του νὰ μᾶς λέγῃ, «Δὲν σᾶς ξεύρω». Καὶ ἀπὸ ποῦ εἶναι δυνατὸν ν' ἀκούσωμεν αὐτὴν τὴν φωνήν, παρὰ ὅταν, ἐνῷ εἴδαμεν πτωχόν, κάμνωμεν ὅτι δὲν τὸν εἴδαμεν; Ὅταν ἡμεῖς ἀγνοοῦμεν τὸν Χριστὸν ποὺ πεινᾷ, θὰ μᾶς ἀγνοήσῃ καὶ αὐτός, ὅταν ἔχωμεν ἀνάγκην τῆς εὐσπλαγχνίας του. Καὶ δικαίως. Διότι ἐκεῖνος ποὺ περιφρονεῖ τὸν δυστυχῆ καὶ δὲν τοῦ δίδει ἀπὸ τὰ ἰδικά του, πῶς θὰ ζητήσῃ νὰ λάβῃ ἀπὸ ἐκεῖνα ποὺ δὲν εἶναι ἰδικά του; Δι' αὐτὸ σᾶς παρακαλῶ, ἂς κάμνωμεν τὰ πάντα καὶ ἂς ἐργαζώμεθα, ὥστε νὰ μὴ μᾶς λείψῃ τὸ ἔλαιον, ἀλλὰ νὰ στολίσωμεν τὰς λαμπάδας καὶ νὰ εἰσέλθωμεν μαζὶ μὲ τὸν νυμφίον εἰς τὸν νυμφῶνα. Εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν τοῦτο μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

ΟΜΙΛΙΑ ΝΑ΄.

Ἰω. 7, 37 - 44

«Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ, τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραζε λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος».

1. Τοὺς προσιόντας τῷ θείῳ κηρύγματι καὶ τῇ πίστει προσέχοντας, τὸν τῶν διψώντων ἔρωτα ἐπιδείκνυσθαι χρὴ καὶ τοσαύτην ἀνάπτειν ἐπιθυμίαν ἐν ἑαυτοῖς. Οὕτω γὰρ δυνήσονται καὶ τὰ λεγόμενα μετὰ πολλῆς κατασχεῖν τῆς φυλακῆς. Καὶ γὰρ οἱ διψῶντες, ἐπειδὰν κύλικα λάβωσι μετὰ πολλῆς αὐτὴν ἕλκουσι τῆς προθυμίας, καὶ τότε ἀναπαύονται. Οὕτω τοίνυν καὶ οἱ τῶν θείων ἀκούοντες λογίων, εἰ διψῶντες προσλάβοιεν, οὐδέποτε καμοῦνται ἕως ἂν ἐκπίωσιν. Ὅτι γὰρ ἀεὶ χρὴ διψᾶν καὶ πινῆν· «Μακάριοι», φησίν, «οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην». Καὶ ἐνταῦθά φησιν ὁ Χριστός· «Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐδένα ἀνάγκῃ καὶ βίᾳ ἐφέλκομαι· ἀλλ' εἴ τις ἔχει προθυμίαν πολλήν, εἴ τις ἐκκαίεται τῷ πόθῳ, τοῦτον ἐγὼ καλῶ.

Τίνος δὲ ἕνεκεν ἐπεσημήνατο ὁ εὐαγγελιστής, ὅτι «Ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ»; Καὶ γὰρ ἡ πρώτη καὶ ἡ τελευταία μεγάλη ἦν· τὰς γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον. Τίνος οὖν ἕνεκεν «Ἐν τῇ ἐσχάτῃ» λέγειν; Ὅτι ἐν αὐτῇ πάντες ἦσαν συγκεκροτημένοι. Τῇ μὲν γὰρ πρώτῃ οὐ παρεγένετο, καὶ τὴν αἰτίαν εἶπε πρὸς τοὺς ἀδελφούς. Ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τι τοιοῦτον λέγει, ὥστε μὴ ἐκλυθῆναι τὰ λεγόμενα, μελλόντων εἰς τρυφὴν ἰέναι. Τῇ δὲ ἐσχάτῃ, ὅτε ἀνεχώρουν οἴκαδε, ἐφόδια αὐτοῖς δίδωσι

---

1. Ἰω. 7, 37-39.
2. Ματθ. 5, 6.
3. Ψαλμ. 39, 9.

ΟΜΙΛΙΑ ΝΑ΄.

'Ιω. 7, 37 - 44

«Τὴν τελευταίαν ἡμέραν τὴν μεγάλην τῆς ἑορτῆς εἶχε σταθῆ ὁ Ἰησοῦς καὶ ἐφώναζε δυνατά. Ἐὰν κανεὶς διψᾷ, ἂς ἔλθῃ εἰς ἐμὲ καὶ ἂς πίνῃ. Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, Θὰ τρέξουν ἀπὸ τὴν κοιλίαν του ποταμοὶ ὕδατος ζῶντος»[1].

1. Ἐκεῖνοι οἱ ὁποῖοι προσέρχονται εἰς τὸ θεῖον κήρυγμα καὶ τηροῦν τὴν πίστιν, πρέπει νὰ ἐπιδεικνύουν τὴν ἐπιθυμίαν τῶν διψασμένων καὶ νὰ ἀνάπτουν μέσα των τόσον μεγάλην ὄρεξιν. Διότι μ' αὐτὸν τὸν τρόπον θὰ ἠμπορέσουν νὰ συγκρατήσουν τὰ λεγόμενα μὲ μεγάλην προφύλαξιν. Διότι ἐκεῖνοι ποὺ διψοῦν, ὅταν πάρουν τὸ ποτῆρι, τὸ ἀδειάζουν μὲ μεγάλην προθυμίαν καὶ ἔτσι σβήνουν τὴν δίψαν των. Ἔτσι λοιπὸν καὶ ἐκεῖνοι ποὺ ἀκούουν τὰ θεῖα λόγια, ἐὰν τὰ δεχθοῦν διψασμένοι, ποτὲ δὲν θὰ κουρασθοῦν ἕως ὅτου τὰ ἐξαντλήσουν. Διότι δι' αὐτοὺς ποὺ διψοῦν καὶ πεινοῦν εἶχεν εἰπεῖ ὁ Χριστός· «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πεινοῦν καὶ διψοῦν τὴν δικαιοσύνην»[2]. Καὶ ἐδῶ λέγει· «Ἐὰν κανεὶς διψᾷ, ἂς ἔλθῃ εἰς ἐμὲ καὶ ἂς πίνῃ». Αὐτὸ ποὺ λέγει, σημαίνει· Δὲν ἑλκύω κανένα μὲ τὴν ἀνάγκην καὶ τὴν βίαν, ἀλλὰ προσκαλῶ μόνον ὅποιον ἔχει μεγάλην προθυμίαν καὶ ὅποιον φλέγεται ἀπὸ τὴν ἐπιθυμίαν.

Ἀλλὰ διατί ὁ Εὐαγγελιστὴς ἐξεφράσθη ἔτσι· «Τὴν τελευταίαν ἡμέραν τὴν μεγάλην τῆς ἑορτῆς»; Διότι καὶ ἡ πρώτη ἡμέρα καὶ ἡ τελευταία ἦτο μεγάλη, καὶ τὰς μεταξὺ τούτων ἡμέρας μᾶλλον τὰς κατηνάλωναν εἰς διασκέδασιν. Διατί λοιπὸν λέγει «Τὴν τελευταίαν ἡμέραν»; Διότι κατ' αὐτὴν εἶχαν συνέλθει ὅλοι. Διότι τὴν πρώτην ἡμέραν ὁ Χριστὸς δὲν παρευρέθη καὶ εἶχεν εἰπεῖ εἰς τοὺς ἀδελφούς του τὴν αἰτίαν. Ἀλλ' οὔτε διὰ τὴν δευτέραν οὔτε διὰ τὴν τρίτην λέγει κάτι τέτοιο, διὰ νὰ μὴ πάνε χαμένα τὰ λόγια του, ἀφοῦ οἱ Ἰουδαῖοι ἐπρόκειτο νὰ διασκεδάσουν. Τὴν τε-

πρὸς σωτηρίαν, καὶ κράζει· τοῦτο μέν, τὴν παρρησίαν αὐτοῦ ἐμφαίνων· τοῦτο δέ, διὰ τὸν πολὺν ὄχλον, καὶ δηλῶν ὅτι περὶ τοῦ νοητοῦ διελέγετο πόματος, ἐπάγει· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος». Κοιλίαν ἐνταῦθα τὴν καρδίαν φησί, καθάπερ καὶ ἀλλαχοῦ φησι· «Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου».

Καὶ ποῦ εἶπεν ἡ Γραφή, ὅτι «Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»; Οὐδαμοῦ. Τί οὖν ἐστιν, «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή»; Ἐνταῦθα ὑποστίξαι δεῖ, ἵνα ᾖ τὸ «Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι» τῆς αὐτοῦ ἀποφάσεως. Ἐπειδὴ γὰρ ἔλεγον πολλοί, «Οὗτός ἐστιν ὁ Χριστός»· καί, «Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει;», δείκνυσιν ὅτι διωρθωμένην δεῖ τὴν γνῶσιν ἔχειν, καὶ οὐκ ἀπὸ τῶν σημείων οὕτως, ὡς ἀπὸ τῶν Γραφῶν πιστεύεσθαι. Πολλοὶ γοῦν αὐτὸν καὶ θαυματουργοῦντα ἰδόντες, οὐχ ὡς Χριστὸν ἐδέχοντο· ἔμελλον δὲ λέγειν, ὅτι Οὐχὶ αἱ Γραφαὶ λέγουσιν, ὅτι ὁ Χριστὸς ἀπὸ τοῦ σπέρματος τοῦ Δαυῒδ ἔρχεται; Καὶ ταῦτα ἄνω καὶ κάτω ἔστρεφε, δεῖξαι βουλόμενος, ὅτι οὐ φεύγει τὴν διὰ τούτων ἀπόδειξιν, πάλιν αὐτοὺς εἰς τὰς Γραφὰς παραπέμπει.

Καὶ γὰρ ἄνω ἔλεγεν, «Ἐρευνᾶτε τὰς Γραφάς»· καὶ πάλιν, «Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις, Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ»· καί, «Μωϋσῆς ὑμῶν κατηγορεῖ»· καὶ ἐνταῦθα, «Καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι», τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος. Ὅπερ ἀλλαχοῦ φησι· «Πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον»· τουτέστι, πολλὴν ἕξει χάριν. Ἀλλα-

---

8α. Ἰω. 5, 39 καὶ 6, 45.
36. Ἰω. 4, 14.

λευταίαν ἡμέραν, ὅταν ἔφευγαν διὰ τὰς οἰκίας των, δίδει εἰς αὐτοὺς ἐφόδια πρὸς σωτηρίαν των καὶ φωνάζει δυνατά, ἀφ' ἑνὸς μὲν διὰ νὰ φανερώσῃ τὸ θάρρος του, ἀφ' ἑτέρου δέ, ἕνεκα τοῦ μεγάλου πλήθους, διὰ νὰ δηλώσῃ ὅτι ὁμιλεῖ περὶ πνευματικοῦ ποτοῦ καὶ προσθέτει· «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, «Θὰ τρέξουν ἀπὸ τὴν κοιλίαν του ποταμοὶ ὕδατος ζῶντος». Κοιλίαν ἐδῶ ὀνομάζει τὴν καρδίαν, ὅπως ἀλλοῦ λέγει ὁ Προφήτης· «Καὶ τὸν ἰδικόν σου νόμον εἰς τὸ μέσον τῆς κοιλίας μου»[3].

Καὶ ποῦ ἀναφέρει ἡ ἁγία Γραφή, «Θὰ τρέξουν ἀπὸ τὴν κοιλίαν του ποταμοὶ ὕδατος ζῶντος»; Πουθενά. Τί σημαίνουν λοιπὸν τὰ λόγια του, «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή»; Ἐδῶ πρέπει νὰ τεθῇ σημεῖον στίξεως, διὰ νὰ φανῇ ὅτι ἡ φράσις «Θὰ τρέξουν ποταμοὶ ἀπὸ τὴν κοιλίαν του», εἶναι ἰδική του γνώμη. Ἐπειδὴ δηλαδὴ ὑπεστήριζαν πολλοί, «Αὐτὸς εἶναι ὁ Χριστός», καὶ «Ὅταν ἔλθῃ ὁ Χριστός, μήπως θὰ κάμῃ περισσότερα θαύματα», θέλει νὰ τοὺς δείξῃ ὅτι πρέπει νὰ ἔχουν ὀρθὴν γνῶσιν ὥστε νὰ πιστεύουν ὄχι τόσον ἀπὸ τὰ θαύματα, ὅσον ἀπὸ τὰς ἁγίας Γραφάς. Διότι πολλοί, ἂν καὶ τὸν εἶχαν ἰδεῖ νὰ κάμνῃ θαύματα, δὲν τὸν ἐδέχοντο ὡς Χριστόν, ἀλλὰ ἐπρόκειτο νὰ ἰσχυρισθοῦν· Δὲν ἀναφέρουν αἱ Γραφαί, ὅτι ὁ Χριστὸς θὰ ἔλθῃ ἀπὸ τὸ σπέρμα τοῦ Δαυΐδ; Διὰ τοῦτο ὁ Χριστὸς περιεστρέφετο συνεχῶς εἰς αὐτὸ τὸ θέμα, ἐπειδὴ ἤθελε ν' ἀποδείξῃ, ὅτι δὲν ἀποφεύγει ὁποιανδήποτε ἀπόδειξιν καὶ διὰ τοῦτο παραπέμπει αὐτοὺς πάλιν εἰς τὰς Γραφάς.

Διότι προηγουμένως ἔλεγε· «Νὰ ἐρευνᾶτε τὰς Γραφάς», καὶ «Εἶναι γραμμένον ἀπὸ τοὺς Προφήτας, Καὶ θὰ εἶναι ὅλοι διδαγμένοι ἀπὸ τὸν Θεόν»[3α], καὶ «Ὁ Μωϋσῆς σᾶς κατηγορεῖ», καὶ ἐδῶ «Καθὼς εἶπεν ἡ Γραφή, θὰ τρέξουν ἀπὸ τὴν κοιλίαν του ποταμοί», ὑπαινισσόμενος τὸν πλοῦτον καὶ τὴν ἀφθονίαν τῆς χάριτος. Τοῦτο εἰς ἄλλο μέρος ὀνομάζει, «Πηγὴ ὕδατος ποὺ θ' ἀναβλύζῃ εἰς ζωὴν αἰώνιον»[3β], ποὺ θὰ ἔχῃ δηλαδὴ πολλὴν χάριν. Εἰς ἄλλο μέρος ὅμως λέγει,

χοῦ μὲν οὖν, «Ζωὴν αἰώνιον», λέγει· ἐνταῦθα δέ, «Ὕδωρ ζῶν». Ζῶν δὲ λέγει τὸ ἐνεργοῦν ἀεί. Ἡ γὰρ τοῦ Πνεύματος χάρις, ἐπειδὰν εἰς διάνοιαν εἰσέλθῃ καὶ ἱδρυνθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει, οὐδὲ κενοῦται, οὐδ' ἵσταται. Ὁμοῦ τοίνυν καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλῶν καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγὴν καὶ ποταμοὺς ἐκάλεσεν, οὐχ ἵνα ποταμόν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ δέ, τὴν πλημμύραν διὰ τοῦ ἅλλεσθαι παρέστησε.

Καὶ ἴδοι τις ἂν τὸ λεγόμενον σαφῶς, εἰς τὴν σοφίαν τοῦ Στεφάνου, εἰς τὴν Πέτρου γλῶτταν, καὶ τὴν Παύλου ῥύμην ἐννοήσειε, πῶς οὐδὲν αὐτοὺς ἔφερεν, οὐδὲν ὑφίστατο· οὐ δήμων θυμός, οὐ τυράννων ἐπαναστάσεις, οὐ δαιμόνων ἐπιβουλαί, οὐ θάνατοι καθημερινοί· ἀλλ' ὥσπερ ποταμοὶ πολλῷ τῷ ῥοίζῳ φερόμενοι, οὕτω πάντα παρασύροντες ἀπῄεσαν. «Ταῦτα δὲ ἔλεγε περὶ τοῦ Πνεύματος», φησίν, «οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον». Πῶς οὖν οἱ προφῆται προεφήτευσαν, καὶ τὰ μυρία εἰργάσαντο θαύματα; Οἱ ἀπόστολοι μὲν γὰρ οὐ Πνεύματι ἐξέβαλον, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ, ὡς αὐτός φησιν. «Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;». Τοῦτο δὲ ἔλεγε, δηλῶν ὅτι οὐ πάντες Πνεύματι ἐξέβαλον πρὸ τοῦ σταυροῦ, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ. Ὅτε γοῦν αὐτοὺς ἔμελλε πέμπειν, τότε ἔλεγε, «Λάβετε Πνεῦμα ἅγιον»· καὶ πάλιν, «Ἦλθεν ἐπ' αὐτοὺς Πνεῦμα ἅγιον, καὶ τότε τὰ σημεῖα ἐποίουν».

2. Ὅτε δὲ ἔπεμπεν αὐτούς, οὐκ εἶπεν, Ἔδωκεν αὐτοῖς Πνεῦμα ἅγιον· ἀλλ' «Ἔδωκεν αὐτοῖς ἐξουσίαν, λέγων· «Λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, νε-

---

4. Ματθ. 12, 27.
5. Ἰω. 2, 22.

«Ζωὴν αἰώνιον», ἐνῷ ἐδῶ, «Ὕδωρ ζῶν». Καὶ ὀνομάζει ζῶν, αὐτὸ ποὺ ἐνεργεῖ διαρκῶς. Διότι ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ὅταν εἰσέλθῃ καὶ ἐγκατασταθῇ εἰς τὴν ψυχήν, ἀναβλύζει περισσότερον ἀπὸ κάθε πηγὴν καὶ δὲν σταματᾷ, οὔτε ἀδειάζει, οὔτε στερεύει. Διὰ νὰ δηλώσῃ λοιπὸν συγχρόνως καὶ τὴν συνέχειαν τῆς χάριτος καὶ τὴν ἀλάθητον ἐνέργειάν της, τὴν ὠνόμασε πηγὴν καὶ ποταμοὺς καὶ ὄχι ἕνα ποταμόν, ἀλλ' ἀναριθμήτους. Καὶ ἐκεῖ τὴν πλημμύραν παρωμοίασε μὲ τὴν ἀνάβλυσιν.

Καὶ ἠμπορεῖ κανεὶς νὰ καταλάβῃ καθαρὰ τὸ λεγόμενον, ἐὰν κατανοήσῃ τὴν σοφίαν τοῦ Στεφάνου, τὴν γλῶσσαν τοῦ Πέτρου καὶ τὴν δύναμιν τοῦ Παύλου, πῶς τίποτε δὲν τοὺς ἔφερε καὶ τίποτε δὲν τοὺς ἠμπόδισεν, οὔτε ἡ ὀργὴ τῶν λαῶν, οὔτε ἡ βία τῶν τυράννων, οὔτε αἱ μηχανορραφίαι τῶν δαιμόνων, οὔτε οἱ καθημερινοὶ θάνατοι, ἀλλὰ ὅπως οἱ ποταμοὶ κυλοῦν μὲ μεγάλον παφλασμόν, ἔτσι ἔφυγαν ἀφοῦ παρέσυραν τὰ πάντα. Καὶ συνεχίζει ὁ Εὐαγγελιστής: «Αὐτὰ τὰ ἔλεγε διὰ τὸ Πνεῦμα, ποὺ θὰ ἐλάμβανον ἐκεῖνοι ποὺ θὰ ἐπίστευαν. Διότι δὲν εἶχε δοθῇ ἀκόμη ἅγιον Πνεῦμα». Πῶς λοιπὸν οἱ Προφῆται προεφήτευσαν καὶ ἔκαμαν χιλιάδες θαύματα; Διότι οἱ Ἀπόστολοι δὲν ἐξεδίωκαν τὰ δαιμόνια μὲ τὸ ἅγιον Πνεῦμα ἀλλὰ μὲ τὴν ἰδικήν του ἐξουσίαν, ὅπως λέγει ὁ ἴδιος ὁ Χριστός· «Ἐὰν ἐγὼ διὰ τοῦ Βεελζεβοὺλ ἐκδιώκω τὰ δαιμόνια, οἱ υἱοί σας διὰ ποίου θὰ τὰ ἐκδιώκουν;»[4]. Καὶ αὐτὸ τὸ ἔλεγε διὰ νὰ δηλώσῃ ὅτι δὲν ἐξεδίωκον ὅλοι τὰ δαιμόνια διὰ τοῦ ἁγίου Πνεύματος πρὶν ἀπὸ τὴν σταύρωσίν του, ἀλλὰ διὰ τῆς ἰδικῆς του ἐξουσίας. Ὅταν λοιπὸν ἐπρόκειτο ν' ἀναθέσῃ ἀποστολὴν εἰς τοὺς μαθητάς του, τότε τοὺς εἶπε· «Λάβετε Πνεῦμα ἅγιον»[5]. Καὶ πάλιν· «Ἦλθεν ἐπάνω τους τὸ ἅγιον Πνεῦμα καὶ τότε ἔκαμναν θαύματα».

2. Ὅταν δὲ ἀνέθεσε τὴν ἀποστολὴν εἰς τοὺς μαθητάς του δὲν εἶπεν ὁ Εὐαγγελιστής· Ἔδωσεν εἰς αὐτοὺς ἅγιον Πνεῦμα, ἀλλὰ «Ἔδωσεν εἰς αὐτοὺς ἐξουσίαν» λέγων, «Λε-

κροὺς ἐγείρετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε». Ἐπὶ δὲ τῶν προφητῶν παρὰ πάντων ὡμολόγηται, ὅτι Πνεύματος ἁγίου δόσις ἦν, ἀλλ' ἦν αὕτη ἡ χάρις συσταλεῖσα καὶ ἀποστᾶσα, καὶ ἀπὸ τῆς γῆς ἀπολιποῦσα ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς ἐρρήθη, «Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Καὶ πρὸ ἐκείνης δὲ ἀρχὴν ἐλάμβανεν αὕτη ἡ σπάνις. Οὐκ ἔτι γὰρ προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις.

Ἐπεὶ οὖν ἀνέσταλτο μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς· ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγίνετο, οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων (καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεά, ὡς ὅταν λέγῃ· «Οὐκ οἴδατε ποίου πνεύματός ἐστε»· καὶ πάλιν, «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας». Καὶ γὰρ οἱ παλαιοὶ καὶ αὐτοὶ μὲν πνεῦμα εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν)· ἐπειδὴ οὖν ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτό φησιν· «Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον»· Ἐπεὶ οὖν περὶ ταύτης λέγων τῆς χάριτος ὁ εὐαγγελιστὴς ἔλεγεν· «Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον», τουτέστι, δοθέν, «ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη», δόξαν καλῶν τὸν σταυρόν.

Ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ θεοστυγεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις· δῶρον δὲ οὐ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται, καὶ τοῖς εὐηρεστηκόσιν· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι καὶ γενέσθαι τοῦ Θεοῦ φίλους καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ

---

6. Ματθ. 10, 1 καὶ 8.
7. Ματθ 23, 38.
8. Λουκᾶ, 9, 55.
9. Ρωμ. 8, 15.

προὺς νὰ καθαρίζετε, δαιμόνια νὰ ἐκδιώκετε, νεκροὺς νὰ ἀνασταίνετε. Δωρεὰν ἐλάβατε, δωρεὰν νὰ δώσετε»[6]. Ὡς πρὸς τοὺς Προφήτας κατὰ γενικὴν ὁμολογίαν εἶχε δοθῆ ἅγιον Πνεῦμα, ἀλλ' αὐτὴ ἡ χάρις εἶχεν ἀτονήσει καὶ εἶχε φύγει ἀπὸ τὴν γῆν κατὰ τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ὁποίαν ἐλέχθη· «Νά, ἐγκαταλείπεται ἡ οἰκία σας ἔρημος»[7]. Καὶ πρὶν ἀπὸ τὴν ἡμέραν ἐκείνην ἤρχισεν ἤδη νὰ γίνεται σπάνιον. Διότι δὲν ὑπῆρχε πλέον Προφήτης εἰς τοὺς Ἰουδαίους, οὔτε ἐπέβλεπεν ἡ χάρις τὰ ἅγια αὐτῶν.

Ἐπειδὴ λοιπὸν εἶχεν ἀνασταλῆ τὸ ἅγιον Πνεῦμα καὶ ἐπρόκειτο νὰ σκορπισθῆ εἰς τὸ μέλλον ἀφθόνως, καὶ αὐτῆς τῆς διανομῆς ἡ ἀρχὴ ἔγινε μετὰ τὴν σταύρωσιν, δὲν ἔγινεν ἡ ἀρχὴ μόνον αὐτῆς τῆς ἀφθονίας ἀλλὰ μεγαλυτέρων χαρισμάτων (διότι ἦτο περισσότερον ἀξιοθαύμαστος ἡ δωρεά, ὅπως μᾶς βεβαιώνει ὁ Χριστός· «Δὲν γνωρίζετε, ποίου Πνεύματος εἶσθε»[8], καὶ ὁ Παῦλος· «Δὲν ἐλάβατε πνεῦμα δουλείας, ἀλλὰ ἐλάβατε πνεῦμα ποὺ σᾶς κάμνει υἱούς»[9]. Διότι οἱ παλαιοὶ εἶχαν βεβαίως καὶ αὐτοὶ «Ἅγιον Πνεῦμα, ἀλλὰ δὲν ἔδιδαν εἰς τοὺς ἄλλους, ἐνῷ οἱ Ἀπόστολοι ἐγέμισαν μὲ αὐτὸ ἀναριθμήτους ἀνθρώπους). Ἐπειδὴ λοιπὸν θὰ ἐλάμβανον αὐτὴν καὶ δὲν εἶχεν δοθῆ ἀκόμη, δι' αὐτὸ λέγει ὁ Εὐαγγελιστής· «Δὲν εἶχον λάβει ἀκόμη τὸ ἅγιον Πνεῦμα. Ὁμιλῶν λοιπὸν ὁ εὐαγγελιστὴς δι' αὐτὴν τὴν χάριν ἔλεγε· «Διότι δὲν ὑπῆρχεν ἀκόμη ἅγιον Πνεῦμα», δηλαδὴ δὲν εἶχε δοθῆ, «ἐπειδὴ ὁ Ἰησοῦς δὲν εἶχεν ἀκόμη δοξασθῆ», ὀνομάζων δόξαν τὸν σταυρόν.

Ἐπειδὴ δηλαδὴ εἴμεθα ἐχθροὶ καὶ ἁμαρτωλοὶ καὶ στερημένοι ἀπὸ τὴν δωρεὰν τοῦ Θεοῦ καὶ ἐχθροὶ τοῦ Θεοῦ καὶ ἡ χάρις ἦτο ἀπόδειξις συμφιλιώσεως, καὶ δίδεται ὡς δῶρον ὄχι εἰς τοὺς ἐχθροὺς οὔτε εἰς τοὺς πολὺ μισητούς, ἀλλὰ εἰς τοὺς φίλους καὶ εἰς τοὺς ἀρεστούς, ἔπρεπε νὰ προσφερθῆ προηγουμένως ἡ θυσία ὑπὲρ ἡμῶν, νὰ καταλυθῆ ἡ ἔχθρα εἰς τὴν σάρκα, νὰ γίνωμεν φίλοι μὲ τὸν Θεὸν καὶ ἔπειτα νὰ λάβωμεν τὴν δωρεάν. Διότι, ἐὰν τοῦτο εἶχε γίνει, ὅταν

ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραάμ, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· «Εἰ γὰρ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν· ἀλλ' ἀνάξιοι ἦσαν τῆς ἐπαγγελίας οἱ ἔκγονοι καὶ ἐξ οἰκείων οὐκ ἠδύναντο εὐαρεστῆσαι πόνων. Διὰ τοῦτο εἰσῆλθεν ἡ πίστις, πρᾶγμα εὔκολον, ἵνα τὴν χάριν ἐπισπάσηται καὶ μὴ διαπέσωσιν αἱ ἐπαγγελίαι. Καὶ λέγει· «Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν». Διὰ τοῦτο «Κατὰ χάριν», ἐπειδὴ ἐξ ἱδρώτων οὐκ ἴσχυσαν.

Τίνος δὲ ἕνεκεν εἰπών, κατὰ τὰς Γραφάς, οὐκ ἐπάγει καὶ τὴν μαρτυρίαν; Ὅτι διεφθαρμένη αὐτῶν ἡ γνώμη ἦν. «Οἱ μὲν γὰρ ἔλεγον· Οὗτός ἐστιν ὁ προφήτης· ἄλλοι δὲ ἔλεγον, ὅτι Πλανᾷ τὸν ὄχλον· ἄλλοι δὲ ἔλεγον, Οὐκ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός, ἀλλὰ ἀπὸ Βηθλεὲμ τῆς κώμης· ἄλλοι δὲ ἔλεγον, Ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί»· καὶ διάφορος ἦν ἡ γνώμη, ἅτε ἐν πλήθει τεταραγμένῳ. Οὐδὲ γὰρ ἀκριβῶς προσεῖχον τοῖς λεγομένοις, οὐδὲ τοῦ μαθεῖν ἕνεκεν. Διὰ δὴ τοῦτο τούτοις μὲν οὐδὲν ἀποκρίνεται, καίτοι λέγουσι· «Μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται»; τὸν δὲ Ναθαναὴλ σφοδρότερον εἰπόντα καὶ πληκτικώτερον, «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;», ἐπῄνεσεν ὡς ἀληθῶς Ἰσραηλίτην.

Οὗτοι μὲν γὰρ καὶ οἱ πρὸς τὸν Νικόδημον εἰπόντες, «Ἐρεύνησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται», οὐ μαθεῖν ζητοῦντες ἔλεγον, ἀλλ' ἁπλῶς ἀνατρέψαι τὴν περὶ τοῦ Χριστοῦ δόξαν. Ἐκεῖνος δὲ ἀληθείας

10. Αὐτόθι 4, 14-15.
11. Αὐτόθι 4, 16.

ἐδόθη ἡ ὑπόσχεσις εἰς τὸν Ἀβραάμ, θὰ ἐγίνετο πολὺ περισσότερον, ὅταν ἐδόθη ἡ χάρις. Καὶ αὐτὸ δηλώνει ὁ Παῦλος, ὅταν λέγῃ· «Διότι, ἐὰν ἦσαν κληρονόμοι οἱ ἐξαρτώμενοι ἐκ τοῦ νόμου, τότε ἡ πίστις δὲν ἔχει ἀξίαν, διότι ὁ νόμος δημιουργεῖ ὀργήν»[10]. Αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Ὑπεσχέθη ὁ Θεὸς εἰς τὸν Ἀβραὰμ καὶ εἰς τὴν γενεάν του ὅτι θὰ τοῦ δώσῃ τὴν γῆν, ἀλλ' οἱ ἀπόγονοί του ἦσαν ἀνάξιοι ἐκείνης τῆς ὑποσχέσεως καὶ δὲν ἠμποροῦσαν νὰ μένουν εὐχαριστημένοι ἀπὸ τοὺς ἰδικούς των κόπους. Διὰ τοῦτο εἰσεχώρησεν ἡ πίστις, πρᾶγμα εὔκολον, διὰ ν' ἀποσπάσῃ τὴν χάριν καὶ διὰ νὰ μὴ ξεπέσουν αἱ ὑποσχέσεις. Καὶ «Διὰ τοῦτο ἡ ὑπόσχεσις ἐξαρτᾶται ἀπὸ τὴν πίστιν, διὰ νὰ εἶναι ὡς δῶρον χάριτος»[11]. Καὶ ἦτο «Δῶρον χάριτος», ἐπειδὴ δὲν εἶχαν κατορθώσει τίποτε μὲ τοὺς κόπους καὶ τοὺς ἱδρῶτας.

Διατί ὅμως, ἐνῷ εἶχεν εἰπεῖ σύμφωνα μὲ τὰς Γραφάς, δὲν προσκομίζει καὶ τὴν μαρτυρίαν; Διότι ἡ γνώμη των εἶχε διαφθαρῆ. «Διότι ἄλλοι ἔλεγαν, Αὐτὸς εἶναι πραγματικὰ ὁ Προφήτης, ἄλλοι ἔλεγαν ὅτι Πλανᾷ τὸν λαόν», ἄλλοι ἔλεγαν Δὲν θὰ ἔλθῃ ἀπὸ τὴν Γαλιλαίαν ὁ Χριστός, ἀλλ' ἀπὸ τὴν κώμην τῆς Βηθλεέμ, καὶ ἄλλοι· Ὅταν ἔλθῃ ὁ Χριστός, κανεὶς δὲν θὰ ξεύρῃ ἀπὸ ποῦ εἶναι». Καὶ αἱ γνῶμαι μέσα εἰς αὐτὸ τὸ ταραγμένον πλῆθος ἦσαν διαφορετικαί. Διότι οὔτε ἤκουαν μὲ προσοχὴν τὰ λόγια του, οὔτε εἶχαν τὴν ἐπιθυμίαν νὰ μάθουν. Δι' αὐτὸ λοιπὸν δὲν ἀπαντᾷ τίποτε εἰς αὐτούς, ἂν καὶ ἰσχυρίζωνται, «Μήπως ὁ Χριστὸς θὰ ἔλθῃ ἀπὸ τὴν Γαλιλαίαν;», ἐνῷ τὸν Ναθαναήλ, ὁ ὁποῖος εἶχεν ἐκφρασθῆ ὀξύτερον καὶ σκληρότερον, «Εἶναι δυνατὸν νὰ προέλθῃ κάτι καλὸν ἀπὸ τὴν Γαλιλαίαν;», ἐπήνεσεν ὡς ἀληθινὸν Ἰσραηλίτην.

Διότι αὐτοὶ ἐδῶ καὶ οἱ Φαρισαῖοι ποὺ εἶπαν εἰς τὸν Νικόδημον, «Νὰ ἐρευνήσῃς καὶ θὰ ἰδῇς, ὅτι δὲν ἔχει ἔλθει Προφήτης ἀπὸ τὴν Γαλιλαίαν», δὲν τὰ ἔλεγαν αὐτὰ ἐπειδὴ ἤθελαν νὰ μάθουν, ἀλλ' ἐπειδὴ ἤθελαν ν' ἀνατρέψουν τὴν γνώμην περὶ τοῦ Χριστοῦ. Ἐκεῖνος ὅμως ἐπειδὴ ἠγάπα τὴν

ὢν ἐραστής, καὶ τὰ παλαιὰ ἀκριβῶς πάντα ἐπιστάμενος, τοῦτο ἔλεγεν· αὐτοὶ δὲ πρὸς ἓν μόνον ἑώρων, τὸ ἀνατρέψαι ὅτι ὁ Χριστός ἐστι. Διόπερ αὐτοῖς οὐδὲν ἀπεκάλυπτεν. Οἱ γὰρ καὶ ἑαυτοῖς ἐναντία λέγοντες, καὶ ποτὲ μέν, «Οὐδεὶς γινώσκει πόθεν ἔρχεται», ποτὲ δέ, «Ἀπὸ Βηθλεέμ», εὔδηλον ὅτι καὶ μαθόντες ἠναντιώθησαν. Ἔστω γάρ, τὸν τόπον ἠγνόουν, ὅτι ἀπὸ Βηθλεέμ, διὰ τὴν ἀναστροφὴν τὴν ἐν Ναζαρὲτ (καίτοι οὐδὲ τοῦτο συγγνώμην εἶχεν· οὐ γὰρ ἐκεῖ ἐτέχθη)· ἆρα καὶ τὸ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαυΐδ; Πῶς οὖν ἔλεγον, «Οὐκ ἀπὸ τοῦ σπέρματος Δαυΐδ ἔρχεται Χριστός;». Ἀλλὰ καὶ τοῦτο ἐκείνῳ συσκιάσαι ἐβούλοντο, κακούργως ἅπαντα φθεγγόμενοι.

Τίνος δὲ ἕνεκεν οὐχὶ προσελθόντες εἶπον· Ἐπειδὴ τὰ μὲν ἄλλα πάντα θαυμάζομεν, κελεύεις δέ σοι πείθεσθαι κατὰ τὰς Γραφάς, εἰπέ, πῶς αἱ μὲν Γραφαὶ λέγουσιν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ τὸν Χριστὸν ἐλθεῖν, σὺ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀφῖξαι; Ἀλλ' οὐδὲν τούτων εἶπον, ἀλλὰ πάντα πονηρῶς φθέγγονται. Ὅτι γὰρ οὐ ζητοῦντες, οὐδὲ μαθεῖν βουλόμενοι, εὐθέως ἐπήγαγεν ὁ εὐαγγελιστής, ὅτι «Τινὲς ἤθελον πιάσαι αὐτὸν καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα αὐτοῦ»· εἰ γὰρ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἱκανὸν ἦν εἰς κατάνυξιν αὐτοὺς ἀγαγεῖν· ἀλλ' οὐ κατενύγησαν, καθώς φησιν ὁ προφήτης· «Διεσχίσθησαν καὶ οὐ κατενύγησαν».

3. Τοιοῦτον γὰρ ἡ πονηρία· οὐδενὶ βούλεται εἴκειν, πρὸς ἓν βλέπει μόνον, ὥστε τὸν ἐπιβουλευόμενον ἀνελεῖν. Ἀλλὰ τί φησιν ἡ Γραφή; «Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται»· ὅπερ καὶ τότε γέγονεν. Αὐτοὶ μὲν

12. Ψαλμ. 34, 15.
13. Παροιμ. 26, 27.

ἀλήθειαν καὶ ἐγνώριζε λεπτομερῶς ὅλα τὰ παλαιά, ἐξεφράζετο κατ' αὐτὸν τὸν τρόπον, ἀλλ' οἱ Φαρισαῖοι μόνον εἰς ἓν ἀπέβλεπον, εἰς τὸ ν' ἀνατρέψουν τὴν γνώμην ὅτι αὐτὸς εἶναι ὁ Χριστός. Δι' αὐτὸν τὸν λόγον δὲν ἀπεκάλυπτε τίποτε εἰς αὐτούς. Διότι αὐτοὶ οἱ ὁποῖοι ἀντέφασκον πρὸς τὸν ἑαυτόν τους ἄλλοτε λέγοντες, «Κανεὶς δὲν ξεύρει ἀπὸ ποῦ θὰ ἔλθῃ», καὶ ἄλλοτε, «Ἀπὸ τὴν Βηθλεέμ», εἶναι ὁλοφάνερον ὅτι θὰ προέβαλλαν ἀντιρρήσεις, ἐὰν ἐμάθαιναν. Ἀλλ' ἔστω, δὲν ἐγνώριζαν τὸν τόπον, δηλαδὴ ὅτι ἦτο ἀπὸ τὴν Βηθλεέμ, διότι ἔζησεν εἰς τὴν Ναζαρὲτ (ἂν καὶ οὔτε αὐτὸ συγχωρεῖται, διότι δὲν ἐγεννήθη ἐκεῖ), ἆρά γε δὲν ἐγνώριζον οὔτε τὴν καταγωγήν του, ὅτι ἦτο ἀπὸ τὸν οἶκον καὶ τὴν οἰκογένειαν τοῦ Δαυΐδ; Διατί τότε ἔλεγαν· «Δὲν ἔρχεται ὁ Χριστὸς ἀπὸ τὸ σπέρμα τοῦ Δαυΐδ»; Ἀλλὰ καὶ αὐτὸ ἤθελαν κατ' ἐκεῖνον τὸν τρόπον νὰ συσκοτίσουν, ὁμιλοῦντες περὶ ὅλων δολίως.

Διατί δὲν ἐπλησίασαν νὰ τὸν ἐρωτήσουν· Ἐπειδὴ σὲ θαυμάζομεν δι' ὅλα τὰ ἄλλα, μᾶς προτρέπεις μάλιστα νὰ πιστεύσωμεν εἰς ἐσὲ σύμφωνα μὲ τὰς Γραφάς, εἰπέ μας, διατί αἱ μὲν Γραφαὶ λέγουν ὅτι ὁ Χριστὸς πρέπει νὰ ἔλθῃ ἀπὸ τὴν Βηθλεέμ, ἐνῷ ἐσὺ ἔχεις ἔλθει ἀπὸ τὴν Γαλιλαίαν; Δὲν τοῦ ἔκαμαν καμμίαν τέτοιαν ἐρώτησιν, ἀλλὰ ὁμιλοῦν δι' ὅλα μὲ πονηρίαν. Τὸ ὅτι βέβαια δὲν ἐρευνοῦσαν οὔτε ἤθελαν νὰ μάθουν, τὸ ἀπέδειξεν ὁ Εὐαγγελιστής, ὁ ὁποῖος ἀμέσως ἐπρόσθεσε· «Μερικοὶ ἤθελαν νὰ τὸν πιάσουν, ἀλλὰ κανεὶς δὲν ἔβαλε χέρι ἐπάνω του». Διότι, ἂν ὄχι τίποτε ἄλλο, τουλάχιστον αὐτὸ ἦτο ἀρκετὸν νὰ τοὺς ὁδηγήσῃ εἰς μεταμέλειαν. Ἀλλὰ δὲν μετεμελήθησαν, καθὼς λέγει καὶ ὁ Προφήτης· «Διεσκορπίσθησαν ἀλλὰ δὲν μετεμελήθησαν»[12].

3. Διότι τέτοια εἶναι ἡ πονηρία. Δὲν θέλει νὰ ὑποχωρῇ εἰς τίποτε, ἀλλ' ἀποβλέπει μόνον εἰς ἕν, πῶς νὰ ἐξοντώσῃ ἐκεῖνον ποὺ ἐπιβουλεύεται. Ἀλλὰ τί λέγει ἡ ἁγία Γραφή; «Ἐκεῖνος ποὺ σκάβει τὸν λάκκον τοῦ ἄλλου, ἐκεῖνος θὰ πέσῃ μέσα»[13]. Αὐτὸ ἔγινε καὶ τότε. Διότι αὐτοὶ μὲν ἤθελαν νὰ

γὰρ ἐβούλοντο αὐτὸν ἀνελεῖν, ὡς δὴ σβεννύντες τὸ κήρυγμα· γέγονε δὲ τοὐναντίον. Τὸ μὲν γὰρ κήρυγμα ἀνθεῖ τῇ τοῦ Χριστοῦ χάριτι· τὰ δὲ ἐκείνων πάντα ἐσβέσθη καὶ ἀπόλωλε καὶ πατρίδος καὶ ἐλευθερίας καὶ ἀδείας καὶ λατρείας ἐξέπεσον καὶ πάσης ἀπεστερήθησαν εὐημερίας καὶ γεγόνασι δοῦλοι καὶ αἰχμάλωτοι.

Ταῦτ' οὖν εἰδότες, μηδέποτε ἐπιβουλεύωμεν ἑτέροις, μαθόντες ὅτι καθ' ἑαυτῶν ἀκονῶμεν τὸ ξίφος καὶ βαθυτέραν ἑαυτοῖς διδόαμεν τὴν πληγήν. Ἀλλ' ἐλύπησέ τις καὶ βούλει αὐτὸν ἀμύνασθαι; Μὴ ἀμύνῃ· οὕτω γὰρ ἀμύνασθαι δυνήσῃ. Ἐὰν δὲ ἀμύνῃ, οὐκ ἠμύνω. Καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον, ἀλλ' ἀληθῆ λόγον. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι σὺ μὴ ἀμυνόμενος, τὸν Θεὸν αὐτῷ καθιστᾷς ἐχθρόν· ἀμυνόμενος δέ, οὐκέτι. «Ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος». Εἰ γὰρ οἰκέτας ἔχομεν, κἂν πρὸς ἀλλήλους διενεχθέντες, μὴ τῆς δίκης καὶ τῆς κολάσεως ἡμῖν παραχωρήσωσιν, ἀλλ' ἑαυτοῖς ἐπιτρέψωσι, κἂν μυριάκις προσέλθωσιν, οὐ μόνον οὐκ ἀμυνόμεθα, ἀλλὰ καὶ ἀγανακτοῦμεν. Δραπέτα, λέγοντες, καί, μαστιγία, τὸ πᾶν ἡμῖν ἐπιτρέψαι ἐχρῆν· ἐπειδὴ δὲ σαυτῷ προλαβὼν ἤμυνες, μηδὲν ἐνόχλει λοιπόν· πολλῷ μᾶλλον ὁ Θεός, ὁ παραγγείλας αὐτῷ παραχωρεῖν ἁπάντων, τοῦτο ἐρεῖ.

Πῶς γὰρ οὐκ ἄτοπον, ὅταν παρὰ μὲν παίδων τῶν ἡμετέρων τοσαύτην ἀπαιτῶμεν φιλοσοφίαν καὶ ὑπακοήν, τῷ δὲ Δεσπότῃ μὴ παραχωρῶμεν ὧν βουλόμεθα τοὺς οἰκέτας ἡμῖν παραχωρεῖν; Ταῦτα δὲ λέγω, διὰ τὸ πρόθυμον ὑμῶν περὶ τὴν ἀλλήλων κόλασιν· ἐπεὶ τόν γε ἀληθῶς φιλοσοφοῦντα οὐδὲ τοῦτο χρὴ ποιεῖν, ἀλλὰ συγγινώσκειν καὶ ἀφιέναι τὰ ἁμαρτήματα,

14. Ρωμ. 12, 19. Δευτ. 32, 35.

τὸν φονεύσουν, ὥστε νὰ σβήσουν τὸ κήρυγμα· ἀλλ' ὅμως συνέβη τὸ ἀντίθετον. Διότι τὸ μὲν κήρυγμα ἀνθεῖ μὲ τὴν χάριν τοῦ Χριστοῦ, ἐνῷ τὰ ἰδικά των ἔργα ἔσβησαν καὶ κατεστράφησαν καὶ ἔχασαν τὴν πατρίδα των, τὴν ἐλευθερίαν των καὶ τὴν λατρείαν των, ἐστερήθησαν ἀπὸ κάθε εὐτυχίαν καὶ ἔγιναν δοῦλοι καὶ αἰχμάλωτοι.

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν ὅλα αὐτά, ἂς μὴ ἐπιβουλευώμεθα ποτὲ τοὺς ἄλλους, ἀλλ' ἂς γνωρίζωμεν ὅτι ἀκονίζομεν τὸ ξίφος κατὰ τοῦ ἑαυτοῦ μας καὶ κάμνομεν εἰς τὸν ἑαυτόν μας βαθυτέραν τὴν πληγήν. Ἀλλὰ σὲ ἐλύπησε κάποιος καὶ θέλεις νὰ τὸν ἐκδικηθῇς; Μὴ τὸν ἐκδικῆσαι· διότι ἔτσι θὰ κατορθώσῃς νὰ τὸν ἐκδικηθῇς. Ἐὰν ὅμως τὸν ἐκδικηθῇς, δὲν θὰ λάβῃς ἐκδίκησιν. Καὶ νὰ μὴ νομίσῃς, ὅτι αὐτὸ ποὺ λέγω εἶναι αἴνιγμα, ἀλλὰ εἶναι ἡ ἀλήθεια. Πῶς καὶ μὲ ποῖον τρόπον; Ἐὰν δὲν τὸν ἐκδικηθῇς ἐσύ, τὸν κάμνεις ἐχθρὸν τοῦ Θεοῦ, ἀλλ' ἐὰν τὸν ἐκδικηθῇς δὲν τὸν κάμνεις. «Εἰς ἐμὲ ἀνήκει ἡ ἐκδίκησις, ἐγὼ θὰ ἀνταποδώσω, λέγει ὁ Κύριος»[14]. Διότι, ἐὰν ἔχωμεν ὑπηρέτας, οἱ ὁποῖοι διαπληκτίζονται μεταξύ των, καὶ δὲν παραχωρήσουν εἰς ἡμᾶς τὴν κρίσιν καὶ τὴν τιμωρίαν ἀλλὰ τὴν δώσουν εἰς τοὺς ἑαυτούς των, καὶ ἂν πολλὰς φορὰς μᾶς παρακαλέσουν, ὄχι μόνον δὲν τοὺς τιμωροῦμεν ἀλλὰ καὶ ἀγανακτοῦμεν καὶ τοὺς ὀνομάζομεν δραπέτας καὶ μάστιγας. Διότι ἔπρεπε, λέγομεν, ν' ἀναφέρῃς εἰς ἐμὲ τὰ πάντα. Ἐπειδὴ ὅμως ἔλαβες ἐκίκησιν μόνος σου, μὴ μὲ ἐνοχλῇς πλέον. Αὐτὸ θὰ εἰπῇ πολὺ περισσότερον ὁ Θεός, ὁ ὁποῖος μᾶς παρήγγειλε νὰ παραχωρῶμεν εἰς αὐτὸν τὰ πάντα.

Πῶς λοιπὸν δὲν εἶναι παράλογον, ὅταν ἀπὸ τοὺς ὑπηρέτας μας ἀπαιτοῦμεν νὰ ἔχουν τόσην φιλοσοφίαν καὶ ὑπακοήν, ἐνῷ εἰς τὸν Κύριον δὲν παραχωροῦμεν αὐτὰ ποὺ θέλομεν νὰ μᾶς παραχωροῦν οἱ ὑπηρέται; Λέγω δὲ ταῦτα, διότι εἶσθε τόσον ἕτοιμοι δι' ἀλληλοεκδίκησιν. Διότι ὅποιος φιλοσοφεῖ ἀληθινὰ οὔτε αὐτὸ δὲν πρέπει νὰ κάμνῃ, ἀλλὰ ὀφείλει νὰ συγχωρῇ καὶ νὰ χαρίζῃ τὰ ἁμαρτήματα, ἔστω

εἰ καὶ μὴ ἐκεῖνο ἦν τὸ μέγα ἔπαθλον, τὸ ἄφεσιν ἀντὶ τούτων λαμβάνειν. Εἰ γάρ, εἰπέ μοι, καταγινώσκεις τοῦ ἡμαρτηκότος, τίνος ἕνεκεν καὶ αὐτὸς ἁμαρτάνεις, καὶ τοῖς αὐτοῖς περιπίπτεις; Ὕβρισε; Μὴ ἀνθυβρίσῃς· ἐπεὶ σαυτὸν ὕβρισας. Ἔπληξε; Μὴ ἀντιπλήξῃς· ἐπεὶ τὸ διάφορον οὐδαμοῦ. Ἐλύπησε; Μὴ ἀντιλυπήσῃς· ἐπεὶ τὸ κέρδος οὐδέν, ἀλλὰ γέγονας ἐκείνων πάλιν ἴσος. Οὕτως αὐτὸν ἐντρέψαι δυνήσῃ, ἂν μετὰ πραότητος ἐνέγκῃς ἐπιεικῶς· οὕτως αὐτὸν καταιδέσαι, οὕτως αὐτὸν ἐγκόψαι τῆς ὀργῆς.

Οὐδεὶς κακῷ κακὸν ἰᾶται, ἀλλ' ἀγαθῷ τὸ κακόν. Ταῦτα παρ' Ἕλλησί τινες φιλοσοφοῦσιν. Αἰσχυνθῶμεν τοίνυν, εἰ παρ' Ἕλλησι τοῖς ἀνοήτοις τοσαύτης οὔσης τῆς φιλοσοφίας, ἡμεῖς ἐλάττους φαινοίμεθα. Πολλοὶ ἠδικήθησαν καὶ ἤνεγκαν· πολλοὶ ἐσυκοφαντήθησαν. Καὶ οὐκ ἠμύναντο· ἐπεβουλεύθησαν καὶ εὐηργέτησαν. Δέος δὲ οὐ μικρόν, μὴ μείζους ἡμῶν τινες παρ' αὐτοῖς κατὰ τὸν βίον εὑρεθῶσι καὶ σφοδροτέραν ἡμῖν τὴν κόλασιν ἐργάσωνται. Ὅταν γὰρ οἱ Πνεύματος μετεσχηκότες, οἱ βασιλείαν προσδοκῶντες, οἱ ὑπὲρ τῶν οὐρανῶν φιλοσοφοῦντες, οἱ μὴ δεδοικότες γέενναν, οἱ κελευόμενοι ἄγγελοι γίνεσθαι, οἱ μυστηρίων ἀπολαύοντες, μηδὲ εἰς τὴν αὐτὴν ἐκείνοις φθάσωμεν ἀρετήν, ποίαν ἕξομεν συγγνώμην;

Εἰ γὰρ Ἰουδαίους ὑπερβαίνειν χρὴ («Ἐὰν γὰρ μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη», φησί, «πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»), πολλῷ μᾶλλον Ἕλληνας· εἰ Φαρισαίους

---

15. Ματθ. 5, 20.

καὶ ἂν δὲν περιμένῃ μεγάλην ὠφέλειαν μὲ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν. Διότι, εἰπέ μου, ἐὰν τιμωρήσῃς τὸν ἁμαρτήσαντα, διὰ ποῖον λόγον ἁμαρτάνεις καὶ ἐσὺ καὶ περιπίπτεις εἰς τὰ ἴδια ἁμαρτήματα; Σὲ ὕβρισε; Νὰ μὴ ἀνταποδώσῃς τὴν ὕβριν, ἐπειδὴ θὰ προσβάλλῃς τὸν ἑαυτόν σου. Σὲ ἐκτύπησε; Νὰ μὴ ἀνταποδώσῃς τὸ κτύπημα, ἐπειδὴ δὲν θὰ ἔχῃς καμμίαν ὠφέλειαν. Σοῦ ἐπροξένησε λύπην; Νὰ μὴ τοῦ προξενήσῃς καὶ σύ, ἐπειδὴ δὲν θὰ ἔχῃς κανένα κέρδος, ἀλλὰ θὰ γίνῃς ἴσος μὲ αὐτόν. Καὶ θὰ ἠμπορέσῃς κατ' αὐτὸν τὸν τρόπον νὰ τὸν κάμῃς νὰ ἐντραπῇ, ἂν συμπεριφερθῇς μὲ πραότητα, ἠπίως. Μόνον ἔτσι θὰ τὸν κάμῃς νὰ ἐντραπῇ καὶ μόνον ἔτσι θὰ ἐμποδίσῃς τὴν ὀργήν του.

Κανεὶς δὲν θεραπεύει τὸ κακὸν μὲ τὸ κακόν, ἀλλὰ μὲ τὸ καλὸν τὸν κακόν. Αὐτὰ φιλοσοφοῦν μερικοὶ ἀπὸ τοὺς ἐθνικούς. Ἂς ἐντραποῦμεν λοιπόν, διότι εἰς τοὺς ἀνοήτους ἐθνικοὺς ὑπάρχει τόση φιλοσοφία καὶ ἡμεῖς φαινόμεθα κατώτεροί των. Πολλοὶ ἠδικήθησαν, ἀλλ' ὑπέμειναν. Πολλοὶ ἐσυκοφαντήθησαν, ἀλλὰ δὲν ἐξεδικήθησαν. Πολλοὶ ἔπεσαν εἰς μηχανορραφίας, ἀλλ' εὐηργέτησαν. Καὶ δὲν εἶναι μικρὸς ὁ φόβος, μήπως μερικοὶ ἀπὸ αὐτοὺς εὑρεθοῦν εἰς ἀνωτέραν κατάστασιν ζωῆς ἀπὸ ἡμᾶς καὶ μᾶς τιμωρήσουν τότε βαρύτερον. Διότι, ἐὰν ἡμεῖς ποὺ ἐλάβομεν τὸ ἅγιον Πνεῦμα, ποὺ περιμένομεν τὴν βασιλείαν τῶν οὐρανῶν, ποὺ φιλοσοφοῦμεν περὶ τῆς οὐρανίου χάριτος, ποὺ δὲν φοβούμεθα τὴν γέενναν, ποὺ διατασσόμεθα νὰ εἴμεθα ἄγγελοι, ποὺ ἀπολαύομεν τὰ μυστήρια, δὲν ἠμπορέσωμεν νὰ προσεγγίσωμεν τὴν αὐτὴν ἀρετὴν μὲ ἐκείνους, ποίας συγγνώμης θὰ τύχωμεν;

Διότι, ἐὰν θέλωμεν νὰ φανῶμεν ἀνώτεροι τῶν Ἰουδαίων (Διότι λέγει ὁ Χριστός· «Ἐὰν ἡ ἀρετή σας δὲν ὑπερβαίνῃ τὴν ἀρετὴν τῶν Γραμματέων καὶ Φαρισαίων, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[15]), πρέπει πολὺ περισσότερον νὰ φανῶμεν ἀνώτεροι τῶν ἐθνικῶν. Καὶ ἐὰν πρέπει νὰ ὑπερβῶμεν τοὺς Φαρισαίους, πρέπει πολὺ περισ-

πολλῷ μᾶλλον τοὺς ἀπίστους. Εἰ γὰρ μὴ ὑπερβάντων ἡμῶν τὴν ἐκείνων πολιτείαν, ἀποκέκλεισται τὰ τῆς βασιλείας· ὅταν καὶ Ἑλλήνων φαινώμεθα χείρους, πῶς ἕξομεν ταύτης ἐπιτυχεῖν;

Πᾶσαν τοίνυν πικρίαν καὶ ὀργὴν καὶ θυμὸν ἐκβάλωμεν. «Τὰ αὐτὰ λέγειν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές». Καὶ γὰρ καὶ ἰατροὶ τῷ αὐτῷ πολλάκις χρῶνται φαρμάκῳ. Καὶ ἡμεῖς οὐ παυσόμεθα τὰ αὐτὰ ἐνηχοῦντες, ἀναμιμνήσκοντες, διδάσκοντες, παρακαλοῦντες. Καὶ γὰρ πολὺς τῶν βιωτικῶν πραγμάτων ὁ ὄχλος, καὶ λήθην ἡμῖν ἐμποιῶν καὶ διδασκαλίας δεῖ ἡμῖν συνεχοῦς. Ἵν' οὖν μὴ μάτην μηδὲ εἰκῇ ἐνταῦθα συλλεγώμεθα, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν παρασχώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Φιλ. 3, 1.

σότερον νὰ ὑπερβῶμεν τοὺς ἀπίστους. Διότι, ἐὰν δὲν ὑπερβῶμεν τὴν ζωὴν ἐκείνων ἔχομεν ἀποκλεισθῆ ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅταν ὅμως φαινώμεθα χειρότεροι καὶ ἀπὸ ἐκείνους, πῶς θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν αὐτήν;

Ἂς ἀποβάλωμεν λοιπὸν τὴν πικρίαν, τὴν ὀργὴν καὶ τὸν θυμὸν. «Τὸ νὰ σᾶς γράφω τὰ ἴδια πράγματα εἰς ἐμὲ δὲν εἶναι βαρετόν, εἰς ἐσᾶς ὅμως παρέχει ἀσφάλειαν»[16], λέγει ὁ Παῦλος. Διότι καὶ οἱ ἰατροὶ πολλὰς φορὰς χρησιμοποιοῦν τὸ ἴδιο φάρμακον. Καὶ ἡμεῖς δὲν θὰ παύσωμεν νὰ φωνάζωμεν τὰ ἴδια, νὰ διδάσκωμεν καὶ νὰ συμβουλεύωμεν. Διότι καὶ μεγάλη εἶναι ἡ ταραχὴ τῶν βιωτικῶν ὑποθέσεων καὶ μᾶς κάμνει νὰ λησμονῶμεν καὶ δι' αὐτὸ χρειάζεται συνεχὴς διδασκαλία. Διὰ νὰ μὴ συγκεντρωνώμεθα λοιπὸν ἐδῶ ματαίως καὶ ἀνωφελῶς, ἂς ἐπιδείξωμεν καλὰ ἔργα, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΒ'.

'Ιω. 7, 45 - 8, 19

«Ἦλθον οὖν ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διατί οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οὖν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος».

1. Οὐδὲν τῆς ἀληθείας σαφέστερον, οὐδὲν ἁπλούστερον, ἐὰν μὴ κακουργῶμεν ἡμεῖς· ὥσπερ οὖν κακουργούντων οὐδὲν δυσκολώτερον. Ἰδοὺ γὰρ οἱ μὲν Φαρισαῖοι καὶ οἱ γραμματεῖς, οἱ δῆθεν δοκοῦντες εἶναι σοφώτεροι, συνόντες ἀεὶ τῷ Χριστῷ, ἐπιβουλῆς ἕνεκεν καὶ θαύματα ὁρῶντες καὶ Γραφὰς ἀναγινώσκοντες, οὐδὲν ἀπώναντο, ἀλλὰ καὶ ἐβλάβησαν· οἱ δὲ ὑπηρέται, οὐδὲν τούτων ἔχοντες εἰπεῖν, ἀπὸ μιᾶς μόνης δημηγορίας ἐχειρώθησαν καὶ ἀπελθόντες ὥστε αὐτὸν δῆσαι, ἐπανῆλθον δεθέντες τῷ θαύματι. Οὐ τὴν σύνεσιν δὲ αὐτῶν θαυμάσαι μόνον ἔστιν, ὅτι σημείων οὐκ ἐδεήθησαν, ἀλλ' ἀπὸ τῆς διδασκαλίας μόνης ἑάλωσαν (οὐ γὰρ εἶπον, ὅτι Οὐδέποτε ἐθαυματούργησεν ἄνθρωπος οὕτως· ἀλλὰ τί; Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος)· οὐ τοίνυν τὴν σύνεσιν αὐτῶν μόνον ἔστι θαυμάσαι, ἀλλὰ καὶ τὴν παρρησίαν, ὅτι πρὸς τοὺς ἀποστείλαντας ταῦτα ἔλεγον, πρὸς τοὺς Φαρισαίους, πρὸς τοὺς πολεμοῦντας καὶ πάντα ὑπὲρ τούτου πράττοντας.

«Ἦλθον» γάρ, φησίν, «οἱ ὑπηρέται καὶ λέγουσιν αὐτοῖς οἱ Φαρισαῖοι· Διατί οὐκ ἠγάγετε αὐτόν;». Τὸ δὲ ἐλθεῖν, πολλῷ μεῖζον ἦν τοῦ μεῖναι. Τότε μὲν γὰρ ἀπηλλάγησαν ἂν τῆς τούτων ἐπαχθείας· νυνὶ δὲ κήρυκες γίνονται τῆς τοῦ Χριστοῦ σοφίας, καὶ μειζόνως ἐνδείκνυνται τὴν παρρησίαν· καὶ οὐ λέγουσιν, Οὐκ ἠδυνήθημεν διὰ τὸν ὄχλον, ὅτι ὡς προφήτῃ προσεῖχον·

1. Ἰω. 7, 46.

ΟΜΙΛΙΑ ΝΒ΄.

'Ιω. 7, 45 - 8, 19

«Τότε ἐπέστρεψαν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, οἱ ὁποῖοι τοὺς εἶπαν· Διατί δὲν τὸν ἐφέρατε; 'Απεκρίθησαν οἱ ὑπηρέται· Κανεὶς ἄνθρωπος δὲν ὡμίλησε ποτέ, ὅπως ὁμιλεῖ αὐτὸς ὁ ἄνθρωπος»[1].

1. Δὲν ὑπάρχει σαφέστερον οὔτε ἁπλούστερον πρᾶγμα ἀπὸ τὴν ἀλήθειαν, ἐὰν ἡμεῖς δὲν φερώμεθα κακῶς. Διότι, ὅταν κακοποιοῦμεν, δὲν ὑπάρχει δυσκολώτερον ἀπὸ αὐτήν. 'Ιδού, οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, οἱ ὁποῖοι ἐφαίνοντο ὅτι ἦσαν δῆθεν σοφώτεροι, οἱ ὁποῖοι ἦσαν διαρκῶς μαζὶ μὲ τὸν Χριστόν, διὰ νὰ τὸν ἐπιβουλεύωνται, οἱ ὁποῖοι ἂν καὶ ἔβλεπαν τὰ θαύματα καὶ ἐμελέτων τὰς ἁγίας Γραφάς, ἐν τούτοις ὄχι μόνο δὲν ὠφελήθησαν, ἀλλὰ καὶ ἔπαθαν μεγάλην βλάβην. Οἱ ὑπηρέται ὅμως ποὺ δὲν ἠμποροῦσαν νὰ ἐπικαλεσθοῦν τίποτε ἀπὸ αὐτὰ ὑπὲρ τῶν ἑαυτῶν των, ἠχμαλωτίσθησαν ἀπὸ τὸν Χριστὸν μὲ μίαν μόνον ὁμιλίαν του καὶ ἐνῷ ἐπῆγαν διὰ νὰ τὸν συλλάβουν, ἐπέστρεψαν συλληφθέντες ἀπὸ τὸ θαῦμα. Δὲν πρέπει νὰ θαυμάσωμεν τὴν σύνεσίν των (διότι δὲν εἶπαν· Ποτὲ δὲν ἔκαμεν ἄλλος ἄνθρωπος τέτοια θαύματα, ἀλλά· Ποτὲ δὲν ὡμίλησεν ἔτσι ἄλλος ἄνθρωπος), δὲν πρέπει λοιπὸν νὰ θαυμάσωμεν μόνοον τὴν σύνεσίν των, ἀλλὰ καὶ τὸ θάρρος των, διότι ἔλεγαν αὐτὰ εἰς τοὺς Φαρισαίους ποὺ τοὺς εἶχαν στείλει καὶ ποὺ ἐπολέμουν κατὰ τοῦ Χριστοῦ καὶ ποὺ μετεχειρίζοντο τὰ πάντα δι' αὐτὸν τὸν σκοπόν.

Λέγει ὁ Εὐαγγελιστής· «Τότε ἐπέστρεψαν οἱ ὑπηρέται καὶ λέγουν οἱ Φαρισαῖοι εἰς αὐτούς· Διατί δὲν τὸν ἐφέρατε;». Τὸ ὅτι ἐπέστρεψαν ἦτο πολὺ σπουδαιότερον ἀπὸ τὸν ἐὰν ἔμεναν. Διότι τότε θὰ εἶχαν ἀπαλλαγῆ ἀπὸ τὴν ἐνόχλησίν των. Τώρα ὅμως γίνονται κήρυκες τῆς σοφίας τοῦ Χριστοῦ καὶ δεικνύουν μεγαλύτερον θάρρος. Καὶ δὲν ἰσχυρίζονται, Δὲν ἠμπορέσαμεν νὰ τὸν συλλάβωμεν ἕνεκα τοῦ

ἀλλὰ τί; «Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος». Καίτοι γε ἠδύναντο ἐκείνην εἰπεῖν τὴν ἀπολογίαν· ἀλλ' ἐμφαίνουσιν ἑαυτῶν τὴν ὀρθὴν γνώμην. Τοῦτο γὰρ οὐχὶ θαυμαζόντων ἐκεῖνον μόνον ἦν, ἀλλὰ καὶ τούτων κατηγορούντων, ὅτι ἔπεμψαν δήσοντας αὐτὸν αὐτούς, οὗ ἀκούειν ἐχρῆν. Καίτοι γε οὐδὲ μακρᾶς ἤκουσαν δημηγορίας, ἀλλὰ βραχείας. Ὅταν γὰρ ἡ διάνοια ἀδέκαστος ἦν, οὐδὲ μακρῶν λόγων δεῖ. Τοιοῦτον γὰρ ἡ ἀλήθεια.

Τί οὖν οἱ Φαρισαῖοι; Δέον κατανυγῆναι, τὸ ἐναντίον ποιοῦσιν, ἀντεγκαλοῦσιν αὐτοῖς, «Μὴ καὶ ὑμεῖς πεπλάνησθε;», λέγοντες. Ἔτι αὐτοὺς κολακεύουσι καὶ οὐ καταφορικῶς κέχρηνται τῷ λόγῳ, δεδοικότες μὴ τέλειον ἀποσθισθῶσιν· ἀλλὰ τὸν θυμὸν ἐμφαίνουσι, καὶ μετὰ φειδοῦς φθέγγονται. Δέον γὰρ ἐρωτῆσαι, τί ἐλάλησε, καὶ θαυμάσαι τὰ λεχθέντα, τοῦτο μὲν οὐ ποιοῦσιν· ᾔδεισαν γὰρ ὅτι ἁλῶναι εἶχον· ἀπὸ δὲ τεκμηρίου σφόδρα ἀνοήτου αὐτοὺς συλλογίζονται. «Διατί γὰρ οὐδείς», φησί, «τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν;». Τοῦτο οὖν τῷ Χριστῷ ἐγκαλεῖς, εἰπέ μοι, καὶ οὐχὶ τοῖς ἀπιστήσασιν; «Ἀλλ' ὁ ὄχλος», φησίν, «ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν». Αὕτη γὰρ ὑμῶν ἡ μείζων κατηγορία, ὅτι ὁ μὲν ὄχλος ἐπίστευσεν, ὑμεῖς δὲ ἠπιστήσατε. Καὶ μὴν τὰ τῶν γινωσκόντων τὸν νόμον ἐποίουν ἐκεῖνοι· πῶς οὖν ἐπάρατοί εἰσιν; Ὑμεῖς γὰρ ἐπάρατοι, οἱ μὴ τηροῦντες τὸν νόμον· οὐκ ἐκεῖνοι, οἱ τῷ νόμῳ πειθόμενοι.

Ἐχρῆν δὲ οὐκ ἀπὸ τῶν ἀπιστούντων διαβάλλειν τὸν ἀπιστούμενον. Οὐ γὰρ ὀρθὸς τρόπος οὗτος. Ἐπεὶ καὶ ὑμεῖς

κόσμου, πού τὸν ἐπρόσεχε σὰν Προφήτην, ἀλλὰ λέγουν· «Ποτὲ δὲν ὡμίλησεν ἔτσι ἄλλος ἄνθρωπος». Καὶ μολονότι ἠμποροῦσαν νὰ μεταχειρισθοῦν αὐτὴν τὴν δικαιολογίαν, ὅμως φανερώνουν τὴν ἰδικήν των ὀρθὴν γνώμην. Διότι τοῦτο δὲν ἦτο μόνον ἀπόδειξις τοῦ θαυμασμοῦ τῶν ὑπηρετῶν πρὸς τὸν Χριστὸν ἀλλὰ καὶ τῆς κατηγορίας κατὰ τῶν Φαρισαίων, ὅτι ἔστειλαν τοὺς ὑπηρέτας διὰ νὰ τὸν συλλάβουν καὶ αὐτοὶ δὲν ὑπήκουσαν, ὅπως ἔπρεπε νὰ κάμουν. Καὶ ὅμως δὲν ἤκουσαν μακρὰν ἀλλὰ μικρὰν ὁμιλίαν. Διότι, ὅταν ὁ νοῦς εἶναι ἀδέκαστος, δὲν χρειάζονται πολλὰ λόγια. Τέτοια εἶναι ἡ δύναμις τῆς ἀληθείας.

Τί ἔκαμαν οἱ Φαρισαῖοι; Ἀντὶ νὰ κατασυντριβοῦν, κάμνουν τὸ ἀντίθετον καὶ κατηγοροῦν τοὺς ὑπηρέτας λέγοντες· «Μήπως καὶ σεῖς ἔχετε πλανηθῆ;». Τοὺς κολακεύουν ἀκόμη καὶ δὲν χρησιμοποιοῦν βαρείας ἐκφράσεις, ἐπειδὴ φοβοῦνται, μήπως ἀποσχισθοῦν ἐντελῶς. Ἐκδηλώνουν ὅμως τὴν ὀργήν των καὶ ὁμιλοῦν μὲ ἐπιφύλαξιν. Διότι, ἐνῷ ἔπρεπε νὰ ἐρωτήσουν, τί εἶπεν ὁ Χριστὸς καὶ νὰ θαυμάσουν δι' αὐτὰ πού εἶπεν, δὲν ἔκαμαν τοῦτο, διότι ἤξευραν ὅτι ἠμποροῦσαν ἔτσι νὰ αἰχμαλωτισθοῦν, ἀλλὰ προβάλλουν εἰς τοὺς ὑπηρέτας πολὺ ἀνόητον ἐπιχείρημα. «Διατί δὲν ἐπίστευσεν εἰς αὐτὸν κανεὶς ἀπὸ τοὺς ἄρχοντας;», λέγουν. Εἰπέ μου, μὲ αὐτὸ τὸ ἐπιχείρημα κατηγορεῖς τὸν Χριστὸν ἢ ἐκείνους πού δὲν ἐπίστευσαν; Καὶ οἱ Φαρισαῖοι συνεχίζουν· «Ὅσον διὰ τὸν ὄχλον, πού δὲν γνωρίζει τὸν νόμον, εἶναι καταραμένος». Αὐτὴ λοιπὸν εἶναι ἡ μεγαλυτέρα σας κατηγορία, ὅτι δηλαδὴ ὁ ὄχλος ἐπίστευσεν, ἐνῷ σεῖς δὲν ἐπιστεύσατε. Καὶ ὅμως ἐκεῖνοι ἔκαμαν ὅσα καὶ οἱ γνωρίζοντες τὸν νόμον. Διατί τότε εἶναι καταραμένοι; Σεῖς εἶσθε καταραμένοι, πού δὲν τηρεῖτε τὸν νόμον καὶ ὄχι ἐκεῖνοι πού ὑπακούουν εἰς τὸν νόμον.

Δὲν ἔπρεπε λοιπὸν ἀπὸ τοὺς μὴ πιστεύοντας νὰ κατηγορῆται ἐκεῖνος, εἰς τὸν ὁποῖον δὲν ἐπίστευαν. Διότι δὲν εἶναι σωστὸς αὐτὸς ὁ τρόπος. Ἐπειδὴ καὶ σεῖς δὲν ἐ-

ἠπιστήσατε τῷ Θεῷ, καθὼς Παῦλός φησι· «Τί γάρ, εἰ ἠπίστησάν τινες; Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; Μὴ γένοιτο». Καὶ γὰρ οἱ προφῆται αὐτοῖς ἀεὶ ἐνεκάλουν λέγοντες· «Ἀκούσατε, ἄρχοντες Σοδόμων»· καί, «Οἱ ἄρχοντές σου ἀπειθοῦσι»· καὶ πάλιν, «Οὐχ ὑμῶν ἐστι γνῶναι τὸ κρῖμα;». Καὶ πανταχοῦ σφοδρότερον ἐπιτίθενται αὐτοῖς. Τί οὖν; Καὶ τῷ Θεῷ τίς ἐγκαλέσει διὰ τοῦτο; Ἄπαγε. Ἐκείνων γὰρ τοῦτο τὸ ἔγκλημα. Ποῖον δ' ἂν ἄλλο τις ποιήσειε σημεῖον τοῦ μὴ γινώσκειν ὑμᾶς τὸν νόμον, ἢ τὸ μὴ πείθεσθαι;

Ἐπειδὴ δὲ εἶπον, ὅτι Μὴ τῶν ἀρχόντων τις ἐπίστευσεν εἰς αὐτόν; καὶ ὅτι Οἱ μὴ γινώσκοντες τὸν νόμον, ἀκολούθως αὐτῶν καθάπτεται ὁ Νικόδημος, οὕτως λέγων· «Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον;». Δείκνυσι γὰρ αὐτοὺς μήτε γινώσκοντας τὸν νόμον, μήτε ποιοῦντας τὸν νόμον. Εἰ γὰρ ἐκεῖνος μὲν οὐδένα κελεύει ἀποκτιννύναι ἄνθρωπον μὴ πρότερον ἀκούσαντας, οὗτοι δὲ πρὶν ἀκοῦσαι ἐπὶ τοῦτο ὥρμησαν, παραβάται εἰσὶ τοῦ νόμου. Καὶ ἐπειδὴ εἶπον, Καὶ οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν, διὰ τοῦτο ἐπισημαίνεται ὁ εὐαγγελιστής, ὅτι εἷς ἦν ἐξ αὐτῶν, δεικνὺς ὅτι καὶ ἄρχοντες ἐπίστευσαν εἰς αὐτόν. Παρρησίαν μὲν γὰρ οὐδέπω τὴν προσήκουσαν ἐπεδείκνυντο· πλὴν ᾠκειοῦντο τῷ Χριστῷ.

Ὅρα δὲ πῶς καὶ μετὰ φειδοῦς τὸν ἔλεγχον ἐπάγει. Οὐ γὰρ εἶπεν, Ὑμεῖς δὲ βούλεσθε αὐτὸν ἀποκτεῖναι, καὶ ἁπλῶς καταδικάζετε τὸν ἄνθρωπον ὡς πλάνον. Ἀλλ' οὐχ οὕτως εἶπεν, ἀλλὰ προσηνέστερον, τὴν ἄφατον αὐτῶν ὁρμὴν

2. Ρωμ. 3, 33.
3. Ἡσ. 1, 10 καὶ 23.
4. Μιχ. 3, 1.

πιστεύσατε εἰς τὸν Θεόν, καθὼς λέγει ὁ Παῦλος· «Διότι, τί σημασίαν ἔχει, ἐὰν μερικοὶ ἔγιναν ἄπιστοι; Μήπως ἡ ἀπιστία τους ἠμπορεῖ νὰ καταργήσῃ τὴν ἀξιοπιστίαν τοῦ Θεοῦ; Ὄχι βέβαια!»[2]. Διότι καὶ οἱ Προφῆται αὐτοὺς κατηγόρουν πάντοτε καὶ ἔλεγαν· «Ἀκούσατε, ἄρχοντες Σοδόμων· Οἱ ἀρχηγοί σου δὲν πιστεύουν»[3], «Μήπως δὲν εἶναι ἰδικόν σας ἔργον νὰ γνωρίσετε τὴν κρίσιν;»[4]. Καὶ παντοῦ μὲ βαρείας ἐκφράσεις κατηγοροῦν αὐτούς. Τί γίνεται λοιπόν; Μήπως κανεὶς θὰ κατηγορήσῃ δι' αὐτὸ ἀκόμη καὶ τὸν Θεόν; Ὄχι βέβαια! Διότι τοῦτο τὸ ἔγκλημα εἶναι ἰδικόν των. Ποῖον ἄλλο σημεῖον ἠμπορεῖ νὰ μᾶς ἀποκαλύψῃ κάποιος, ὅτι σεῖς δὲν γνωρίζετε τὸν νόμον, διότι δὲν πιστεύετε;

Ἐπειδὴ λοιπὸν οἱ Φαρισαῖοι ἰσχυρίσθησαν ὅτι δὲν ἐπίστευσεν εἰς αὐτὸν κανεὶς ἀπὸ τοὺς ἄρχοντας παρὰ μόνον αὐτοὶ ποὺ δὲν γνωρίζουν τὸν νόμον, ἐν συνεχείᾳ κατηγορεῖ αὐτοὺς ὁ Νικόδημος λέγων· «Μήπως ὁ νόμος μας καταδικάζῃ ἄνθρωπον, ἐὰν δὲν τὸν ἀκούσῃ προηγουμένως;». Ἀποδεικνύει δηλαδὴ εἰς αὐτοὺς ὅτι οὔτε τὸν νόμον γνωρίζουν, οὔτε τὸν νόμον ἐφαρμόζουν. Διότι, ἐφ' ὅσον ὁ νόμος διατάσσει νὰ μὴ φονεύσουν ἄνθρωπον, ἂν δὲν τὸν ἀκούσουν προηγουμένως, αὐτοὶ ὅμως ἐπεχείρουν νὰ κάμουν τοῦτο χωρὶς προηγουμένως νὰ τὸν ἀκούσουν, εἶναι παραβάται τοῦ νόμου. Καὶ ἐπειδὴ οἱ Φαρισαῖοι ἰσχυρίζοντο, ὅτι κανεὶς ἀπὸ τοὺς ἄρχοντας δὲν ἐπίστευσεν εἰς αὐτόν, δι' αὐτὸ ὁ Εὐαγγελιστὴς ἐπισημαίνει, ὅτι ὑπῆρχεν ἕνας μεταξύ των διὰ ν' ἀποδείξῃ ὅτι καὶ ἄρχοντες εἶχαν πιστεύσει εἰς αὐτόν. Βέβαια δὲν ἐπεδείκνυαν τὴν πρέπουσαν παρρησίαν ἀκόμη, παρὰ ταῦτα ὅμως οἰκειοποιοῦντο τὸν Χριστόν.

Πρόσεχε μὲ πόσην ἐπιφυλακτικότητα ἐλέγχει αὐτοὺς ὁ Νικόδημος. Διότι δὲν εἶπεν, Σεῖς θέλετε νὰ τὸν φονεύσετε καὶ χωρὶς κρίσιν καταδικάζετε τὸν ἄνθρωπον ὡς πλάνον. Δὲν ὡμίλησεν ἔτσι ἀλλὰ πολὺ ἤπια, ἐπειδὴ ἤθελε ν' ἀνακόψῃ τὴν παράλογον ὁρμήν των καὶ τὴν ἀπερίσκεπτον

ἐγκόπτων καὶ τὸ ἄσκεπτον καὶ φονικόν. Διὰ τοῦτο ἐπὶ τὸν νόμον τρέπει τὸν λόγον, λέγων· «Ἐὰν μὴ ἀκούσῃ ἀκριβῶς καὶ γνῷ τί ποιεῖ». Ὥστε οὐδὲ ἀκροάσεως δεῖ ψιλῆς, ἀλλὰ καὶ ἀκριβοῦς. Τοῦτο γάρ ἐστι, «Καὶ γνῷ τί ποιεῖ», τί βούλεται καὶ διατί καὶ ἐπὶ τίνι, πότερον ἐπ' ἀνατροπῇ τῆς πολιτείας καὶ ὡς ἐχθρός. Ἀπορηθέντες τοίνυν ἐπειδὴ εἶπον, Οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν, οὔτε σφοδρῶς, οὔτε μετὰ φειδοῦς προσηνέχθησαν.

2. Ποίαν γὰρ ἀκολουθίαν ἔχει, εἰπέ μοι, εἰπόντος ἐκείνου, ὅτι Ὁ νόμος ἡμῶν οὐ κρίνει οὐδένα, εἰπεῖν, «Μὴ καὶ σὺ ἐκ Γαλιλαίας εἶ;». Δέον γὰρ δεῖξαι, ὅτι οὐκ ἀκρίτως ἔπεμψαν αὐτὸν καλέσοντες, ἢ ὅτι οὐ χρὴ μεταδοῦναι λόγου, ἀγροικότερον καὶ θυμικώτερον κέχρηνται τῇ ἀντιρρήσει· «Ἐρώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται». Τί γὰρ εἶπεν ὁ ἄνθρωπος; ὅτι προφήτης ἐστίν; Εἶπεν ὅτι ἄκριτον ἀναιρεθῆναι οὐ δεῖ. Οἱ δὲ ὑβριστικῶς, ὡς οὐκ εἰδότι περὶ τῶν Γραφῶν οὐδέν, ταῦτα ἐπήγαγον· ὡσανεὶ εἴποι τις· «Ὕπαγε μάθε»· τοῦτο γάρ ἐστιν, «Ἐρώτησον καὶ ἴδε».

Τί οὖν ὁ Χριστός; Ἐπειδὴ ἄνω καὶ κάτω τὴν Γαλιλαίαν ἔστρεφον καὶ τὸν προφήτην, ἀπαλλάττων πάντας ταύτης τῆς ἀλλοτρίας ὑποψίας, καὶ δεικνύς, ὅτι οὐχ εἷς τῶν προφητῶν ἐστιν, ἀλλὰ τοῦ κόσμου Δεσπότης, φησίν· «Ἐγὼ φῶς εἰμι τοῦ κόσμου». Οὐ Γαλιλαίας, οὐ Παλαιστίνης, οὐδὲ τῆς Ἰουδαίας. Τί οὖν οἱ Ἰουδαῖοι; «Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής». Ὢ τῆς ἀνοίας! ταῖς Γραφαῖς παρέπεμψεν ἄνω καὶ κάτω, καὶ λέγουσιν, ὅτι «Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς». Τί δὲ ἐμαρτύ-

καὶ αἱματηρὰν σκέψιν των. Δι' αὐτὸ φέρει τὸν λόγον εἰς τὸν νόμον καὶ λέγει· «Ἐὰν δὲν ἀκούσῃ προσεκτικὰ καὶ μάθῃ τί ἔκαμε». Ὥστε δὲν χρειάζεται μόνον ν' ἀκούσῃ, ἀλλὰ ν' ἀκούσῃ προσεκτικά. Αὐτὴν τὴν σημασίαν ἔχει, «Καὶ νὰ μάθῃ, τί ἔκαμε», τί θέλει, διατί καὶ διὰ ποῖον σκοπὸν καὶ ἀπέβλεπε μήπως εἰς ἀνατροπὴν τῆς πολιτείας ὡς ἐχθρός. Ἐπειδὴ λοιπὸν οἱ Φαρισαῖοι ἀμφέβαλλον, διότι εἶχαν εἰπεῖ, ὅτι κανεὶς ἀπὸ τοὺς ἄρχοντας δὲν ἐπίστευσεν εἰς αὐτόν, δὲν συμπεριεφέρθησαν εἰς τὸν Νικόδημον οὔτε σκληρῶς οὔτε ἠπίως.

2. Εἰπέ μου, ποίαν συνέπειαν ἔχει ἐκεῖνο ποὺ εἶπεν ὁ Νικόδημος, ὅτι δηλαδὴ ὁ νόμος μας δὲν καταδικάζει κανένα, μὲ τὴν ἐρώτησιν τῶν Φαρισαίων· «Μήπως καὶ σὺ εἶσαι ἀπὸ τὴν Γαλιλαίαν;». Διότι, ἐνῷ ἔπρεπε ν' ἀποδείξουν, ἢ ὅτι ὀρθῶς ἔστειλαν αὐτὸν διὰ νὰ τὸν καλέσουν ἢ ὅτι δὲν ἔπρεπε νὰ τοῦ ἐπιτρέψουν νὰ ὁμιλήσῃ, ἀντιθέτως προβάλλουν ὀξυτέραν καὶ προκλητικωτέραν ἀντίρρησιν. «Ἐρεύνησε καὶ θὰ ἰδῇς ὅτι δὲν ἔχει ἔλθει προφήτης ἀπὸ τὴν Γαλιλαίαν». Μήπως ὁ ἄνθρωπος εἶχεν εἰπεῖ ὅτι ὁ Χριστὸς εἶναι Προφήτης; Εἶπεν ὅτι δὲν ἔπρεπε νὰ φονευθῇ χωρὶς νὰ δικασθῇ. Οἱ Φαρισαῖοι ὅμως ἔδωσαν αὐτὴν τὴν ἀπάντησιν περιφρονητικῶς εἰς αὐτόν, σὰν νὰ μὴ ἤξευρε τίποτε ἀπὸ αὐτά, σὰν νὰ τοῦ ἔλεγε κάποιος· «Πήγαινε καὶ μάθε». Διότι αὐτὸ σημαίνει τό, «Ἐρεύνησε καὶ θὰ ἰδῇς».

Τί ἔκαμε λοιπὸν ὁ Χριστός; Ἐπειδὴ διαρκῶς εἶχον εἰς τὸ στόμα τους τὴν Γαλιλαίαν καὶ τὸν Προφήτην, διὰ νὰ τοὺς βγάλῃ ὅλους ἀπὸ αὐτὴν τὴν πλάνην καὶ διὰ ν' ἀποδείξῃ ὅτι δὲν εἶναι ἕνας ἀπὸ τοὺς Προφήτας, ἀλλὰ ὁ Κύριος τοῦ κόσμου, τοὺς εἶπεν· «Ἐγὼ εἶμαι τὸ φῶς τοῦ κόσμου». Οὔτε τῆς Γαλιλαίας, οὔτε τῆς Παλαιστίνης, οὔτε τῆς Ἰουδαίας. Τί ἀπήντησαν οἱ Φαρισαῖοι; «Σὺ δίδεις μαρτυρίαν περὶ τοῦ ἑαυτοῦ σου καὶ ἡ μαρτυρία σου δὲν εἶναι ἀληθινή». Πόση ἀνοησία! Τοὺς παρέπεμπε συνεχῶς εἰς τὰς Γραφὰς καὶ τοῦ λέγουν· «Σὺ δίδεις μαρτυρίαν περὶ τοῦ ἑ-

ρησεν; «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου». Μέγα τὸ λεχθέν, καὶ ὄντως μέγα· ἀλλ' οὐ σφόδρα αὐτοὺς ἔπληξεν, ἐπειδὴ οὔτε ἐξισοῖ νῦν ἑαυτὸν τῷ Πατρί, οὔτε Υἱὸς ἐκείνου εἶπεν εἶναι, οὔτε Θεός, ἀλλὰ φῶς τέως. Ἐβούλοντο μὲν οὖν ἀνατρέψαι καὶ τοῦτο· καίτοι πολὺ τοῦτο μεῖζον τοῦ εἰπεῖν, «Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ», φῶς καὶ σκοτίαν νοητῶς λέγων· τουτέστιν, οὐ μένει ἐν τῇ πλάνῃ.

Ἐνταῦθα καὶ τὸν Νικόδημον ἐφέλκεται καὶ ἐνάγει ὡς σφόδρα παρρησιασάμενον, καὶ τοὺς ὑπηρέτας ἐπαινεῖ τοῦτο πεποιηκότας. Τὸ γὰρ κράξαι, τοῦτό ἐστι βουλομένου κατασκευάσαι, ὥστε κἀκείνους ἀκοῦσαι· ἅμα δὲ καὶ αὐτοὺς αἰνίττεται κρυφῇ τοὺς δόλους πλέκοντας καὶ ἐν τῷ σκότῳ καὶ τῇ πλάνῃ· ἀλλὰ τοῦ φωτὸς οὐ περιέσονται. Καὶ τὸν Νικόδημον ὑπομιμνήσκει τῶν ῥημάτων ἐκείνων, ἅπερ ἔλεγε πρώην· «Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ αὐτοῦ τὰ ἔργα». Ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν, διὰ τοῦτό φησιν, «Ὁ τὰ φαῦλα πράσσων, οὐκ ἔρχεται πρὸς τὸ φῶς», δεικνὺς ὅτι οὐ τῆς τοῦ φωτὸς ἀσθενείας τὸ μὴ ἐλθεῖν, ἀλλὰ τῆς ἐκείνων διεστραμμένης γνώμης.

«Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς;». Τί οὖν αὐτός; «Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν· ὅτι οἶδα πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι». Ὅπερ φθάσας εἶπε, τοῦτο οὗτοι προβάλλονται ὡς προηγουμένως λεχθέν. Τί οὖν ὁ Χριστός; Ἀνατρέπων αὐτὸ καὶ δεικνύς,

5. Ἰω. 3, 20.

αυτοῦ σου». Ποίαν μαρτυρίαν ἔδωσεν; «Ἐγὼ εἶμαι τὸ φῶς τοῦ κόσμου». Μεγάλος ὁ λόγος, πράγματι μεγάλος, ἀλλὰ δὲν τοὺς ἐξέπληξεν, ἐπειδὴ τώρα δὲν παρουσιάζει τὸν ἑαυτόν του ἴσον μὲ τὸν Πατέρα, οὔτε εἶπεν ὅτι εἶναι Υἱὸς ἐκείνου, οὔτε Θεός, ἀλλὰ μόνον φῶς. Ἤθελαν βεβαίως ν' ἀνατρέψουν καὶ τοῦτο, διότι ἦτο πολὺ σπουδαιότερον ἀπὸ αὐτὸ ποὺ εἶπεν ἐν συνεχείᾳ· «Ἐκεῖνος ποὺ μὲ ἀκολουθεῖ, δὲν θὰ περιπατήσῃ εἰς τὸ σκότος». Τὰς λέξεις φῶς καὶ σκότος τὰς χρησιμοποιεῖ μὲ πνευματικὴν σημασίαν. Δηλαδὴ ἐκεῖνος ποὺ μὲ ἀκολουθεῖ, δὲν μένει εἰς τὴν πλάνην.

Ἐδῶ ἀναφέρεται καὶ εἰς τὸν Νικόδημον, τὸν ὁποῖον καὶ ἐπαινεῖ διὰ τὸ μεγάλον θάρρος του καὶ ἐπαινεῖ καὶ τοὺς ὑπηρέτας δι' αὐτὸ ποὺ εἶχαν κάμει. Τὸ ὅτι ἐφώναξε, σημαίνει ὅτι ἤθελε δι' αὐτοῦ τοῦ τρόπου νὰ τοὺς προετοιμάσῃ, ὥστε ν' ἀκούσουν τὰ λόγια του. Συγχρόνως ὅμως ὑπαινίσσεται καὶ τοὺς Φαρισαίους, οἱ ὁποῖοι δολοπλοκοῦν κρυφίως εἰς τὸ σκότος καὶ εἰς τὴν πλάνην, ἀλλ' οἱ ὁποῖοι δὲν θὰ ὑπερισχύσουν τοῦ φωτός. Καὶ ὑπενθυμίζει εἰς τὸν Νικόδημον τὰ λόγια, τὰ ὁποῖα εἶχεν εἰπεῖ προηγουμένως· «Ὅποιος κάμνει τὸ κακόν, μισεῖ τὸ φῶς καὶ δὲν ἔρχεται εἰς τὸ φῶς, διὰ νὰ μὴ γίνουν φανερὰ τὰ ἔργα του»[5]. Καὶ ἐπειδὴ οἱ Φαρισαῖοι ἔλεγαν, ὅτι κανεὶς ἀπὸ τοὺς ἄρχοντες δὲν ἐπίστευσεν εἰς αὐτόν, δι' αὐτὸ λέγει· «Ὅποιος κάμνει τὸ κακόν, δὲν ἔρχεται εἰς τὸ φῶς», ἀποκαλύπτων ὅτι ἡ μὴ προσέλευσίς των δὲν ὠφείλετο εἰς τὴν ἀδυναμίαν τοῦ φωτός, ἀλλ' εἰς τὴν διεστραμμένην γνώμην των.

«Τότε οἱ Φαρισαῖοι τοῦ εἶπαν· «Σὺ δίδεις μαρτυρίαν διὰ τὸν ἑαυτόν σου;». Εἰς αὐτὰ ὁ Χριστὸς τοὺς ἀπήντησε· «Καὶ ἐὰν ἀκόμη δίδω μαρτυρίαν διὰ τὸν ἑαυτόν μου, ἡ μαρτυρία μου εἶναι ἀληθινή, διότι γνωρίζω ἀπὸ ποῦ ἔρχομαι καὶ ποῦ πηγαίνω, ἐνῷ σεῖς δὲν γνωρίζετε ἀπὸ ποῦ ἔρχομαι». Αὐτὸ ποὺ ὁ Χριστὸς μόλις εἶχεν εἰπεῖ, οἱ Ἰουδαῖοι τὸ παρουσιάζουν σὰν νὰ ἐλέχθη προηγουμένως. Ἀλλ' ὁ Χριστὸς καὶ τὸ ἐπιχείρημά των ἀνέτρεψε καὶ ἀπέδειξεν, ὅτι

ὅτι ἐκεῖνα ὡς πρὸς αὐτοὺς καὶ τὴν ὑπόνοιαν αὐτῶν διελέγετο, ἄνθρωπον αὐτὸν ὑποπτευόντων ψιλόν φησι· «Καὶ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν μαρτυρία μου, ὅτι οἶδα πόθεν ἔρχομαι». Τί ἐστι τοῦτο; Ἐκ τοῦ Θεοῦ εἰμι καὶ Θεὸς καὶ Υἱὸς Θεοῦ. Ὁ δὲ Θεὸς αὐτὸς ἑαυτῷ ἀξιόπιστος μάρτυρας· «Ὑμεῖς δὲ οὐκ οἴδατε». Ἐθελοκακεῖτε, φησί, καὶ εἰδότες προσποιεῖσθε μὴ εἰδέναι· ἀλλ' ἀπὸ ἀνθρωπίνης διανοίας ἅπαντα φθέγγεσθε, οὐδὲν πλέον βουλόμενοι τοῦ φαινομένου νοεῖν.

«Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε». Ὥσπερ τὸ κατὰ σάρκα ζῆν, τουτέστι, τὸ φαύλως ζῆν, οὕτω τὸ κατὰ σάρκα κρίνειν, ἀδίκως κρίνειν ἐστίν. «Ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω, ἡ ἐμὴ κρίσις δικαία ἐστίν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἀδίκως κρίνετε. Καὶ εἰ ἀδίκως κρίνομεν, φησί, διατί μὴ ἐγκαλεῖς; διατί μὴ κολάζεις; διατί μὴ κατακρίνεις; Ὅτι οὐκ ἐπὶ τοῦτο ἦλθον, φησί. Τοῦτο γάρ ἐστι τό, «Ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις μου ἀληθής ἐστι». Ἐπεὶ εἰ ἐβουλήθην κρῖναι, ὑμεῖς ἂν τῶν καταδεδικασμένων ἦτε. Καὶ ταῦτα οὐχὶ κρίνων λέγω, φησίν. Οὐ διὰ τοῦτο δὲ εἶπον, Οὐχὶ κρίνων λέγω, ὡς οὐ θαρρῶν, ὅτι εἰ ἔκρινον, εἷλον ἂν ὑμᾶς (καὶ γὰρ εἰ ἔκρινον, δικαίως ἂν ὑμᾶς κατεδίκασα)· ἀλλὰ νῦν καιρὸς κρίσεως οὐκ ἔστι. Καὶ περὶ τῆς μελλούσης μὲν κρίσεως ᾐνίξατο εἰπών, «Ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ». Ἐνταῦθα δὲ ᾐνίξατο, ὅτι οὐκ αὐτὸς μόνος αὐτοὺς καταδικάζει, ἀλλὰ καὶ ὁ Πατήρ. Εἶτα αὐτὸ συνεσκίασεν, εἰς τὴν αὐτοῦ μαρτυρίαν ἐνάγων· «Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι».

3. Τί οὖν ἂν εἴποιεν ἐνταῦθα οἱ αἱρετικοί; Τί πλέον

εἶχεν ὁμιλήσει σύμφωνα μὲ τὴν γνώμην των, διότι αὐτοὶ ἐνόμιζαν, ὅτι ἦτο ἁπλοῦς ἄνθρωπος. Καὶ λέγει· «Καὶ ἐὰν ἀκόμη δίδω μαρτυρίαν διὰ τὸν ἑαυτόν μου, ἡ μαρτυρία μου εἶναι ἀληθινή, διότι ξεύρω ἀπὸ ποῦ ἔρχομαι». Τί σημαίνει τοῦτο; Ἔχω ἔλθει ἀπὸ τὸν Θεὸν καὶ εἶμαι Θεὸς καὶ Υἱὸς τοῦ Θεοῦ. Καὶ ὁ Θεὸς εἶναι διὰ τὸν ἑαυτόν του ἀξιόπιστος μάρτυς. «Σεῖς ὅμως δὲν ξεύρετε». Μὲ τὴν θέλησίν σας κάμνετε τὸ κακὸν καὶ ἐνῷ τὸ ξεύρετε κάμνετε πὼς δὲν τὸ ξεύρετε, ἀλλ' ὁμιλεῖτε σύμφωνα μὲ τὴν ἀνθρωπίνην σας σκέψιν καὶ δὲν θέλετε νὰ καταλάβετε τίποτε πέραν ἀπὸ τὴν φαινομενικὴν ἄποψιν.

«Σεῖς κρίνετε σύμφωνα μὲ ἀνθρώπινα κριτήρια». Ὅπως ἡ γηΐνη ζωὴ σημαίνει ὅτι ζῇ κανεὶς κακῶς, ἔτσι καὶ ἐκεῖνος ποὺ κρίνει μὲ ἀνθρώπινα κριτήρια, σημαίνει ὅτι κρίνει ἀδίκως. «Ἐγὼ ὅμως δὲν κρίνω κανέναν καὶ ἡ ἰδική μου κρίσις εἶναι σύμφωνη μὲ τὴν ἀλήθειαν». Εἶναι σὰν νὰ τοὺς λέγῃ, Ἀδίκως κρίνετε. Καὶ ἂν κρίνωμεν ἀδίκως, ἐρωτοῦν, διατί δὲν μᾶς κατηγορεῖς; Διατί δὲν μᾶς τιμωρεῖς; Διατί δὲν μᾶς καταδικάζεις; Διότι ἐγώ, ἀπαντᾷ, δὲν ἦλθα διὰ νὰ κρίνω κανένα. «Ἐγὼ δὲν κρίνω κανένα. Καὶ ἐὰν ἐγὼ κρίνω, ἡ κρίσις μου εἶναι σύμφωνη μὲ τὴν ἀλήθειαν». Διότι ἐὰν ἤθελα νὰ κρίνω, σεῖς θὰ εἴχατε καταδικασθῆ. Καὶ λέγω ταῦτα, ὄχι διὰ νὰ κρίνω. Καὶ δὲν εἶπα δι' αὐτό, ὁμιλῶ ὄχι διὰ νὰ κρίνω, διότι πιστεύω ὅτι, ἂν ἔκρινα, θὰ σᾶς εἶχα τιμωρήσει (διότι, ἂν σᾶς ἔκρινα, δικαίως θὰ σᾶς κατεδίκαζα). Τώρα ὅμως δὲν εἶναι καιρὸς διὰ κρίσιν. Καὶ ἔκαμεν ὑπαινιγμὸν περὶ τῆς μελούσης κρίσεως, ὅταν εἶπε· «Διότι δὲν κρίνω ἐγὼ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ Πατὴρ ποὺ μὲ ἔστειλε». Καὶ ἐδῶ κάμνει ὑπαινιγμόν, ὅτι δὲν τοὺς καταδικάζει μόνος αὐτὸς ἀλλὰ καὶ ὁ Πατήρ. Ἔπειτα ὡμίλησεν ἀσαφέστερον περὶ αὐτοῦ καὶ παρουσίασε τὴν μαρτυρίαν περὶ τοῦ ἑαυτοῦ του· «Εἰς τὸν νόμον σας εἶναι γραμμένον, ὅτι ἡ μαρτυρία δύο ἀνθρώπων εἶναι ἔγκυρη».

3. Τί ἠμποροῦν νὰ ἰσχυρισθοῦν ἐπ' αὐτοῦ οἱ αἱρετικοί;

ἔχε τῶν ἀνθρώπων, εἰ ἁπλῶς οὕτως ἐκλάβοιμεν τὸ λεχθέν; Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων διὰ τοῦτο ὥρισται τοῦτο, ἐπειδὴ καθ' ἑαυτὸν οὐκ ἔστιν ἀξιόπιστός τις· ἐπὶ δὲ Θεοῦ, πῶς ἂν ἔχοι τοῦτο λόγον; Πῶς οὖν εἴρηται τὸ Δύο; ἆρα ἐπειδὴ δύο, ἢ ἐπειδὴ ἄνθρωποι διὰ τοῦτο δύο; Εἰ γὰρ ἐπειδὴ δύο εἰσί, τίνος ἕνεκεν οὐ κατέφυγεν ἐπὶ τὸν Ἰωάννην, οὐδὲ εἶπεν, Μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ Ἰωάννης; τίνος ἕνεκεν ἐπὶ τὸν ἄγγελον; τίνος ἕνεκεν ἐπὶ τοὺς προφήτας; καὶ γὰρ μυρίας ἂν εὗρεν ἄλλας μαρτυρίας. Ἀλλ' οὐ τοῦτο βούλεται δεῖξαι μόνον, ὅτι δύο, ἀλλ' ὅτι καὶ τῆς αὐτῆς οὐσίας.

Λέγουσιν αὐτῷ· «Τίς ἐστιν ὁ Πατήρ σου;». Εἶτά φησιν· «Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα». Ἐπειδὴ γὰρ εἰδότες ὡς οὐκ εἰδότες ἔλεγον καὶ ὡς πειράζοντες αὐτόν, οὐδὲ ἀποκρίσεως αὐτοὺς ἀξιοῖ. Διὰ τοῦτο λέγει λοιπὸν τρανότερον ἅπαντα καὶ μετὰ πλείονος παρρησίας, ἀπό τε τῶν σημείων καὶ τῆς διδασκαλίας τῶν ἀκολουθούντων τὴν μαρτυρίαν λαβών, τῷ ἐγγὺς εἶναι τὸν σταυρόν. «Οἶδα», γάρ, φησί, «πόθεν ἔρχομαι». Τοῦτο οὐ σφόδρα ἂν αὐτῶν καθήψατο· τὸ δὲ ἐπαγαγεῖν, «Καὶ ὅπου ἐγὼ ὑπάγω», μᾶλλον αὐτοὺς ἐφόβησεν ἄν, ὡς οὐ μέλλοντος αὐτοῦ μένειν ἐν τῷ θανάτῳ. Διατί δὲ οὐκ εἶπεν, ὅτι Οἶδα, ὅτι Θεός εἰμι, ἀλλ' ὅτι «Οἶδα πόθεν ἔρχομαι»; Ἀεὶ τὰ ταπεινὰ ἀναμίγνυσι τοῖς ὑψηλοῖς καὶ αὐτὰ δὲ ταῦτα περιστέλλει. Εἰπὼν γάρ, ὅτι «Ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ», καὶ τοῦτο δείξας, ἦλθεν ἐπὶ τὸ ταπεινότερον, ὡσανεὶ ἔλεγεν· Οἶδα παρὰ τίνος ἀπέσταλμαι, καὶ πρὸς τίνα ἀπέρχομαι. Οὕτω γὰρ οὐδὲν ἂν ἔσχον ἀντειπεῖν ἀκούσαντες ὅτι παρ' ἐκείνου ἀπέσταλται, καὶ πρὸς ἐκεῖνον ἄπεισιν. Οὐ γὰρ ἂν εἶπον, φησί, τί ψεῦδος,

Κατὰ τί πλεονεκτεῖ ὁ Χριστὸς ἀπὸ τοὺς ἀνθρώπους, ἂν δεχθοῦμεν τὰ λόγια του ἁπλῶς; Διότι διὰ τοὺς ἀνθρώπους ἔχει ὁρισθῆ τοῦτο διὰ τὸν λόγον ὅτι ὁ καθένας δὲν εἶναι ἀξιόπιστος διὰ τὸν ἑαυτόν του. Πῶς ἠμπορεῖ ὅμως νὰ ἰσχύῃ τοῦτο διὰ τὸν Θεόν; Πῶς ὅμως καθιερώθη τὸ Δύο; Ἢ ἐπειδὴ εἶναι δύο, ἢ ἐπειδὴ δι' αὐτὸν τὸν σκοπὸν ἀπαιτοῦνται δύο ἄνθρωποι. Ἂν εἶναι δύο, τότε διατί ὁ Χριστὸς δὲν τοὺς παρέπεμψεν εἰς τὸν Ἰωάννην, οὔτε εἶπε, Δίδω ἐγὼ μαρτυρίαν διὰ τὸν ἑαυτόν μου καὶ δίδει μαρτυρίαν δι' ἐμὲ ὁ Ἰωάννης; Διατί δὲν τοὺς παρέπεμψεν εἰς τὸν Ἄγγελον ἢ εἰς τοὺς Προφήτας; Διότι ἠμποροῦσε νὰ εὕρῃ χιλίας ἄλλας μαρτυρίας. Δὲν ἤθελεν ὅμως ν' ἀποδείξῃ τοῦτο, ἀλλ' ὅτι εἶναι τῆς αὐτῆς οὐσίας μὲ τὸν Πατέρα.

Ἔλεγαν λοιπὸν εἰς αὐτόν· «Ποῖος εἶναι ὁ Πατήρ σου;». Καὶ ὁ Χριστὸς τοὺς ἀπεκρίθη· «Οὔτε ἐμὲ γνωρίζετε, οὔτε τὸν Πατέρα μου». Ἐπειδὴ δηλαδὴ ἂν καὶ ἤξευραν ἔκαμναν πὼς δὲν ἤξευραν καὶ ἔλεγαν αὐτὰ δῆθεν διὰ νὰ τὸν δοκιμάσουν, δὲν τοὺς θεωρεῖ ἀξίους ἀπαντήσεως. Δι' αὐτὸ ὁμιλεῖ δυνατώτερον δι' ὅλα αὐτὰ καὶ μὲ μεγαλύτερον θάρρος καὶ λαμβάνει τὴν μαρτυρίαν ἀπὸ τὰ θαύματα καὶ ἀπὸ τὴν διδασκαλίαν ποὺ ἠκολούθει ἐκεῖνα, διότι ἤδη ἦτο πλησίον ὁ καιρὸς τῆς σταυρώσεώς του. «Ἐγὼ γνωρίζω ἀπὸ ποῦ ἔρχομαι», τοὺς λέγει. Αὐτὸ δὲν τοὺς ἔθιξε τόσον, ἀλλὰ αὐτὸ ποὺ ἐπρόσθεσε, «καὶ ποῦ ἐγὼ πηγαίνω», μᾶλλον τοὺς ἐφόβισε, διότι δὲν ἐπρόκειτο νὰ τὸν κρατήσῃ ὁ θάνατος ποὺ θὰ ὑφίστατο. Διατί ὅμως δὲν τοὺς εἶπε γνωρίζω ὅτι εἶμαι Θεός, ἀλλὰ γνωρίζω ἀπὸ ποῦ ἔρχομαι;». Πάντοτε ἀναμιγνύει τὰ ταπεινὰ μὲ τὰ ὑψηλὰ καὶ τὸ ἴδιο ὑποδηλώνει μὲ αὐτά. Διότι, ἀφοῦ εἶπεν, «Ἐγὼ δίδω μαρτυρίαν περὶ τοῦ ἑαυτοῦ μου» καὶ ἀφοῦ τὸ ἀπέδειξεν, ἦλθεν εἰς τὰ ταπεινότερα, σὰν νὰ τοὺς ἔλεγεν· Ἐγὼ γνωρίζω ἀπὸ ποῖον ἔχω ἀποσταλῆ καὶ εἰς ποῖον θὰ ἀπέλθω. Διότι ἔτσι δὲν θὰ ἠμποροῦσαν νὰ προβάλλουν καμμίαν ἀντίρρησιν, ὅταν θὰ ἤκουαν ὅτι ἔχει ἀποσταλῆ ἀπὸ ἐκεῖνον καὶ ὅτι θὰ ἐπανέλθῃ εἰς ἐκεῖνον. Διότι

ἐκεῖθέν τε ἥκων, καὶ ἐκεῖ ἀπιών, πρὸς τὸν ἀληθῆ Θεόν.

Ὑμεῖς δὲ οὐκ ἴστε τὸν Θεόν· διὰ τοῦτο κατὰ τὴν σάρκα κρίνετε. Οἱ γὰρ τοσούτων ἀκούσαντες τεκμηρίων τε καὶ ἐλέγχων, ἔτι λέγετε, «Οὐκ ἔστιν ἀληθής»· καὶ Μωϋσέα ἀξιόπιστον ἡγεῖσθε καὶ ὑπὲρ ὧν περὶ ἄλλων καὶ ὑπὲρ ὧν περὶ ἑαυτοῦ λέγει· τὸν δὲ Χριστὸν οὐκέτι. Τοῦτο κατὰ σάρκα κρίνειν ἐστίν. «Ἐγὼ δὲ οὐ κρίνω οὐδένα». Καὶ μὴν φησιν ὅτι «Ὁ Πατὴρ οὐ κρίνει οὐδένα». Πῶς οὖν ἐνταῦθά φησι, «Καὶ ἐὰν κρίνω δέ, ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι οὐκ εἰμὶ μόνος»; Πάλιν πρὸς τὴν ὑπόληψιν τὴν ἐκείνων φθέγγεται· τουτέστιν, Ἡ κρίσις ἡ ἐμὴ τοῦ Πατρός ἐστιν· οὐκ ἂν ἄλλως ἔκρινεν ὁ Πατὴρ κρίνων, εἰ μὴ ὡς ἐγώ· καὶ οὐκ ἂν ἄλλως ἐγώ, εἰ μὴ ὡς ὁ Πατήρ.

Τίνος δὲ ἕνεκεν καὶ τοῦ Πατρὸς ἐμνημόνευσεν; Οὐ γὰρ ἐνόμιζον ἀξιόπιστον εἶναι τὸν Υἱόν, εἰ μὴ τοῦ Πατρὸς τὴν μαρτυρίαν προσέλαβεν· ἄλλως δέ, οὐδὲ ἔστηκε τὸ λεχθέν. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, ὅταν δύο ἀλλοτρίῳ πράγματι μαρτυρῶσι, τότε ἡ μαρτυρία ἐστὶν ἀληθής· τοῦτο γάρ ἐστι δύο μαρτυρεῖν· εἰ δὲ μέλλοι τις ἑαυτῷ μαρτυρεῖν, οὐκ ἔτι δύο εἰσίν. Ὁρᾷς ὅτι δι' οὐδὲν ἕτερον τοῦτο εἴρηκεν, ἢ ἵνα δείξῃ ὁμοούσιον ἑαυτόν, καὶ δι' ἑαυτοῦ πάλιν δείξῃ οὐ δεόμενον αὐτὸν ἄλλης μαρτυρίας· καὶ δείξῃ οὐδὲν ἔλαττον ἔχοντα τοῦ Πατρός;

Ὅρα γοῦν τὴν αὐθεντίαν. «Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ». Οὐκ ἂν δὲ εἰ ἐλάττονος οὐσίας ἦν, τοῦτο ἂν ἔθηκεν. Νυνὶ δέ, ἵνα μὴ νομίσῃς ὅτι ἀριθμοῦ ἕνεκεν παρείληπται, θέα

δὲν σᾶς εἶπα τίποτε τὸ ψευδές, ὅταν ἐβεβαίωσα, ὅτι ἦλθα ἀπὸ ἐκεῖ καὶ θὰ ἐπιστρέψω ἐκεῖ, δηλαδὴ εἰς τὸν ἀληθινὸν Θεόν.

Σεῖς ὅμως δὲν γνωρίζετε τὸν Θεόν. Διὰ τοῦτο κρίνετε μὲ ἀνθρώπινα κριτήρια. Διότι ἂν καὶ ἠκούσατε τόσας ἀποδείξεις καὶ τόσας διαβεβαιώσεις, ἐξακολουθεῖτε νὰ λέγετε, «Δὲν εἶναι ἀληθινός». Ἐν τούτοις θεωρεῖτε ἀξιόπιστον τὸν Μωϋσῆν καὶ δι' ὅσα λέγει περὶ τῶν ἄλλων καὶ δι' ὅσα λέγει περὶ τοῦ ἑαυτοῦ του. Τὸν Χριστὸν ὅμως δὲν τὸν θεωρεῖτε ἀξιόπιστον. Αὐτὸ σημαίνει ὅτι κρίνετε μὲ ἀνθρώπινα κριτήρια. «Ἐγὼ ὅμως δὲν κρίνω κανέναν». Καὶ ὅμως εἶχεν εἰπεῖ, ὅτι «Ὁ Πατὴρ δὲν κρίνει κανένα». Διατί λοιπὸν ἐδῶ λέγει, «Καὶ ἐὰν ἐγὼ κρίνω, ἡ κρίσις μου εἶναι ἀληθινή, διότι δὲν εἶμαι μόνος»; Πάλιν ὁμιλεῖ σύμφωνα μὲ τὴν ἀντίληψίν των. Λέγει δηλαδή· Ἡ κρίσις ἡ ἰδική μου εἶναι καὶ κρίσις τοῦ Πατρός μου. Διότι, ἐὰν ἔκρινεν ὁ Πατήρ, δὲν θὰ ἔκρινεν διαφορετικὰ ἀπὸ ἐμέ, οὔτε καὶ ἐγὼ θὰ ἔκρινα διαφορετικὰ ἀπὸ τὸν Πατέρα.

Διατί ὅμως ἐνεθυμήθη τὸν Πατέρα; Διότι δὲν ἐνόμιζον ὅτι ὁ Υἱὸς εἶναι ἀξιόπιστος, ἐὰν δὲν προσεκόμιζε τὴν μαρτυρίαν τοῦ Πατρός. Ἄλλως δὲν θὰ ἔστεκεν ὁ λόγος του. Διότι εἰς τὴν περίπτωσιν τῶν ἀνθρώπων, ὅταν δίδουν μαρτυρίαν δύο περὶ ξένου πράγματος, τότε ἡ μαρτυρία εἶναι ἀληθινή. Αὐτὸ σημαίνει ὅτι δύο δίδουν μαρτυρίαν. Ἂν ὅμως πρόκειται κάποιος νὰ δώσῃ μαρτυρίαν διὰ τὸν ἑαυτόν του, δὲν εἶναι πλέον δύο οἱ μάρτυρες. Βλέπεις ὅτι αὐτὸ δὲν τὸ εἶπε διὰ κανέναν ἄλλον λόγον, παρὰ διὰ ν' ἀποδείξῃ ὅτι εἶναι τῆς αὐτῆς οὐσίας μὲ τὸν Πατέρα καὶ διὰ ν' ἀποδείξῃ ἐπὶ πλέον ὅτι δὲν ἔχει ἀνάγκην ἄλλης μαρτυρίας, ἀλλὰ καὶ διὰ νὰ βεβαιώσῃ ὅτι δὲν ὑστερεῖ εἰς τίποτε ἀπὸ τὸν Πατέρα;

Πρόσεχε λοιπὸν τὴν αὐθεντίαν του. «Ἐγὼ εἶμαι ποὺ δίδω μαρτυρίαν διὰ τὸν ἑαυτόν μου καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ Πατὴρ ποὺ μὲ ἔστειλεν». Ἂν ὅμως ἦτο κατωτέρας οὐσίας, δὲν θὰ προέβαλλεν αὐτὴν τὴν μαρτυρίαν. Ἔπειτα διὰ νὰ

τὴν ἐξουσίαν οὐδὲν ἔχουσαν παρηλλαγμένον. Μαρτυρεῖ ἄνθρωπος, ὅταν ἀφ' ἑαυτοῦ ἀξιόπιστος ᾖ, οὐχ ὅταν μαρτυρίας δέηται, καὶ τοῦτο ἐν ἀλλοτρίῳ πράγματι· ἐν δὲ ἰδίῳ ὅταν μαρτυρίας δέηται τῆς παρ' ἑτέρου, οὐκ ὅτι ἐστὶν ἀξιόπιστος. Ἐνταῦθα δὲ πᾶν τοὐναντίον. Καὶ γὰρ ἐν ἰδίῳ πράγματι μαρτυρῶν, καὶ παρ' ἑτέρου λέγων μαρτυρεῖσθαι, ἀξιόπιστον ἑαυτὸν εἶναί φησι, πανταχόθεν δεικνὺς ἑαυτοῦ τὴν αὐθεντίαν.

Διατί γὰρ εἰπών, «Οὐκ εἰμὶ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ»· καὶ τό, «Δύο ἀνθρώπων ἡ μαρτυρία ἐστὶν ἀληθής», οὐκ ἀπεσιώπησεν, ἀλλ' ἐπήγαγεν, «Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ»; Δῆλον ὅτι τὴν αὐθεντίαν δηλῶν. Καὶ πρῶτον μὲν ἑαυτὸν τέθεικεν· «Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ». Δείκνυσιν ἐνταῦθα τό τε ὁμότιμον, καὶ ὅτι οὐδὲν ὠφελοῦνται, τὸν Θεὸν λέγοντες εἰδέναι Πατέρα, αὐτὸν οὐκ εἰδότες. Καὶ τοῦτο αἴτιον εἶναί φησι, τὸ αὐτὸν μὴ θέλειν εἰδέναι. Λέγει οὖν, ὅτι οὐ δυνατὸν εἰδέναι τὸν Πατέρα αὐτοῦ χωρίς, ἵνα κἂν οὕτως αὐτοὺς ἐπισπάσηται εἰς τὴν αὐτοῦ γνῶσιν. Ἐπειδὴ γὰρ ἀφιέντες αὐτόν, ἀεὶ τὸν Πατέρα ἐζήτουν μαθεῖν, λέγει· «Οὐ δύνασθε εἰδέναι τὸν Πατέρα χωρὶς ἐμοῦ». Ὥστε οἱ τὸν Υἱὸν βλασφημοῦντες, οὐκ αὐτὸν βλασφημοῦσι μόνον, ἀλλὰ καὶ τὸν γεγεννηκότα.

4. Ταῦτα φύγωμεν ἡμεῖς, καὶ δοξάσωμεν τὸν Υἱόν. Καίτοι εἰ μὴ φύσεως ἦν τῆς αὐτῆς, οὐκ ἂν οὕτως εἶπεν. Εἰ γὰρ ἐδίδασκε μόνον, ἑτεροούσιος δὲ ἦν, ἐνῆν καὶ αὐτὸν ἀγνοοῦντα εἰδέναι τὸν Πατέρα· καὶ πάλιν οὐκ ἦν αὐτὸν εἰδότα πάντως, εἰδέναι τὸν Πατέρα. Οὐδὲ γὰρ ὁ ἄνθρωπον

μὴ νομίζῃς ὅτι τοῦτο ἐτέθη ἕνεκα τοῦ ἀριθμοῦ 'Δύο', κοίταξε ὅτι ἡ ἐξουσία κατ' οὐδὲν διαφέρει. Ὁ ἄνθρωπος δίδει μαρτυρίαν, ὅταν εἶναι ἀξιόπιστος ἀπὸ τὸν ἑαυτόν του καὶ ὄχι ὅταν ἔχῃ ἀνάγκην μαρτυρίας καὶ μάλιστα περὶ ξένου πράγματος. Προκειμένου ὅμως περὶ ἰδικοῦ του πράγματος, ὅταν ἔχῃ ἀνάγκην μαρτυρίας ἄλλου, τότε δὲν εἶναι ἀξιόπιστος. Ἐδῶ ὅμως συμβαίνει τὸ ἐντελῶς ἀντίθετον. Διότι, ὅταν ὁ Χριστὸς δίδῃ μαρτυρίαν περὶ ἰδίου πράγματος καὶ λέγει ὅτι μαρτυρεῖται ἀπὸ ἄλλον, βεβαιώνει ὅτι εἶναι ἀξιόπιστος καὶ ἀποδεικνύει ἀπὸ παντοῦ τὴν αὐθεντίαν του.

Τότε διατί, ὅταν εἶπε, «Δὲν εἶμαι μόνος, ἀλλ' ἐγὼ καὶ ὁ Πατὴρ ποὺ μὲ ἔστειλε», καὶ «Ἡ μαρτυρία δύο ἀνθρώπων εἶναι ἀληθινή», δὲν ἐσιώπησεν, ἀλλὰ προσέθεσεν, «Ἐγὼ εἶμαι ποὺ δίδω μαρτυρίαν διὰ τὸν ἑαυτόν μου»; Εἶναι φανερόν, ὅτι τὸ ἔκαμε διὰ νὰ ἐπιβεβαιώσῃ τὴν αὐθεντίαν του. Καὶ πρῶτα ἐτοποθέτησε τὸν ἑαυτόν του· «Ἐγὼ εἶμαι ποὺ δίδω μαρτυρίαν διὰ τὸν ἑαυτόν μου». Ἐδῶ ἀποδεικνύει ὅτι εἶναι ὁμότιμος μὲ τὸν Πατέρα καὶ ὅτι δὲν ἔχουν καμμίαν ὠφέλειαν μὲ τὸ νὰ ἰσχυρίζωνται ὅτι γνωρίζουν τὸν Θεὸν Πατέρα, ὄχι ὅμως καὶ τὸν Υἱόν. Καὶ αὐτὸ λέγει ὅτι εἶναι ἡ αἰτία, ὅτι δὲν θέλουν δηλαδὴ νὰ γνωρίσουν αὐτόν. Λέγει λοιπὸν ὅτι δὲν εἶναι δυνατὸν νὰ γνωρίζουν τὸν Πατέρα χωρὶς νὰ γνωρίζουν αὐτόν, διὰ νὰ προσελκύσῃ αὐτοὺς ὥστε νὰ τὸν γνωρίσουν. Ἐπειδὴ δηλαδὴ ἄφησαν αὐτὸν καὶ ἐζήτουν νὰ μάθουν διὰ τὸν Πατέρα, δι' αὐτὸ τοὺς λέγει· «Δὲν ἠμπορεῖτε νὰ γνωρίσετε τὸν Πατέρα χωρὶς ἐμέ». Ὥστε ἐκεῖνοι ποὺ βλασφημοῦν τὸν Υἱόν, δὲν βλασφημοῦν μόνον αὐτόν, ἀλλὰ καὶ τὸν Πατέρα.

4. Αὐτὰ ἂς ἀποφύγωμεν ἡμεῖς καὶ ἂς δοξάσωμεν τὸν Υἱόν. Καὶ ὅμως ἐὰν δὲν ἦτο τῆς αὐτῆς φύσεως, δὲν θὰ ὡμίλει ἔτσι. Διότι, ἐὰν ἐδίδασκε μόνον καὶ ἦτο ἀπὸ ἄλλην οὐσίαν, ἦτο δυνατὸν νὰ ἐγνώριζε κανεὶς τὸν Πατέρα, ἀλλὰ νὰ ἠγνόῃ αὐτόν. Καὶ πάλιν δὲν θὰ ἦτο δυνατὸν ἐκεῖνος ποὺ γνωρίζει πλήρως τὸν Υἱόν, νὰ γνωρίζῃ καὶ τὸν Πατέρα. Διότι

εἰδώς, οἶδεν ἄγγελον. Ναί, φησί· καὶ γὰρ ὁ τὴν κτίσιν εἰδώς, οἶδε τὸν Θεόν. Οὐδαμῶς. Πολλοὶ γάρ εἰσιν οἱ τὴν κτίσιν εἰδότες· μᾶλλον δὲ πάντες ἄνθρωποι (ὁρῶσι γὰρ αὐτήν), καὶ τὸν Θεὸν οὐκ ἴσασι. Δοξάζωμεν τοίνυν τὸν Υἱὸν τοῦ Θεοῦ, μὴ τῇ δόξῃ ταύτῃ μόνον, ἀλλὰ καὶ τῇ διὰ τῶν ἔργων. Αὕτη γὰρ ἐκείνης ἐκτὸς οὐδέν ἐστιν. «Ἴδε σύ», φησίν, «Ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύσῃ τῷ νόμῳ καὶ καυχᾶσαι ἐν Θεῷ. Ὁ οὖν διδάσκων τὸν ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ ἐν νόμῳ καυχόμενος, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;».

Ὅρα μή ποτε καὶ ἡμεῖς ἐπὶ τῇ ὀρθότητι τῆς πίστεως καυχώμενοι, διὰ τοῦ μὴ συμβαίνοντα τῇ πίστει τὸν βίον ἐπιδείκνυσθαι, τὸν Θεὸν ἀτιμάζωμεν, ποιοῦντες αὐτὸν βλασφημεῖσθαι. Καὶ γὰρ διδάσκαλον τῆς οἰκουμένης καὶ ζύμην καὶ φῶς καὶ ἅλας εἶναι βούλεται τὸν Χριστιανόν. Τί δέ ἐστι τὸ φῶς; βίος λάμπων, μηδὲν ἔχων ἐσκοτισμένον. Τὸ φῶς οὐχ ἑαυτῷ χρήσιμον, οὐδὲ τὸ ἅλας, οὐδὲ ἡ ζύμη, ἀλλ' εἰς ἑτέρους ἐπιδείκνυται τὴν ὠφέλειαν. Οὕτως οὐ τὴν ἑαυτῶν ὠφέλειαν ἀπαιτούμεθα μόνον, ἀλλὰ καὶ τὴν ἑτέρων. Τὸ γὰρ ἅλας ἐὰν μὴ ἁλίζῃ, οὐκ ἔστιν ἅλας. Καὶ ἕτερον δέ τι ἐνδείκνυται, ὅτι ἐὰν αὐτοὶ κατορθώσωμεν, ἔσονται πάντως καὶ ἕτεροι· ἕως δ' ἂν αὐτοὶ μὴ κατορθώσωμεν, οὐδὲ ἑτέρους ὀνῆσαι δυνησόμεθα. Μηδὲν μωρόν, μηδὲν χαῦνον παρ' ἡμῖν. Τοιαῦτα γὰρ τὰ κοσμικὰ πράγματα τοιαῦτα αἱ βιωτικαὶ φροντίδες. Διὰ τοῦτο αἱ παρθένοι μωραὶ ἐκλήθησαν, ὅτι περὶ τὰ μωρά, τὰ κοσμικὰ πράγματα, ἠσχόληντο· ἐνταῦθα μὲν συνάγουσαι, ἔνθα δὲ ἐχρῆν μὴ ἀποτιθέμεναι.

Δέος οὖν μὴ καὶ ἡμεῖς τὸ αὐτὸ πάθωμεν· δέος μὴ καὶ ἡμεῖς ῥυπαρὰ ἀπέλθωμεν ἐνδεδυμένοι ἱμάτια ἔνθα πάν-

---

6. Ρωμ. 2, 17.
7. Αὐτόθι 2, 21.

οὔτε γνωρίζει ἄγγελον ἐκεῖνος ποὺ γνωρίζει ἄνθρωπον. Ναί, θὰ εἰπῇς. Διότι ἐκεῖνος ποὺ γνωρίζει τὴν δημιουργίαν, γνωρίζει καὶ τὸν Θεόν, μᾶλλον ὅλοι οἱ ἄνθρωποι γνωρίζουν τὴν δημιουργίαν (διότι τὴν βλέπουν) ἀλλὰ δὲν γνωρίζουν τὸν Θεόν. Ἂς δοξάσωμεν λοιπὸν τὸν Υἱὸν τοῦ Θεοῦ ὄχι μόνον μὲ τὴν δόξαν τῶν λόγων ἀλλὰ καὶ μὲ τὴν δόξαν τῶν ἔργων. Διότι ἡ πρώτη χωρὶς τὴν δευτέραν δὲν εἶναι τίποτε. «Ἀλλὰ σὺ ὀνομάζεσαι Ἰουδαῖος καὶ ἐπαναπαύεσαι εἰς τὸν νόμον καὶ καυχᾶσαι διὰ τὸν Θεόν σου[6]. Σὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλον, τὸν ἑαυτόν σου δὲν τὸν διδάσκεις; Σὺ ποὺ καυχᾶσαι διὰ τὸν νόμον, ἀτιμάζεις τὸν Θεὸν παραβαίνων τὸν νόμον;»[7].

Πρόσεχε μήπως κάποτε καὶ ἡμεῖς ποὺ καυχόμεθα διὰ τὴν ὀρθὴν πίστιν μας, ἕνεκα τοῦ ὅτι δὲν διάγομεν ζωὴν σύμφωνον μὲ τὴν πίστιν, ἀτιμάζωμεν τὸν Θεὸν μὲ τὴν κατηγορίαν ὅτι τὸν βλασφημοῦμεν. Διότι θέλει τὸν Χριστιανὸν νὰ εἶναι διδάσκαλος τῆς οἰκουμένης, ζύμη, φῶς καὶ ἅλας. Καὶ τί εἶναι τὸ φῶς; Εἶναι λαμπρὸς βίος χωρὶς καμμίαν σκιάν. Τὸ φῶς δὲν εἶναι χρήσιμον διὰ τὸν ἑαυτόν του, οὔτε τὸ ἅλας, οὔτε ἡ ζύμη, ἀλλὰ παρέχει ὠφέλειαν εἰς τοὺς ἄλλους. Ἔτσι καὶ ἡμεῖς δὲν ἀπαιτοῦμεν τὴν ὠφέλειαν μόνον διὰ τοὺς ἑαυτούς μας, ἀλλὰ καὶ διὰ τοὺς ἄλλους. Διότι, ἐὰν τὸ ἅλας δὲν ἁλατίζῃ, δὲν εἶναι ἅλας. Αὐτὸ φανερώνει καὶ κάτι ἄλλο, ὅτι δηλαδή, ἐὰν ἐπιτύχωμεν ἡμεῖς, θὰ ὠφελήσωμεν καὶ ἄλλους. Ἐὰν ὅμως δὲν ἐπιτύχωμεν, δὲν θὰ ἠμπορέσωμεν νὰ ὠφελήσωμεν ἄλλους. Ἂς μὴ εἴμεθα λοιπὸν οὔτε ἀνόητοι οὔτε μαλθακοί. Διότι ἔτσι εἶναι τὰ βιωτικὰ πράγματα, τέτοιες εἶναι αἱ φροντίδες τοῦ βίου. Διὰ τοῦτο καὶ αἱ παρθένοι ὠνομάσθησαν μωραί, διότι ἠσχολοῦντο μὲ τὰ ἀνόητα καὶ βιωτικὰ πράγματα καὶ συγκέντρωναν ἀγαθὰ διὰ τὴν ἐδῶ ζωήν, δὲν ἐτοποθέτουν ὅμως αὐτὰ ἐκεῖ ποὺ ἔπρεπε νὰ τοποθετήσουν.

Ὑπάρχει λοιπὸν φόβος μήπως πάθωμεν καὶ ἡμεῖς τὸ ἴδιο. Ὑπάρχει φόβος μήπως φύγωμεν ἀπὸ ἐδῶ φοροῦντες

τες ἔχουσι λαμπρὰ καὶ περιφανῆ. Οὐδὲν γὰρ ἁμαρτίας ρυπαρώτερον, οὐδὲν ἀκαθαρτότερον. Διὸ τὴν φύσιν αὐτῆς ὁ Προφήτης ἑρμηνεύων ἐβόα· «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου». Καὶ εἰ βούλει μαθεῖν τῆς ἁμαρτίας τὸ δυσῶδες, ἐννόησον αὐτὴν μετὰ τὸ γενέσθαι, ὅταν τῆς ἐπιθυμίας ἀπαλλαγῆς, ὅταν μὴ ἔτι ἐνοχλῇ τὸ πῦρ, καὶ τότε ὄψει τίς ἐστιν ἡ ἁμαρτία. Ἐννόησον τὸν θυμόν, ὅταν ἐν γαλήνῃ ᾖς· ἐννόησον τὴν πλεονεξίαν, ὅταν ἔξω γένῃ τοῦ πάθους. Οὐδὲν αἰσχρότερον, οὐδὲν μιαρώτερον ἁρπαγῆς καὶ πλεονεξίας.

Ταῦτα συνεχῶς λέγομεν, οὐκ ἐνοχλεῖν ὑμῖν βουλόμενοι, ἀλλὰ κερδᾶναί τι μέγα καὶ θαυμαστόν. Ὁ γὰρ ἐκ τοῦ ἅπαξ μὴ κατορθώσας, ἴσως ἐκ τοῦ δεύτερον ἀκοῦσαι ποιήσει τοῦτο· καὶ ὁ δεύτερον παραδραμών, ἐκ τοῦ τρίτου διορθώσεται. Γένοιτο δὲ πάντας ἡμᾶς πάντων ἀπαλλαγέντας τῶν πονηρῶν, τὴν εὐωδίαν τοῦ Χριστοῦ ἔχειν ὅτι αὐτῷ ἡ δόξα, σὺν τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

8. Ψαλμ. 37, 6.

βρωμερὰ ἱμάτια ἐκεῖ ὅπου ὅλοι φοροῦν λαμπρὰ καὶ στολισμένα. Διότι δὲν ὑπάρχει τίποτε περισσότερον βρωμερὸν καὶ ἀκάθαρτον πρᾶγμα ἀπὸ τὴν ἁμαρτίαν. Δι' αὐτὸ καὶ ὁ Προφήτης περιγράφων τὴν φύσιν τῆς ἁμαρτίας ἔλεγε μὲ δυνατὴν φωνήν· «Ἐβρώμησαν καὶ ἐσάπησαν αἱ πληγαί μου»[8]. Καὶ ἐὰν θέλῃς νὰ γνωρίσῃς τὴν δυσοσμίαν τῆς ἁμαρτίας, σκέψου αὐτὴν μετὰ τὴν ἐκτέλεσίν της, ὅταν ἀπαλλαγῇς ἀπὸ τὴν ἐπιθυμίαν, ὅταν δὲν σὲ ἐνοχλῇ τὸ πῦρ, τότε θὰ ἴδῃς, τί εἶναι ἡ ἁμαρτία. Σκέψου τὸν θυμόν, ὅταν εἶσαι γαλήνιος. Σκέψου τὴν πλεονεξίαν, ὅταν ἀπαλλαγῇς ἀπὸ τὸ πάθος. Δὲν ὑπάρχει αἰσχρότερον καὶ βρωμερότερον ἀπὸ τὴν ἁρπαγὴν καὶ τὴν πλεονεξίαν.

Αὐτὰ τὰ λέγομεν συνεχῶς ὄχι ἐπειδὴ θέλομεν νὰ σᾶς ἐνοχλοῦμεν, ἀλλὰ διὰ νὰ ἔχετε κάποιαν ὠφέλειαν μεγάλην καὶ ἀξιοθαύμαστον. Διότι ἐκεῖνος ποὺ ἀκούει κάτι μίαν φορὰν καὶ δὲν διορθώνεται, ἴσως ὅταν τὸ ἀκούσῃ διὰ δευτέραν φορὰν νὰ τὸ ἐπιτύχῃ. Καὶ ἐκεῖνος ποὺ ἐξέφυγε διὰ δευτέραν φοράν, ἴσως διορθωθῇ μὲ τὴν τρίτην. Καὶ εἴθε ὅλοι μας ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ ὅλα τὰ πονηρά, ν' ἀποκτήσωμεν τὴν εὐωδίαν τοῦ Χριστοῦ, διότι εἰς αὐτὸν ἀνήκει ἡ δόξα σὺν τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΓ'.

'Ιω. 8, 20 - 30

«Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν· οὔπω γὰρ ἐληλύθει ἡ ὥρα αὐτοῦ».

1. Ὦ τῆς ἀνοίας τῆς Ἰουδαϊκῆς! Πρὸ τοῦ Πάσχα ζητοῦντες αὐτόν, εἶτα ἐν μέσῳ λαβόντες καὶ πολλάκις ἐπιχειρήσαντες κατασχεῖν, καὶ δι' ἑαυτῶν καὶ δι' ἑτέρων, καὶ οὐ δυνηθέντες, οὔτε οὕτως αὐτοῦ τὴν δύναμιν ἐξεπλάγησαν, ἀλλ' ἐπετίθεντο τῇ κακίᾳ, καὶ οὐκ ἀφίσταντο. Ὅτι γὰρ ἐπεχείρουν ἀεί, φησί· «Ταῦτα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν». Ἐν τῷ ἱερῷ ἐλάλει, καὶ ἐν τάξει διδασκάλου, ὃ μᾶλλον ἱκανὸν ἦν αὐτοὺς διεγεῖραι· καὶ ταῦτα ἐλάλει, ἐφ' οἷς ἐδάκνυντο καὶ ἐνεκάλουν, ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ Πατρί. Καὶ γὰρ τὸ «Δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι», τοῦτο ἐμφαίνει.

Ἀλλ' ὅμως, «Ταῦτα», φησίν, «ἐλάλει ἐν τῷ ἱερῷ», καὶ ἐν τάξει διδασκάλου, «καὶ οὐδεὶς αὐτὸν ἐπίασεν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ»· τουτέστιν, ὅτι οὐδέπω καιρὸς ἦν ἐπιτήδειος καθ' ὃν ἠθέλησε σταυρωθῆναι. Ὥστε καὶ τότε οὐ τῆς ἐκείνων δυνάμεως γέγονεν ἔργον, ἀλλὰ τῆς οἰκονομίας τῆς αὐτοῦ. Αὐτοὶ γὰρ καὶ πάλαι ἐβούλοντο, οὐκ ἴσχυον δέ· οὐ τοίνυν οὐδὲ τότε ἴσχυσαν ἄν, εἰ μὴ αὐτὸς συνεχώρησεν.

«Εἶπεν οὖν αὐτοῖς πάλιν ὁ Ἰησοῦς· Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με». Τί δήποτε λέγει τοῦτο συνεχῶς; Κατασείων

1. Ἰω. 8, 20.

ΟΜΙΛΙΑ ΝΓ'.

'Ιω. 8, 20 - 30

«Αὐτὰ τὰ λόγια τὰ εἶπεν ὁ 'Ιησοῦς πλησίον τοῦ θησαυροφυλακίου, ὅταν ἐδίδασκεν εἰς τὸν ναὸν καὶ κανεὶς δὲν τὸν ἔπιασε, διότι δὲν εἶχεν ἔλθει ἀκόμη ἡ ὥρα του»[1].

1. "Ω, πόσον μεγάλη ἦτο ἡ ἀνοησία τῶν 'Ιουδαίων. 'Ενῷ τὸν ἐζήτουν πρὸ τοῦ Πάσχα καὶ ἐνῷ τὸν εἶχαν περικυκλώσει καὶ ἐνῷ εἶχαν ἐπιχειρήσει πολλὰς φορὰς νὰ τὸν συλλάβουν καὶ αὐτοὶ οἱ ἴδιοι καὶ μὲ ἄλλους καὶ δὲν ἠμπόρεσαν, ἐν τούτοις δὲν ἐξεπλάγησαν μὲ τὴν τόσην δύναμίν του, ἀλλ' ἐπέμενον εἰς τὴν κακίαν των καὶ δὲν τὴν ἄφηναν. "Οτι δηλαδὴ προσεπάθουν τοῦτο, ἀποδεικνύεται ἀπὸ αὐτὸ ποὺ λέγει ὁ Εὐαγγελιστής· «Αὐτὰ τὰ λόγια τὰ εἶπεν ὁ 'Ιησοῦς πλησίον τοῦ θησαυροφυλακίου, ὅταν ἐδίδασκεν εἰς τὸν ναὸν καὶ κανεὶς δὲν τὸν ἔπιασεν». 'Ωμίλει εἰς τὸν ναὸν σὰν διδάσκαλος, πρᾶγμα ποὺ ἦτο ἀρκετὸν νὰ τοὺς ἐξερεθίσῃ περισσότερον. Καὶ μάλιστα ὡμίλει περὶ ἐκείνων, τὰ ὁποῖα τοὺς διήγειραν καὶ διὰ τὰ ὁποῖα τὸν κατηγόρουν, ὅτι ἔκαμνε τὸν ἑαυτόν του ἴσον μὲ τὸν Πατέρα. Διότι αὐτὸ ἀποδεικνύει ἡ φράσις του, «'Η μαρτυρία δύο ἀνθρώπων εἶναι ἀληθινή».

Λέγει ὅμως ὁ Εὐαγγελιστής, «Αὐτὰ τὰ λόγια τὰ εἶπεν εἰς τὸν ναὸν» καὶ σὰν διδάσκαλος, «καὶ κανεὶς δὲν τὸν ἔπιασε, διότι δὲν εἶχεν ἔλθει ἀκόμη ἡ ὥρα του», δηλαδὴ ὅτι δὲν ἦτο ἀκόμη ὁ καιρὸς κατάλληλος κατὰ τὸν ὁποῖον ἠθέλησε νὰ σταυρωθῇ. "Ωστε καὶ τότε αὐτὸ δὲν ἦτο ἔργον τῆς δυνάμεως τῶν 'Ιουδαίων, ἀλλὰ τῆς ἰδικῆς του οἰκονομίας. Αὐτοὶ τὸ ἤθελαν ἀπὸ πολὺν καιρόν, ἀλλὰ δὲν εἶχαν τὴν δύναμιν. Οὔτε καὶ τότε θὰ ἠμποροῦσαν, ἐὰν δὲν τὸ ἐπέτρεπεν ὁ ἴδιος.

«Εἶπεν λοιπὸν πάλιν ὁ 'Ιησοῦς εἰς αὐτούς· 'Εγὼ φεύγω καὶ θὰ μὲ ζητήσετε». Διὰ ποῖον λόγον ἐπαναλαμβάνει τοῦτο; Διὰ νὰ ταράξῃ τὰς ψυχάς των καὶ διὰ νὰ τοὺς φο-

αὐτῶν τὰς ψυχὰς καὶ φοβῶν. Ὅρα γὰρ ὅσον τοῦτο ἐνεποίει τὸν φόβον. Καὶ γὰρ ἀνελεῖν αὐτὸν βουλόμενοι ἵνα ἀπαλλαγῶσι, ζητοῦσιν ὅπου ὑπάγει· οὕτω μεγάλα ἀπὸ τοῦ πράγματος ἐφαντάζοντο. Καὶ ἕτερον δὲ διδάξαι αὐτοὺς ἐβούλετο, ὅτι οὐ τῆς ἐκείνων βίας τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ἄνωθεν αὐτὸ προδιετύπωσε, καὶ τὴν ἀνάστασιν ἤδη διὰ τούτων προέγραψε τῶν λόγων. Ἔλεγον οὖν· «Μήτι ἀποκτενεῖ ἑαυτόν;». Τί οὖν ὁ Χριστός; Ἀναιρῶν αὐτῶν τὴν ὑποψίαν καὶ δεικνὺς ὅτι τὸ πρᾶγμα ἁμάρτημά ἐστι, φησί· «Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οὐδὲν θαυμαστὸν ὑμᾶς τοιαῦτα ἐννοεῖν, ἀνθρώπους σαρκικούς, καὶ οὐδὲν λογιζομένους πνευματικόν· ἀλλ' οὐκ ἐγὼ πράξω τι τοιοῦτον. «Ἄνωθεν γάρ εἰμι· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ». Καὶ πάλιν ἐνταῦθα τὰς κοσμικὰς ἐννοίας καὶ σαρκικάς φησιν· ὅθεν δῆλον, ὅτι καὶ τό, «Ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου», οὐ τὸ σάρκα μὴ ἀνειληφέναι ἐστίν, ἀλλὰ τὸ πόρρω εἶναι τῆς ἐκείνων πονηρίας. Καὶ γὰρ τοὺς μαθητάς φησι μὴ εἶναι ἐκ τοῦ κόσμου, ἀλλ' ὅμως σάρκα εἶχον ἐκεῖνοι. Ὥσπερ οὖν ὁ Παῦλος λέγων, «Οὐκ ἐστὲ ἐν σαρκί», οὐχὶ ἀσωμάτους αὐτοὺς εἶναί φησιν, οὕτω λέγων τοὺς μαθητὰς οὐκ εἶναι ἐκ τοῦ κόσμου οὐδὲν ἕτερον, ἢ φιλοσοφίαν αὐτοῖς μαρτυρεῖ.

«Εἶπον οὖν ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθαι». Εἰ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ ἑτέρως αὐτὴν ἀποδύσασθαι οὐκ ἔνι, εἰ μὴ διὰ λουτροῦ, ἀνάγκη τὸν μὴ πιστεύοντα ἔχειν τὸν παλαιὸν ἄνθρωπον. Ὁ γὰρ μὴ βουλόμενος αὐτὸν θανατῶσαι διὰ τῆς πίστεως καὶ θάψαι, ἐναπο-

2. Ρωμ. 8, 9.

βήση. Καὶ πρόσεχε, πόσον φόβον τοὺς προξενεῖ τοῦτο. Ἐνῷ ἤθελαν νὰ τὸν φονεύσουν διὰ ν' ἀπαλλαγοῦν, τὸν ἐρωτοῦν ποῦ θὰ ὑπάγῃ. Τόσον μεγάλην γνώμην εἶχον σχηματίσει περὶ τοῦ πράγματος. Ἀλλὰ καὶ ἄλλο ἤθελε νὰ τοὺς διδάξῃ, ὅτι δηλαδὴ τὸ πρᾶγμα θὰ συμβῇ ἔτσι ὄχι ἕνεκα τῆς ἰδικῆς των βιαιότητος, ἀλλ' ἤδη τοῦτο εἶχε προαναγγελθῇ ἄνωθεν καὶ προεῖπε τὴν ἀνάστασίν του μὲ αὐτὰ τὰ λόγια. Ἔλεγαν τότε οἱ Ἰουδαῖοι· «Μήπως θ' αὐτοκτονήσῃ;». Ἀλλ' ὁ Χριστὸς διὰ νὰ τοὺς ἀφαιρέσῃ αὐτὴν τὴν ὑποψίαν καὶ διὰ νὰ τοὺς δείξῃ, ὅτι αὐτὸ τὸ πρᾶγμα ἦτο ἁμάρτημα, τοὺς εἶπε· «Σεῖς εἶσθε ἐκ τῶν κάτω», ποὺ σημαίνει· Δὲν εἶναι καθόλου παράδοξον, ὅτι σεῖς σκέπτεσθε κατ' αὐτὸν τὸν τρόπον, διότι εἶσθε ἄνθρωποι γήϊνοι καὶ δὲν συλλογίζεσθε κανὲν πνευματικόν. Ἀλλ' ἐγὼ δὲν θὰ πράξω κάτι παρόμοιον. «Διότι ἐγὼ εἶμαι ἐκ τῶν ἄνω. Σεῖς εἶσθε ἀπὸ αὐτὸν τὸν κόσμον». Καὶ ἐδῶ πάλιν ὁμιλεῖ διὰ τὰς κοσμικὰς καὶ γηΐνας σκέψεις. Ἑπομένως εἶναι φανερόν, ὅτι ἡ ἔκφρασις, «Ἐγὼ δὲν εἶμαι ἀπὸ αὐτὸν τὸν κόσμον», σημαίνει ὄχι ὅτι δὲν ἔλαβε σάρκα ἀλλ' ὅτι εὑρίσκεται μακρὰν ἀπὸ τὴν πονηρίαν ἐκείνων. Διότι καὶ διὰ τοὺς μαθητάς του εἶχεν εἰπεῖ ὅτι δὲν ἦσαν ἀπὸ τὸν κόσμον, ἀλλ' ὅμως ἐκεῖνοι εἶχον σάρκα. Ὅπως λοιπὸν ὁ Παῦλος ὅταν ἔλεγε, «Σεῖς ὅμως δὲν εἶσθε σαρκικοί»[2], δὲν ἐννοοῦσεν ὅτι ἦσαν χωρὶς σῶμα, ἔτσι καὶ ὁ Χριστὸς ὅταν ἔλεγε διὰ τοὺς μαθητάς του ὅτι δὲν εἶναι ἀπὸ τὸν κόσμον δὲν τοὺς ἀπέδιδε τίποτε ἄλλο, παρὰ 'φιλοσοφίαν'.

«Διὰ τοῦτο σᾶς εἶπα, ὅτι θὰ ἀποθάνετε μέσα εἰς τὰς ἁμαρτίας σας, ἐὰν δὲν πιστεύσετε, ὅτι ἐγὼ εἶμαι». Διότι, ἐὰν ἦλθε, διὰ νὰ σηκώσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ δὲν εἶναι δυνατὸν νὰ ἐκδιώξῃ αὐτὴν μὲ ἄλλον τρόπον παρὰ μὲ τὸ λουτρόν, εἶναι ἀνάγκη ἐκεῖνος ποὺ δὲν πιστεύει νὰ ἔχῃ τὸν παλαιὸν ἄνθρωπον. Διότι ἐκεῖνος ποὺ δὲν θέλει νὰ τὸν παραδώσῃ εἰς τὸν θάνατον καὶ νὰ τὸν θάψῃ ἕνεκα τῆς πίστεως, θὰ ἀποθάνῃ μαζὶ μὲ τὸν παλαιὸν ἄνθρωπον καὶ

θανεῖται αὐτῷ καὶ ἀπελεύσεται ἐκεῖ δώσων εὐθύνας τῶν προτέρον ἡμαρτημένων. Διὰ τοῦτο ἔλεγεν· «Ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται»· οὐ τῷ μὴ πιστεύειν μόνον, ἀλλ' ὅτι καὶ τὰ πρότερα ἁμαρτήματα ἔχων ἀπέρχεται.

Ἔλεγον οὖν· «Σὺ τίς εἶ;». Ὢ τῆς ἀνοίας! μετὰ χρόνον τοσοῦτον, καὶ σημεῖα, καὶ διδασκαλίαν, ἐρωτῶσι, «Σὺ τίς εἶ;». Τί οὖν ὁ Χριστός; «Τὴν ἀρχὴν ὅ,τι καὶ λαλῶ ὑμῖν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Τοῦ ὅλως ἀκούειν τῶν λόγων τῶν παρ' ἐμοῦ ἀνάξιοί ἐστι, μήτι γε καὶ μαθεῖν, ὅστις ἐγώ εἰμι. Ὑμεῖς γὰρ πάντα πειράζοντες φθέγγεσθε, καὶ οὐδενὶ τῶν παρ' ἐμοῦ προσέχοντες. Καὶ ταῦτα πάντα ἠδυνάμην ἐλέγξαι νῦν· τοῦτο γάρ ἐστι. «Πολλὰ ἔχω καὶ λέγειν καὶ κρίνειν»· οὐκ ἐλέγξαι δὲ μόνον, ἀλλὰ καὶ κολάσαι· ἀλλ' ὁ πέμψας με, τουτέστιν, ὁ Πατήρ, οὐ βούλεται τοῦτο. «Οὐ γὰρ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι τὸν κόσμον». «Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, φησίν, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον». Εἰ τοίνυν εἰς τοῦτό με ἀπέστειλεν, ἀληθὴς δέ ἐστιν, εἰκότως οὐδένα ἐγὼ κρίνω νῦν. Ἀλλὰ ταῦτα λαλῶ τὰ πρὸς σωτηρίαν, οὐ τὰ πρὸς ἔλεγχον. Λέγει δὲ ταῦτα, ἵνα μὴ νομίσωσιν ὅτι τοσαῦτα ἀκούων, παρὰ ἀσθένειαν οὐκ ἐπεξέρχεται, ἢ ὅτι οὐκ οἶδεν αὐτῶν τὰς διανοίας καὶ τὰς χλευασίας.

«Οὐκ ἔγνωσαν δὲ ὅτι τὸν Πατέρα αὐτοῖς λέγει». Ὢ τῆς ἀνοίας! οὐ διέλιπεν αὐτοῖς περὶ αὐτοῦ διαλεγόμενος, καὶ οὐκ ἐγίνωσκον. Εἶτα ἐπειδὴ πολλὰ σημεῖα ποιήσας καὶ διδάξας, οὐκ ἀπεσπάσατο, περὶ τοῦ σταυροῦ λοιπὸν διαλέγεται, λέγων· «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι καὶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ καὶ

3. Ἰω. 12, 47.
4. Αὐτόθι 3, 17.

θὰ μεταναστεύσῃ εἰς ἐκεῖνον, διὰ νὰ δώσῃ λόγον διὰ τὰς προηγουμένας ἁμαρτίας του. Διὰ τοῦτο ἔλεγεν· «Ἐκεῖνος ποὺ δὲν πιστεύει, ἔχει ἤδη κριθῆ», ὄχι μόνον διότι δὲν πιστεύει, ἀλλὰ καὶ διότι φεύγει φέρων μαζί του τὰ προηγούμενα ἁμαρτήματά του.

Ἔλεγαν λοιπὸν οἱ Ἰουδαῖοι εἰς αὐτόν· «Σὺ ποῖος εἶσαι;»· Ὤ, πόσον μεγάλη ἀνοησία! Τὸν ἐρωτοῦν μετὰ ἀπὸ τόσον χρόνον καὶ τόσα θαύματα καὶ διδασκαλίαν. «Σὺ ποῖος εἶσαι;». Τί ἀπήντησεν ὁ Χριστός; «Ὅ,τι σᾶς λέγω ἀπὸ τὴν ἀρχήν». Καὶ ὁ λόγος του σημαίνει· Εἶσθε ὅλως διόλου ἀνάξιοι νὰ ἀκούετε τὰ λόγια μου, ἀφοῦ δὲν ἠμπορέσατε νὰ μάθετε, ποῖος εἶμαι. Διότι σεῖς ὁμιλεῖτε πάντοτε διὰ νὰ μὲ δοκιμάσετε καὶ δὲν προσέχετε εἰς τὰ λεγόμενά μου. Καὶ ἠμπορῶ περὶ ὅλων νὰ σᾶς ἐλέγξω τώρα. Διότι αὐτὴν τὴν σημασίαν ἔχουν τὰ λόγια του· «Ἔχω πολλὰ νὰ εἰπῶ διὰ σᾶς καὶ νὰ σᾶς κατακρίνω». Καὶ ὄχι μόνον νὰ σᾶς κατακρίνω, ἀλλὰ καὶ νὰ σᾶς τιμωρήσω. Ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλε, δηλαδὴ ὁ Πατήρ μου, δὲν θέλει τοῦτο. «Διότι δὲν ἦλθα διὰ νὰ καταδικάσω τὸν κόσμον, ἀλλὰ διὰ νὰ σώσω τὸν κόσμον»[3]. «Διότι δὲν ἔστειλεν ὁ Θεὸς τὸν Υἱόν του εἰς τὸν κόσμον διὰ νὰ καταδικάσῃ τὸν κόσμον, ἀλλὰ διὰ νὰ σώσῃ τὸν κόσμον»[4]. Ἐὰν λοιπὸν μὲ ἀπέστειλε δι' αὐτό, εἶναι δὲ ἀληθινός, δικαίως ἐγὼ δὲν κρίνω τώρα κανένα. Ἀλλ' αὐτὰ λέγω ποὺ εἶναι διὰ τὴν σωτηρίαν σας καὶ ὄχι διὰ τὸν ἔλεγχόν σας. Καὶ αὐτὰ τὰ λέγει διὰ νὰ μὴ νομίσουν ὅτι, ἐνῷ ἀκούει τόσα, δὲν τοὺς ἀντιμετωπίζει ἀπὸ ἀδυναμίαν, ἢ ὅτι δὲν γνωρίζει τὰς σκέψεις των καὶ τὴν εἰρωνείαν των.

«Δὲν ἐκαταλάβαιναν ὅτι τοὺς ὡμίλει διὰ τὸν Πατέρα». Πόσον ἀνόητοι ἦσαν! Δὲν ἔπαυσε νὰ ὁμιλῇ περὶ αὐτοῦ συνεχῶς καὶ αὐτοὶ δὲν ἐκαταλάβαιναν. Ἔπειτα, ἐπειδὴ δὲν τοὺς προσείλκυσεν, ἂν καὶ εἶχε κάμει τόσα θαύματα καὶ διδασκαλίαν, ὁμιλεῖ πλέον περὶ τῆς σταυρώσεώς του καὶ λέγει· «Ὅταν θὰ ὑψώσετε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε θὰ γνωρίσετε ὅτι ἐγὼ εἶμαι καὶ ὅτι δὲν ὁμιλῶ ἀπὸ τὸν

ὅτι μετ' ἐμοῦ ἐστιν ὁ πέμψας με καὶ οὐκ ἀφῆκέ με μόνον ὁ Πατήρ». Δείκνυσιν ὅτι δικαίως ἔλεγε, «Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν».

2. Οὕτως οὐ προσεῖχον τοῖς λεγομένοις. «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου». Οὐχ ὑμεῖς τότε μάλιστα προσδοκᾶτε ἀπαλλαγήσεσθαί μου καὶ ἀναιρήσειν; Ἐγὼ δὲ λέγω, ὅτι Τότε μάλιστα «εἴσεσθε ὅτι ἐγώ εἰμι», τῶν τε σημείων ἕνεκεν καὶ τῆς ἀναστάσεως καὶ τῆς ἁλώσεως. Πάντα γὰρ ταῦτα ἱκανὸς ἦν ἐμφῆναι αὐτοῦ τὴν ἰσχύν. Καὶ οὐκ εἶπε, Τότε γνώσεσθε τίς εἰμι. Ὅταν γὰρ ἴδητε, φησίν, ὅτι οὐδὲν ἀπὸ τοῦ θανάτου πείσομαι, «Τότε γνώσεσθε ὅτι ἐγώ εἰμι»· τουτέστιν, ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ ὁ πάντα φέρων καὶ ἄγων καὶ οὐκ ἐναντίος ἐκείνῳ. Διὰ τοῦτο γοῦν ἐπήγαγε, «Καὶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ οὐδέν». Ἀμφότερα γὰρ εἴσεσθε, καὶ τὴν ἰσχὺν τὴν ἐμήν, καὶ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν Πατέρα. Τὸ γάρ, «Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ οὐδέν», τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ, καὶ τὸ οὐδὲν ἐκτὸς τῶν πατρικῶν νοημάτων φθέγγεσθαι. Ὅταν γὰρ ἐκπέσητε τῆς λατρείας, ὅταν μὴ συγχωρηθῇ ὑμῖν μηδὲ αὐτὸν θεραπεύειν, ὡς πρὸ τούτου, τότε εἴσεσθε ὅτι ἀμύνων ἐμοὶ ταῦτα ποιεῖ, καὶ παροξυνόμενος ὑπὲρ τῶν μὴ ἀκουσάντων μου· ὡσανεὶ ἔλεγεν· Οὐκ ἂν εἴ γε ἀντίθεός τις ἤμην καὶ ἀλλότριος, τοσαύτην ἂν ὀργὴν καθ' ὑμῶν ἐκίνησε. Τοῦτο καὶ Ἠσαΐας φησί· «Δώσει τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ»· καὶ ὁ Δαυΐδ, «Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ»· καὶ αὐτός, «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος».

Καὶ αἱ παραβολαὶ τὸ αὐτὸ δηλοῦσιν, ὅταν λέγῃ· «Τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις ὁ κύριος τοῦ ἀμπελῶνος ἐ-

---

5. Ἠσ. 53, 9.
6. Ψαλμ. 2, 5.
7. Ματθ. 23, 38.

ἑαυτόν μου καὶ ὅτι ἐκεῖνος ποὺ μὲ ἔστειλεν εἶναι μαζί μου καὶ ὁ Πατὴρ δὲν μὲ ἄφησε μόνον». Ἀποδεικνύει ὅτι δικαίως ἔλεγεν, «Ὅ,τι σᾶς λέγω ἀπὸ τὴν ἀρχήν».

2. Μέχρις αὐτοῦ τοῦ σημείου δὲν ἐπρόσεχαν εἰς ὅσα τοὺς ἔλεγεν. «Ὅταν θὰ ὑψώσετε τὸν Υἱὸν τοῦ ἀνθρώπου». Δὲν ἐλπίζετε ὅτι θ' ἀπαλλαγῆτε ἀπὸ ἐμὲ καὶ ὅτι πέραν τοῦ θανάτου μου τίποτε ἄλλο δὲν θὰ συμβῇ; Ἐγὼ ὅμως σᾶς λέγω ὅτι τότε μάλιστα «θὰ γνωρίσετε ὅτι εἶμαι ἐγὼ» καὶ ἐξ αἰτίας τῶν θαυμάτων καὶ ἐξ αἰτίας τῆς ἀναστάσεώς μου καὶ ἐξ αἰτίας τῆς ἁλώσεως τῆς πόλεως. Διότι ὅλα αὐτὰ ἦσαν ἀρκετὰ νὰ φανερώσουν τὴν δύναμήν του. Καὶ δὲν εἶπε, τότε θὰ γνωρίσετε, ποῖος εἶμαι. Διότι, λέγει, ὅταν ἰδῆτε, ὅτι δὲν θὰ πάθω τίποτε ἀπὸ τὸν θάνατον, «Τότε θὰ γνωρίσετε ὅτι εἶμαι ἐγώ», δηλαδὴ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ὁποῖος φέρω καὶ ὁδηγῶ τὰ πάντα καὶ δὲν εἶμαι ἀντίθετος τοῦ Θεοῦ. Διὰ τοῦτο ἐπρόσθεσε· «Καὶ δὲν λέγω τίποτε ἀπὸ τὸν ἑαυτόν μου». Διότι θὰ γνωρίσετε καὶ τὰ δύο, δηλαδὴ καὶ τὴν ἰδικήν μου δύναμιν καὶ τὴν συμφωνίαν μου μὲ τὸν Πατέρα. Διότι ἡ φράσις του, «Δὲν λέγω τίποτε ἀπὸ τὸν ἑαυτόν μου», φανερώνει τὴν αὐτὴν οὐσίαν καὶ ὅτι δὲν ὁμιλεῖ πέραν ἀπὸ τὰς σκέψεις τοῦ Πατρός. Διότι, ὅταν ἀπομακρυνθῆτε ἀπὸ τὴν λατρείαν, ὅταν δὲν θὰ σᾶς ἐπιτραπῇ οὔτε νὰ τὸν λατρεύετε, κατὰ τὴν παλαιὰν συνήθειαν, τότε θὰ γνωρίσετε ὅτι ὁ Πατήρ μου κάμνει ταῦτα διὰ νὰ μὲ ὑπερασπίσῃ καὶ διότι ὀργίζεται ἐναντίον σας, ποὺ δὲν ἠθέλατε νὰ μὲ ἀκούσετε. Διότι, ἐὰν ἐγὼ ἤμουν κάποιος ἀντίθετος πρὸς τὸν Θεὸν καὶ ξένος πρὸς αὐτόν, δὲν θὰ ὠργίζετο τόσον πολὺ ἐναντίον σας. Αὐτὸ τὸ βεβαιώνει καὶ ὁ Ἠσαΐας, ὅταν λέγῃ· «Θὰ δώσῃ ἀσεβεῖς ἀντὶ τῆς ταφῆς του»[5]. Ἀλλὰ καὶ ὁ Δαυΐδ λέγει· «Τότε θὰ ὁμιλήσῃ πρὸς αὐτοὺς μὲ ὅλην τὴν ὀργήν του»[6]. Καὶ λέγει ὁ ἴδιος ἀλλοῦ· «Ἰδοὺ ἐγκαταλείπεται ὁ οἶκος σας ἔρημος»[7].

Ἀλλὰ καὶ αἱ παραβολαὶ ἔχουν τὴν ἰδίαν σημασίαν. Ὅπως π.χ. «Τί θὰ κάμῃ ὁ κύριος τῆς ἀμπέλου εἰς τοὺς

κείνου; Κακοὺς κακῶς ἀπολέσει αὐτούς». Ὁρᾷς ὅτι πανταχοῦ διὰ τὸ μηδέπω πιστεύεσθαι οὕτω φθέγγεται; Ἐπεὶ εἰ αὐτοὺς ἀπολεῖ, ὥσπερ οὖν καὶ ἀπολεῖ («Φέρετε», γάρ, φησίν, «αὐτοὺς ὧδε τοὺς μὴ θέλοντάς με βασιλεῦσαι καὶ κατασφάξατε»), τίνος ἕνεκεν οὐκ αὐτοῦ φησιν ἔργον, ἀλλὰ τοῦ Πατρὸς τὸ γινόμενον; Πρὸς τὴν ἐκείνων ἀσθένειαν διαλεγόμενος· ὁμοῦ δὲ καὶ τιμῶν τὸν γεγεννηκότα. Διὰ τοῦτο οὐκ εἶπεν, Ἀφίω τὸν οἶκον ὑμῶν ἔρημον, ἀλλ' «Ἀφίεται»· τοῦτο μὲν γὰρ ἀπροσώπως τέθεικε. Διὰ δὲ τοῦ εἰπεῖν, «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε;», εἶτα ἐπαγαγεῖν, ὅτι «Ἀφίεται», δείκνυσιν ὅτι αὐτὸς τὴν ἐρήμωσιν εἰργάζετο.

Ἐπειδὴ γάρ φησίν, εὐεργετούμενοι καὶ θεραπευόμενοι οὐκ ἠθελήσατε γνῶναι, κολαζόμενοι εἴσεσθε ὅστις ἐγώ. «Καὶ μετ' ἐμοῦ ἐστιν ὁ Πατήρ». Ἵνα γὰρ μὴ νομίσωσι τό, «Ὁ πέμψας με», ἐλαττώσεως εἶναι, λέγει, «Μετ' ἐμοῦ ἐστι». Τὸ μὲν γάρ, τῆς οἰκονομίας· τὸ δέ, τῆς θεότητος. «Καὶ οὐκ ἀφῆκέ με μόνον, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε». Πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον κατήγαγε, πρὸς ἐκεῖνα συνεχῶς ἱστάμενος ὅπερ ἔλεγον, ὅτι οὐκ ἔστιν ἐξ αὐτοῦ, καὶ ὅτι τὸ Σάββατον οὐ τηρεῖ, πρὸς τοῦτό φησι· «Τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε»· δεικνύς, ὅτι καὶ τὸ λύεσθαι τὸ Σάββατον, ἀρεστὸν αὐτῷ. Οὕτω γοῦν καὶ ἐπὶ τοῦ σταυροῦ φησι· «Δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα μου;». Καίτοι γε εἰπὼν μόνον· «Τέκνα ζητεῖτε;», ἔρριψεν ὑπτίους.

---

8. Αὐτόθι, 21, 40-41.
9. Λουκᾶ. 19, 27.
10. Αὐτόθι 13, 34.

γεωργοὺς ἐκείνους; Θὰ τοὺς ἐξολοθρεύσῃ μὲ τὸν χειρότερον τρόπον»[8]. Βλέπεις, ὅτι παντοῦ ὁμιλεῖ μὲ τὸν αὐτὸν τρόπον, ἐπειδὴ οἱ Ἰουδαῖοι δὲν ἐπίστευον ἀκόμη εἰς αὐτόν; Ἐὰν λοιπὸν τοὺς ἐξολοθρεύσῃ, ὅπως πράγματι θὰ τοὺς ἐξολοθρεύσῃ (διότι λέγει· «Φέρετε ἐδῶ αὐτοὺς ποὺ δὲν ἤθελαν νὰ εἶμαι βασιλεὺς καὶ σφάξετέ τους ἐνώπιόν μου»[9]), διατί λέγει ὅτι τὸ ἔργον ποὺ ἐκτελεῖται δὲν εἶναι ἰδικόν του, ἀλλὰ τοῦ Πατρός του; Ἀφ' ἑνὸς μὲν ἐπειδὴ ἀπευθύνεται πρὸς τὴν πνευματικὴν ἀδυναμίαν ἐκείνων, ἀφ' ἑτέρου δὲ διὰ νὰ τιμήσῃ τὸν Πατέρα. Δι' αὐτὸ δὲν εἶπεν, Ἐγκαταλείπω τὸν οἶκον σας ἔρημον, ἀλλὰ «Ἐγκαταλείπεται», θέσας τὸ ρῆμα ἀπροσώπως. Ἀλλὰ μὲ τὰ λόγια ποὺ εἶπε, «Πόσας φορὰς ἠθέλησα νὰ συγκεντρώσω τὰ τέκνα σας καὶ δὲν ἠθελήσατε»[10] καὶ μὲ τὸ «Ἐγκαταλείπεται», ποὺ ἐπρόσθεσεν, ἀποδεικνύει ὅτι αὐτὸς εἶναι ὁ πρωτεργάτης τῆς ἐρημώσεως.

Ἐπειδὴ δηλαδή, τοὺς λέγει, ἂν καὶ εὐηργετήθητε καὶ ἂν καὶ ἐθεραπεύθητε ἀπὸ ἐμέ, δὲν ἠθελήσατε νὰ γνωρίσετε, ποῖος εἶμαι ἐγώ, θὰ τὸ γνωρίσετε μὲ τὴν τιμωρίαν ποὺ θὰ ὑποστῆτε. «Καὶ ὁ Πατὴρ εἶναι μαζί μου». Καὶ διὰ νὰ μὴ νομίσουν ὅτι «Ἐκεῖνος ποὺ μὲ ἔστειλε» σημαίνει μείωσίν του λέγει, «Εἶναι μαζί μου». Διότι τὸ μὲν πρῶτον εἶναι ἀπόδειξις τῆς οἰκονομίας, τὸ δὲ δεύτερον τῆς θεότητος. «Καὶ δὲν μὲ ἄφησε μόνον, διότι ἐγὼ κάμνω πάντοτε ὅσα τοῦ εἶναι ἀρεστά». Πάλιν κατεβίβασε τὸν λόγον εἰς χαμηλότερον ἐπίπεδον, διὰ νὰ ἀντικρούσῃ αὐτὸ ποὺ οἱ Ἰουδαῖοι ἔλεγαν συχνά, ὅτι δηλαδὴ δὲν προέρχεται ἀπὸ τὸν Θεὸν καὶ ὅτι δὲν τηρεῖ τὸ Σάββατον. Δι' αὐτὸ λέγει, «Ἐγὼ κάμνω ὅσα τοῦ εἶναι ἀρεστά». Ἔτσι ἀποδεικνύει ὅτι καὶ ἡ κατάλυσις τοῦ Σαββάτου εἶναι ἀρεστὴ εἰς αὐτόν. Ἔτσι ὡμίλησε καὶ ὅταν ἦτο ἐπάνω εἰς τὸν Σταυρόν. «Μήπως νομίζετε, ὅτι δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου;». Ἀλλὰ καὶ ὅταν μόνον τοὺς ἠρώτησε, «Ποῖον ζητεῖτε;», τοὺς ἔκαμε νὰ τὰ χάσουν.

Τί οὖν οὐ λέγει, Δοκεῖτε ὅτι οὐ δύναμαι ὑμᾶς ἀπολέσαι ἔργῳ τοῦτο ἐπιδειξάμενος; Πρὸς τὴν ἀσθένειαν αὐτῶν καταβαίνει. Πολλὴν γὰρ ἐποιεῖτο σπουδήν, ὥστε δεῖξαι ὅτι οὐδὲν ἐναντίον ποιεῖ τῷ Πατρί, Οὕτω δὴ καὶ ἐνταῦθα ἀνθρωπινώτερον φθέγγεται. Ὥσπερ δὲ τό, «Οὐκ ἀφῆκέ με μόνον», εἴρηται· οὕτω καὶ τό, ὅτι «Ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. Ταῦτα αὐτοῦ λαλήσαντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν». Ὅτε εἰς τὸ ταπεινὸν τὸν λόγον κατήγαγε τότε πολλοὶ ἐπίστευσαν. Ἔτι οὖν ἐρωτᾷς, τίνος ἕνεκεν ταπεινῶς φθέγγεται; Καίτοι γε σαφῶς ὁ εὐαγγελιστὴς ᾐνίξατο τοῦτο, εἰπών, ὅτι «Ταῦτα αὐτοῦ λαλήσαντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν»· μονονουχὶ βοῶν διὰ τούτων τῶν πραγμάτων.

Μὴ θορυβοῦ, ὦ ἀκροατά, ἐάν τι ταπεινὸν ἀκούσῃς. Οὐ γὰρ μετὰ τοσαύτην διδασκαλίαν μηδέπω πεπεισμένοι ὅτι παρὰ τοῦ Πατρός ἐστιν, εἰκότως ταπεινότερα ἤκουον ἵνα πεισθῶσι. Καὶ τοῦτο οὖν ἀπολογία ἐστὶν ὑπὲρ τῶν μελλόντων ταπεινῶς εἰρήσεσθαι. Ἐπίστευσαν μὲν οὖν, οὐχ ὡς ἐχρῆν δέ, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν, ἡσθέντες καὶ ἀναπαυσάμενοι ἐπὶ τῇ τῶν λόγων ταπεινότητι. Ὅτι γὰρ οὐ τελείαν πίστιν εἶχον, δείκνυσιν ὁ εὐαγγελιστὴς ἐκ τῶν μετὰ ταῦτα λόγων, ἐν οἷς αὐτὸν πάλιν ὑβρίζουσι. Καὶ ὅτι οὗτοι αὐτοί εἰσιν ἐκεῖνοι, ἐδήλωσεν εἰπών· «Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ», δεικνὺς ὅτι οὐδέπω παρεδέξαντο τὴν διδασκαλίαν, ἀλλὰ μόνον προσεῖχον τοῖς λεγομένοις. Διὸ καὶ πληκτικώτερον εἶπεν. Ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπεν, «Ζητήσετέ με»· νῦν δὲ μεῖζον προσέθηκεν, ὅτι «Ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε». Καὶ τὸ πῶς δείκνυσιν, ὅτι οὐ δύνασθε ἐλθόντες ἐκεῖ, παρακαλέσαι με λοιπόν. «Ταῦτα ἃ λαλῶ εἰς τὸν κόσμον». Διὰ τούτων ἐδήλωσε λοιπὸν ἐξερχόμενον αὐτὸν εἰς τὰ ἔθνη. Ἐπειδὴ δὲ οὐκ ἔγνωσαν λοιπὸν ὅτι τὸν

Διατί λοιπὸν τοὺς λέγει· Νομίζετε ὅτι δὲν ἠμπορῶ νὰ σᾶς ἐξολοθρεύσω, ἀφοῦ ἀπέδειξε τοῦτο μὲ τὰ ἔργα; Κατεβαίνει εἰς τὴν πνευματικήν των ἀδυναμίαν. Διότι ἐφρόντιζε μὲ κάθε τρόπον, ὅτι δὲν κάμνει τίποτε ἐναντίον τοῦ Πατρός. Ἔτσι λοιπὸν καὶ ἐδῶ ὁμιλεῖ μὲ ἀνθρώπινον τρόπον. Καὶ ὅπως εἶχεν εἰπεῖ, «Δὲν μὲ ἄφησε μόνον», ἔτσι εἶπεν ἐπίσης, «Ἐγὼ κάμνω πάντοτε ὅσα τοῦ εἶναι ἀρεστά». Ὅταν κατεβίβασε τὸν λόγον εἰς χαμηλότερον ἐπίπεδον, τότε ἐπίστευσαν πολλοί. Καὶ ἐρωτᾷς λοιπὸν ἀκόμη, διὰ ποῖον λόγον ὁμιλεῖ εἰς χαμηλὸν ἐπίπεδον; Καὶ ὅμως ὁ Εὐαγγελιστὴς σαφῶς ὑπῃνίχθη τοῦτο, ὅταν εἶπεν, ὅτι «Ἐνῷ ἔλεγεν αὐτά, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν», σχεδὸν σὰν νὰ φωνάζῃ δι' αὐτὰ τὰ πράγματα.

Μὴ ἀνησυχῇς, ἀκροατά, ἐὰν ἀκούσῃς κάτι ταπεινόν. Διότι αὐτοὶ ποὺ δὲν εἶχαν ἀκόμη πεισθῆ ἔπειτα ἀπὸ τόσην διδασκαλίαν, ὅτι προέρχεται ἀπὸ τὸν Πατέρα, δικαίως ἤκουαν τὰ περισσότερον ἁπλᾶ διὰ νὰ πεισθοῦν. Καὶ αὐτὸ συνηγορεῖ διὰ τὰ μέλλοντα νὰ λεχθοῦν μὲ ἁπλᾶ λόγια. Διότι ἐπίστευσαν μέν, ὄχι ὅμως ὅπως ἔπρεπεν, ἀλλ' ἁπλῶς καὶ τυχαίως, ἐπειδὴ ηὐχαριστήθησαν καὶ ἀνεκουφίσθησαν ἀπὸ τὴν ἁπλότητα τῶν λόγων. Διότι ὁ Εὐαγγελιστὴς ἀποδεικνύει μὲ ὅσα λέγει κατόπιν, ὅτι δὲν εἶχον τελείαν πίστιν διότι πάλιν ὕβριζον τὸν Χριστόν· «Ἔλεγε λοιπὸν ὁ Ἰησοῦς εἰς τοὺς Ἰουδαίους ποὺ εἶχαν πιστεύσει εἰς αὐτόν· Ἐὰν σεῖς μείνετε εἰς τὸν λόγον μου», διὰ νὰ τοὺς ἀποδείξῃ, ὅτι ποτὲ δὲν εἶχαν πιστεύσει εἰς τὴν διδασκαλίαν του, ἀλλ' ἐπρόσεχαν μόνον εἰς τὰ λόγια του. Δι' αὐτὸ καὶ ὡμίλησεν εἰς αὐτοὺς αὐστηρότερον. Διότι προηγουμένως εἶχεν εἰπεῖ, «Θὰ μὲ ζητήσετε», ἐνῷ τώρα προσέθεσε τὸ σοβαρώτερον, «Θὰ ἀποθάνετε μέσα εἰς τὴν ἁμαρτίαν σας». Καὶ δεικνύει καὶ μὲ ποῖον τρόπον, λέγων ὅτι δὲν θὰ ἠμπορέσετε πλέον νὰ ἔλθετε ἐκεῖ, διὰ νὰ μὲ παρακαλέσετε. «Αὐτὰ εἶναι τὰ ὁποῖα λέγω εἰς τὸν κόσμον». Μὲ αὐτὰ τὰ λόγια δηλώνει, ὅτι τοῦ λοιποῦ θ' ἀπευθυνθῇ εἰς τοὺς ἐθνικούς. Καὶ ἐπειδὴ οἱ Ἰουδαῖοι δὲν ἐκα-

Πατέρα αὐτοῖς λέγει ἔμπροσθεν, πάλιν φθέγγεται περὶ αὐτοῦ· καὶ τὴν αἰτίαν τῆς ταπεινότητος τῶν ῥημάτων τέθεικεν ὁ εὐαγγελιστής.

3. Ἂν οὕτω τοίνυν θέλωμεν τὰς Γραφὰς ἐρευνᾶν μετὰ ἀκριβείας καὶ μὴ ἁπλῶς, δυνησόμεθα τῆς σωτηρίας τῆς ἡμετέρας ἐπιτυχεῖν· ἂν διὰ παντὸς αὐταῖς ἐνδιατρίβωμεν, καὶ δογμάτων ὀρθότητα, καὶ βίον εἰσόμεθα ἠκριβωμένον. Κἂν σφόδρα σκληρός τις εἴη, καὶ ἀπηνής, καὶ χαῦνος, κἂν μηδὲν κερδαίνῃ ἐν τοῖς ἄλλοις χρόνοις, τὸν χρόνον γοῦν καρπώσεται τοῦτον, καὶ λήψεταί τινα ὠφέλειαν, εἰ καὶ μὴ τοσαύτην ὡς αἴσθησιν ἔχειν, ἀλλ' ὅμως λήψεται. Εἰ γὰρ μυρεψεῖόν τις παριὼν καὶ προσκαθήμενος ἐργαστηρίοις τοιούτοις, καὶ ἄκων ἀναχρώννυνται ἐκ τῆς εὐωδίας, πολλῷ μᾶλλον ἂν ἐκκλησίαν ἀπιών. Ὥσπερ γὰρ ἐξ ἀργίας ἀργία τίκτεται, οὕτω καὶ ἐκ τῆς ἐνεργείας προθυμία γεννᾶται. Κἂν μυρίων ᾖς γέμων κακῶν, κἂν ἀκάθαρτος, μὴ φύγῃς τὴν ἐνταῦθα διατριβήν.

Τί οὖν, φησίν, ὅτι ἀκούων οὐ ποιῶ; Οὐ μικρὸν τὸ κέρδος ταλανίζειν ἑαυτόν· οὐκ ἄχρηστος οὗτος ὁ φόβος· οὐκ ἄκαιρον τοῦτο τὸ δέος. Ἐὰν στενάξῃς μόνον, ὅτι ἀκούων οὐ ποιῶ, πάντως καὶ ἐπὶ τὸ ποιεῖν ἥξεις ποτέ. Οὐ γὰρ ἔνεστι τῷ Θεῷ διαλεγόμενον καὶ ἀκούοντα Θεοῦ διαλεγομένου, μὴ κερδαίνειν. Εὐθέως γοῦν συστελλόμεθα, καὶ τὰς χεῖρας νιπτόμεθα, ὅταν βιβλίον βουλώμεθα λαβεῖν. Ὁρᾷς καὶ πρὸ τῆς ἀναγνώσεως πόση εὐλάβεια; Ἂν δὴ καὶ μετὰ ἀκριβείας ἐπέλθωμεν, πολλὴν καρπωσόμεθα τὴν ὠφέλειαν. Οὐ γὰρ ἄν, εἰ μὴ ἐν εὐλαβείᾳ καθίστη τὴν ψυχήν, τὰς χεῖρας ἂν ἀπενιψάμεθα· καὶ γυνή, κἂν ἀκατακάλυπτος ᾖ, περιτίθεται εὐθέως τὸ φάρος, τῆς ἔνδοθεν εὐλαβείας τὸ δεῖγμα ἐν-

τάλαβαν ὅτι προηγουμένως ὡμίλει διὰ τὸν Πατέρα, πάλιν κάμνει λόγον περὶ αὐτοῦ. Καὶ ὁ Εὐαγγελιστὴς ἐξήγησε καὶ τὴν αἰτίαν τῆς ἁπλότητος τῶν λόγων του.

3. Ἂν θέλωμεν καὶ ἡμεῖς νὰ ἐρευνῶμεν τὰς Γραφὰς μὲ ἐπιμέλειαν καὶ ὄχι τυπικῶς, θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὴν σωτηρίαν μας. Ἂν ἀσχολούμεθα διαρκῶς μὲ αὐτάς, θ' ἀποκτήσωμεν καὶ δογματικὴν ἀλήθειαν καὶ εὐσεβῆ ζωήν. Καὶ ὅσον καὶ ἂν εἶναι κανεὶς σκληρός, στρυφνὸς καὶ τρυφηλὸς καὶ ὅσον καὶ οὐδὲν ὠφελήθη ἀπὸ τὸν προηγούμενον χρόνον, θ' ἀπολαύσῃ ἀπὸ αὐτὸν καὶ θὰ ἔχῃ κάποιαν ὠφέλειαν, μολονότι ὄχι τόσον μεγάλην, ὥστε νὰ τὴν αἰσθάνεται, ὅμως θὰ ὠφεληθῇ. Διότι, ἐὰν μεταβῇ κανεὶς καὶ καθήσῃ εἰς ἐργαστήριον ἀρωμάτων καὶ χωρὶς νὰ θέλῃ ἀπορροφᾷ κάποιαν εὐωδίαν, πολὺ περισσότερον συμβαίνει τοῦτο εἰς ἐκεῖνον ποὺ ἐκκλησιάζεται. Διότι, ὅπως ἀπὸ τὴν ἀργίαν γεννᾶται ἡ ἀπροθυμία, ἔτσι καὶ ἀπὸ τὴν ἐργασίαν γεννᾶται ἡ προθυμία. Καὶ ἂν ἀκόμη εἶσαι γεμᾶτος ἀπὸ κακὰ καὶ ἂν ἀκόμη εἶσαι ἀκάθαρτος εἰς τὴν ψυχήν, μὴ ἀποφύγῃς νὰ συχνάζῃς ἐδῶ.

Ποῖον τὸ κέρδος, θὰ ἐρωτήσῃς, ἂν δὲν κάμνω αὐτὰ ποὺ ἀκούω; Δὲν εἶναι μικρὸν τὸ κέρδος, ἐὰν ἀναγνωρίσῃς τὴν ἀθλιότητά σου. Δὲν εἶναι ἄχρηστος αὐτὸς ὁ φόβος, οὔτε ἄκαιρον τὸ δέος. Ἐὰν ἀναστενάξῃς μόνον, διότι δὲν ἔκαμες ὅσα ἤκουσες, θὰ φθάσῃς κάποτε εἰς τὴν ἀπόφασιν νὰ τὰ κάμῃς. Διότι δὲν εἶναι δυνατὸν ἐκεῖνος ποὺ ὁμιλεῖ μὲ τὸν Θεὸν καὶ ἀκούει τὸν Θεὸν νὰ ὁμιλῇ, νὰ μὴ ἔχῃ κέρδος. Διότι, ὅταν θέλωμεν νὰ διαβάσωμεν ἕνα βιβλίον, ἀμέσως συγκεντρωνόμεθα καὶ πλύνομεν τὰ χέρια μας. Βλέπεις, πόσην προσοχὴν δεικνύομεν πρὶν ἀπὸ τὴν ἀνάγνωσιν; Ἂν λοιπὸν κάμνωμεν τοῦτο συνεχῶς μὲ ἐπιμέλειαν, θὰ ἀποκτήσωμεν μεγάλην ὠφέλειαν. Διότι δὲν θὰ ἐνίπταμεν τὰ χέρια μας, ἐὰν δὲν εἴχαμεν ἐγκαταστήσει εἰς τὴν ψυχήν μας τὸν σεβασμόν. Καὶ μία γυναῖκα καὶ ἂν ἀκόμη εἶναι ἀκάλυπτος, φορεῖ ἀμέσως τὸ ἔνδυμά της, διὰ νὰ δώσῃ τὴν

δεικνυμένη· καὶ ἀνήρ, ἐὰν κατακεκαλυμμένος ᾖ, γυμνοῖ τὴν κεφαλήν. Ὁρᾷς πῶς κῆρυξ γίνεται τῆς ἔνδον εὐλαβείας τὸ ἔξωθεν σχῆμα; Εἶτα καὶ εἰς ἀκρόασιν καθίσας, ἐστέναξε πολλάκις καὶ κατέγνω τοῦ βίου τοῦ παρόντος.

Προσέχωμεν τοίνυν ταῖς Γραφαῖς, ἀγαπητοί· καὶ εἰ μηδὲν ἕτερον, τὰ γοῦν εὐαγγέλια περισπούδαστα ἡμῖν γινέσθω, καὶ ταῦτα μεταχειριζώμεθα. Εὐθέως γάρ, ἀναπτύξας τὸ βιβλίον, τοῦ Χριστοῦ τὸ ὄνομα ὄψει ἐγκείμενον, καὶ ἀκούσῃ εὐθέως λέγοντος· «Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις ἦν οὕτω. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου». Ὁ δὲ ταῦτα ἀκούων, ἐπιθυμήσει παρθενίας εὐθέως, θαυμάζεται τὸν τόκον, ἀπαλλαγήσεται τῆς γῆς. Οὐ μικρὰ καὶ ταῦτα, ὅταν ἴδῃς καὶ Πνεύματος καταξιουμένην τὴν παρθένον, καὶ ἄγγελον αὐτῇ διαλεγόμενον. Καὶ ταῦτα μὲν ἐξ ἐπιπολῆς· εἰ δὲ ἐπιμείνῃς μέχρι τέλους ἐπιών, πάντα εὐθέως διαπτύσεις τὰ βιωτικά, πάντων καταγελάσῃ τῶν ἐνταῦθα· κἂν πλούσιος ᾖς, οὐδὲν ἡγήσῃ τὸν πλοῦτον, ἀκούσας ὅτι τέκτονος οὖσα ἐκείνη καὶ ταπεινῆς οἰκίας, μήτηρ τοῦ Δεσπότου σου γέγονε· κἂν πένης ᾖς, οὐκ ἐπαισχυνθήσῃ τὴν πενίαν, μαθὼν ὅτι τὴν εὐτελεστάτην οἰκίαν οὐκ ἐπῃσχύνθη ὁ τοῦ κόσμου Δημιουργός.

Ταῦτα ἐννοῶν, οὐχ ἁρπάσεις, οὐ πλεονεκτήσεις, οὐ λήψῃ τὰ τῶν ἑτέρων σύ· ἀλλ' ἐραστὴς ἔσῃ μᾶλλον πενίας, καὶ ὑπερόψει τὸν πλοῦτον. Ἂν δὲ τοῦτο γένηται, πάντα ἐξορίεῖς τὰ κακά. Πάλιν ὅταν ἴδῃς αὐτὸν ἐπὶ φάτνης κείμενον, οὐ σπουδάσεις τῷ παιδίῳ σου περιθεῖναι κόσμον χρυσοῦν,

---

11. Ματθ. 1, 18.

ἀπόδειξιν τῆς ἐσωτερικῆς της εὐσεβείας. Καὶ ἕνας ἄνδρας ἐὰν εἶναι τελείως ἐνδεδυμένος, ἔχει ὅμως ἀκάλυπτον τὴν κεφαλήν. Βλέπεις, πῶς τὸ ἐξωτερικὸν ἔνδυμα εἶναι ἀπόδειξις τῆς ἐσωτερικῆς εὐσεβείας; Ἔπειτα, ἀφοῦ καθίσῃ οὗτος καὶ ἀκούσῃ, ἀναστενάζει πολλὰς φορὰς καὶ καταδικάζει τὴν προηγουμένην ζωήν του.

Ἂς προσέχωμεν λοιπόν, ἀγαπητοί μου εἰς τὰς ἁγίας Γραφὰς καὶ ἂν ὄχι τίποτε ἄλλο, τουλάχιστον ἂς μελετῶμεν τὰ Εὐαγγέλια καὶ ἂς χρησιμοποιοῦμεν ταῦτα. Διότι ἅμως μόλις ἀνοίξῃς τὸ βιβλίον, θὰ ἰδῇς ν' ἀναφέρεται πρῶτον τὸ ὄνομα τοῦ Χριστοῦ καὶ θ' ἀκούσῃς τὸν Εὐαγγελιστὴν νὰ λέγῃ· «Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις ἔγινε κατὰ τὸν ἑξῆς τρόπον. Ἀφοῦ ἡ μήτηρ του Μαρία ἐμνηστεύθη τὸν Ἰωσήφ, εὑρέθη ἔγκυος ἐκ Πνεύματος ἁγίου»[11]. Καὶ ὅποιος ἀκούει αὐτά, ἀμέσως καταλαμβάνεται ἀπὸ ἀγάπην πρὸς τὴν παρθενίαν, θαυμάζει τὴν γέννησιν, φεύγει ἀπὸ τὴν γῆν. Διότι αὐτὰ δὲν εἶναι ὀλίγα, ὅταν ἰδῇς ὅτι ἡ Παρθένος γίνεται ἀξία τοῦ ἁγίου Πνεύματος καὶ ὅτι συζητεῖ μὲ ἄγγελον. Καὶ αὐτὰ μὲν ἀπὸ ἐπιπολαίαν ἄποψιν. Ἐὰν ὅμως ἐπιμείνῃς νὰ μελετήσῃς μέχρι τέλους, ἀμέσως θ' ἀποκρούσῃς ὅλα τὰ γήϊνα, θὰ περιγελάσῃς ὅλα τὰ ἐδῶ. Καὶ ἂν εἶσαι πλούσιος, θὰ θεωρήσῃς τὸν πλοῦτον ὡς τίποτε, ὅταν ἀκούσῃς ὅτι ἡ Παρθένος ποὺ ὑπῆρξε σύζυγος καὶ ἀπὸ φτωχὴν οἰκογένειαν, ἔχει γίνει μήτηρ τοῦ Κυρίου σου. Ἂν πάλιν εἶσαι φτωχός, δὲν θὰ ἐντραπῇς διὰ τὴν φτώχειαν σου, ὅταν μάθῃς ὅτι τὴν πτωχικὴν ἐκείνην οἰκίαν δὲν ἐντράπηκεν ὁ Δημιουργὸς τοῦ κόσμου.

Ὅταν καταλάβῃς αὐτά, δὲν θὰ ἁρπάσῃς, δὲν θὰ πλεονεκτήσῃς, δὲν θὰ κλέψῃς, τὰ πράγματα τῶν ἄλλων, ἀλλὰ θ' ἀγαπήσῃς περισσότερον τὴν φτώχειαν καὶ θὰ περιφρονήσῃς τὸν πλοῦτον. Καὶ ἂν γίνῃ τοῦτο, θ' ἀπομακρύνῃς ὅλα τὰ κακά. Ὅταν πάλιν ἰδῇς αὐτὸν νὰ εἶναι ἐξαπλωμένος εἰς τὴν φάτνην, δὲν θὰ φροντίσῃς νὰ στολίσῃς τὸ παιδί σου μὲ χρυσᾶ στολίδια, οὔτε θὰ κατασκευάσῃς διὰ τὴν γυ-

οὐδὲ τῇ γυναικὶ ἀργυρένδετον ποιῆσαι κλίνην. Ταῦτα δὲ μὴ σπουδάζων, οὐδὲ τὰς ἐκ τούτων ἐργάσῃ πλεονεξίας καὶ ἁρπαγάς. Πολλὰ καὶ ἕτερα ἔστι κερδᾶναι, ἅπερ οὐκ ἔνεστι νῦν κατὰ μέρος λέγειν· εἴσονται δὲ οἱ πεῖραν εἰληφότες.

Διὸ παρακαλῶ καὶ κτᾶσθαι βιβλία, καὶ μετὰ τῶν βιβλίων τὰ νοήματα κατέχειν, καὶ ταῖς διανοίαις ἐγγράφειν. Οἱ μὲν γὰρ Ἰουδαῖοι, ἐπειδὴ οὐ προσεῖχον, τῶν χειρῶν ἐκελεύοντο τὰ βιβλία ἐξαρτᾶν· ἡμεῖς δὲ οὔτε ἐν χερσίν, ἀλλ' ἐν οἰκίᾳ τίθεμεν, δέον ἐντυποῦν τῇ καρδίᾳ. Οὕτω γὰρ τὸν παρόντα ἐκκαθαίροντες βίον, τευξόμεθα τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ναῖκα σου κλίνην ἀργυρόδετον. Ἐὰν δὲν φροντίζῃς δι' αὐτά, δὲν θὰ χρησιμοποιήσῃς τὴν πλεονεξίαν καὶ τὴν ἁρπαγήν, ποὺ προέρχεται ἀπὸ αὐτά. Καὶ πολλὰ ἄλλα ἠμπορεῖς νὰ κερδίσῃς, τὰ ὁποῖα δὲν εἶναι δυνατὸν ν' ἀπαριθμήσω λεπτομερῶς, ἀλλὰ τὰ ὁποῖα γνωρίζουν, ὅσοι ἔχουν ἀποκτήσει πεῖραν.

Δι' αὐτὸ σᾶς παρακαλῶ νὰ προμηθεύεσθε βιβλία, νὰ συγκεντρώνετε τὰ νοήματά των καὶ νὰ τὰ ἐγγράφετε εἰς τὸν νοῦν σας. Διότι οἱ Ἰουδαῖοι, ἐπειδὴ δὲν ἐπρόσεχαν, εἶχαν διαταχθῆ νὰ κρατοῦν τὰ βιβλία εἰς τὰ χέρια των. Ἡμεῖς ὅμως δὲν τὰ κρατοῦμεν εἰς τὰ χέρια μας, ἀλλὰ τ' ἀφήνομεν εἰς τὰς οἰκίας μας, ἐνῷ ἔπρεπε νὰ τὰ ἔχωμεν τυπωμένα εἰς τὴν καρδίαν μας. Διότι ἀφοῦ ἐκκαθαρίσωμεν τὴν παροῦσαν ζωήν μας κατ' αὐτὸν τὸν τρόπον, θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εὔχομαι δι' ὅλους μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΔ΄.

Ἰω. 8,31 - 47

«Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς».

1. Πολλῆς ὑπομονῆς δεῖται τὰ ἡμέτερα, ἀγαπητοί. Ἡ δὲ ὑπομονὴ γίνεται, ὅταν κατὰ βάθους ἐρριζωμένα τὰ δόγματα ᾖ. Καθάπερ γὰρ τὴν δρῦν τὴν εἰς τοὺς κάτω κόλπους ἀφιεῖσαν τὰς ρίζας καὶ περισφιγγομένην μετὰ ἀκριβείας, οὐδεὶς ἄνεμος προσπεσὼν ἀνασπάσαι δυνήσεται, οὕτω δὴ καὶ τὴν ψυχὴν τὴν καθηλωμένην τῷ τοῦ Θεοῦ φόβῳ, οὐδεὶς περιτρέψαι δυνήσεται· τοῦ γὰρ ἐρριζῶσθαι, τὸ καθηλῶσθαι πλέον ἐστί. Τοῦτο γοῦν ὁ Προφήτης εὔχεται λέγων· «Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου». Οὕτω καὶ σὺ καθήλωσον καὶ σύναψον, ὡσανεὶ ἥλῳ προσπεπερονημένῳ. Ὥσπερ γὰρ οὗτοι δυσάλωτοι, οὕτως οἱ ἐναντίοι εὐάλωτοι γίνονται καὶ καταρριπτοῦνται ῥαδίως· ὅπερ καὶ τότε ἔπασχον οἱ Ἰουδαῖοι. Ἀκούσαντες γὰρ καὶ πιστεύσαντες, πάλιν ἐξετράπησαν.

Βουλόμενος οὖν ἐμβαθῦναι τὴν πίστιν αὐτῶν ὁ Χριστός, ὥστε μὴ ἐπιπολαίαν εἶναι, διασκάπτει τὴν ψυχὴν πληκτικωτέροις λόγοις. Τῶν γὰρ πιστευόντων ἦν καὶ ἐλέγχων ἀνέχεσθαι· οἱ δὲ εὐθέως ἠγρίαινον. Πῶς δὲ τοῦτο ποιεῖ; Πρῶτον παραγγέλλει· «Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντως μαθηταί μού ἐστε καὶ ἡ ἀλήθεια ἐλευθερώσει

---

1. Ἰω. 8, 31-32.
2. Ψαλμ. 118-120.

ΟΜΙΛΙΑ ΝΔ΄.

'Ιω. 8,31 - 47

«Εἶπε λοιπὸν ὁ 'Ιησοῦς εἰς τοὺς 'Ιουδαίους ποὺ εἶχαν πιστεύσει εἰς αὐτόν. 'Εὰν σεῖς μείνετε εἰς τὸν λόγον μου, θὰ εἶσθε πραγματικὰ μαθηταί μου καὶ θὰ γνωρίσετε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια θὰ σᾶς ἐλευθερώσῃ»[1].

1. "Εχομεν ἀνάγκην ἀπὸ μεγάλην ὑπομονήν, ἀγαπητοί μου. Καὶ ἡ ὑπομονὴ ἀποκτᾶται, ὅταν τὰ δόγματα ἔχουν τὰς ρίζας των εἰς τὴν καρδίαν μας. Διότι, ὅπως ἀκριβῶς τὴν δρῦν ποὺ ἔχει ἁπλώσει τὰς ρίζας της βαθέως εἰς τὸ χῶμα καὶ συγκρατεῖται μὲ αὐτὰς στερεὰ κανεὶς ἄνεμος δὲν ἠμπορεῖ νὰ τὴν ξερριζώσῃ, ὅσον δυνατὰ καὶ ἂν φυσᾷ, ἔτσι καὶ τὴν ψυχὴν ποὺ εἶναι ἀφωσιωμένη εἰς τὸν φόβον τοῦ Θεοῦ δὲν θὰ ἠμπορέσῃ κανεὶς νὰ τὴν ἀποσπάσῃ ἀπὸ αὐτόν. Διότι ἡ προσήλωσις εἶναι ἰσχυροτέρα ἀπὸ τὸ ρίζωμα. Τοῦτο εὔχεται καὶ ὁ Προφήτης, ὅταν λέγῃ· «Καθήλωσε μὲ τὸν φόβον σου τὰς σάρκας μου»[2]. "Ετσι πρέπει νὰ προσηλωθῇς καὶ νὰ συνδεθῇς καὶ σύ, σὰ νὰ εἶσαι καρφωμένος μὲ καρφὶ ποὺ τρυπᾷ βαθειά. Διότι ὅπως αὐτοὶ ποὺ εἶναι ἀφωσιωμένοι κατ' αὐτὸν τὸν τρόπον δύσκολα αἰχμαλωτίζονται, ἔτσι καὶ οἱ ἀντίθετοι τούτων εὔκολα αἰχμαλωτίζονται καὶ ἀπομακρύνονται ταχέως. Αὐτὸ ἀκριβῶς εἶχαν πάθει καὶ οἱ 'Ιουδαῖοι τότε. Διότι, ἐνῷ εἶχαν ἀκούσει τὸν Χριστὸν καὶ εἶχαν πιστεύσει εἰς αὐτόν, πάλιν ἀπεμακρύνθησαν.

'Επειδὴ λοιπὸν ὁ Χριστὸς ἤθελε νὰ κάμῃ σταθερωτέραν τὴν πίστιν των, ὥστε νὰ μὴ εἶναι ἐπιφανειακή, ἐρευνᾷ τὴν ψυχήν των μὲ ἐπιτιμητικώτερα λόγια. Διότι ἀπόδειξις ἐκείνων ποὺ πιστεύουν ἦτο νὰ ἀνέχωνται καὶ τὸν ἔλεγχον. Οἱ 'Ιουδαῖοι ὅμως ὠργίζοντο ἀμέσως. Καὶ πῶς κάμνει τοῦτο ὁ Χριστός; Πρῶτον τοὺς δίδει τὴν παραγγελίαν· «'Εὰν σεῖς μείνετε εἰς τὸν λόγον μου, θὰ εἶσθε πραγματικὰ μαθηταί μου καὶ ἡ ἀλήθεια θὰ σᾶς ἐλευθερώσῃ», σὰν νὰ τοὺς λέγῃ·

ὑμᾶς»· μονονουχὶ λέγων, Μέλλω βαθεῖαν διδόναι τομήν, ἀλλὰ μὴ σαλεύεσθε. Μᾶλλον δὲ καὶ διὰ τούτων αὐτῶν τὸν τῦφον αὐτῶν τῆς διανοίας κατέστειλε. Τίνος ἐλευθερώσει, εἰπέ μοι; Ἁμαρτημάτων. Τί οὖν οἱ ἀλαζόνες ἐκεῖνοι; «Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε».

Κατέπεσεν εὐθέως αὐτῶν ἡ διάνοια· τοῦτο δὲ γέγονεν, ἀπὸ τοῦ πρὸς τὰ κοσμικὰ ἐπτοῆσθαι. «Ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ», δηλοῦντος ἦν τὰ ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ εἰδότος ὅτι ἐπίστευσαν μέν, ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ εἰδότος ὅτι ἐπίστευσαν μέν, οὐκ ἔμειναν δέ. Καὶ μέγα ἐπαγγέλλεται, τὸ μαθητὰς αὐτοῦ ἐκείνους γενέσθαι. Ἐπειδὴ γάρ τινες ἀνεχώρησαν πρώην, αἰνιττόμενος αὐτούς φησιν, Ἐὰν μείνητε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν καὶ ἐπίστευσαν, καὶ ἀνεχώρησαν, ἐπειδὴ οὐκ ἔμειναν. «Πολλοὶ γὰρ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ' αὐτοῦ παρρησίᾳ περιεπάτουν». «Γνώσεσθε τὴν ἀλήθειαν»· τουτέστιν, Ἐμέ· «Ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια». Τὰ μὲν Ἰουδαϊκὰ πάντα τύπος ἦν, τὴν δὲ ἀλήθειαν παρ' ἐμοῦ εἴσεσθε, καὶ ἐλευθερώσει ὑμᾶς τῶν ἁμαρτημάτων. Ὥσπερ γὰρ ἐκείνοις ἔλεγεν: «Ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε», οὕτω καὶ τούτοις ἔλεγεν, «Ἐλευθερώσει ὑμᾶς».

Καὶ οὐκ εἶπεν, Ἀπαλλάξω ὑμᾶς δουλείας· ἀλλὰ τοῦτο αὐτοῖς εἴασε συνιδεῖν. Τί οὖν ἐκεῖνοι; «Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε». Καίτοι εἰ ἐχρῆν ἀγανακτῆσαι, ἐπὶ τῷ προτέρῳ εἰκὸς ἦν τῷ εἰρηκέναι, «Γνώσεσθε τὴν ἀλήθειαν», καὶ εἰπεῖν· Τί οὖν; νῦν τὴν ἀλήθειαν οὐκ ἴσμεν; ὁ νόμος οὖν ψεῦδος καὶ ἡ γνῶσις ἡ ἡμετέρα; Ἀλλ' οὐδενὸς τούτων αὐτοῖς ἔμελλεν, ἀλλ' ἐπὶ κοσμικοῖς πράγμασιν ἀλγοῦσι, καὶ ταῦτα δουλείαν ὑποπτεύσαντες. Εἰσὶ

---

3. Ἰω. 6, 67.

Πρόκειται νὰ κάμω βαθεῖαν τομήν, ἀλλὰ μὴ κινῆσθε. Ἀλλὰ μὲ αὐτὰ τὰ λόγια μᾶλλον κατεπίεσε τὴν ἔπαρσιν τῆς ψυχῆς των. Ἀπὸ τί θὰ τοὺς ἐλευθερώσῃ, εἰπέ μου; Ἀπὸ τὰς ἁμαρτίας των βεβαίως. Ἀλλ' ἐκεῖνοι οἱ ἀλαζόνες τί ἀπήντησαν; «Εἴμεθα ἀπόγονοι τοῦ Ἀβραὰμ καὶ δὲν ἐγίναμεν ποτὲ κανενὸς δοῦλοι».

Ἀμέσως κατέπεσε τὸ πνεῦμα των καὶ αὐτὸ ἔγινε διότι εἶχαν τὸν φόβον τῶν γηΐνων πραγμάτων. «Ἐὰν μείνετε εἰς τὸν λόγον μου». Μὲ αὐτὰ τὰ λόγια ὁ Χριστὸς ἐφανέρωσεν ὅσα ἐκεῖνοι εἶχαν εἰς τὴν καρδίαν των καὶ ἀπεκάλυψεν ὅτι ἐπίστευσαν, ἀλλὰ δὲν ἔμειναν σταθεροὶ εἰς τὴν πίστιν. Καὶ τοὺς δίδει μεγάλην ὑπόσχεσιν, ὅτι δηλαδὴ θὰ γίνουν μαθηταί του. Καὶ ἐπειδὴ μερικοὶ εἶχον ἀποχωρήσει προηγουμένως, ὑπαινισσόμενος αὐτοὺς εἶπεν, «Ἐὰν μείνετε», ἀφοῦ καὶ ἐκεῖνοι ἤκουσαν, ἐπίστευσαν καὶ ἔφυγαν, ἀφοῦ δὲν ἔμειναν. «Διότι πολλοὶ ἀπὸ τοὺς μαθητάς του ἔφυγαν καὶ δὲν ἐπήγαιναν δημοσίᾳ πλέον μαζί του»[8]. «Θὰ γνωρίσετε τὴν ἀλήθειαν», δηλαδὴ Ἐμέ. «Διότι ἐγὼ εἶμαι ἡ ἀλήθεια». Τὰ Ἰουδαϊκὰ ἦσαν ὅλα τυπικά, ἀλλὰ τὴν ἀλήθειαν θὰ τὴν γνωρίσετε ἀπὸ ἐμὲ καὶ αὐτὴ θὰ σᾶς ἐλευθερώσῃ ἀπὸ τὰς ἁμαρτίας σας. Διότι, ὅπως ἔλεγεν εἰς τοὺς Ἰουδαίους, «Θὰ ἀποθάνετε μέσα εἰς τὰς ἁμαρτίας σας», ἔτσι λέγει τώρα καὶ εἰς αὐτοὺς «Θὰ σᾶς ἐλευθερώσῃ».

Δὲν τοὺς εἶπε Θὰ σᾶς ἀπαλλάξω ἀπὸ τὴν δουλείαν, ἀλλ' αὐτὸ τοὺς ἄφησε νὰ καταλάβουν. Καὶ τί ἀπήντησαν ἐκεῖνοι; «Εἴμεθα ἀπόγονοι τοῦ Ἀβραὰμ καὶ δὲν ἐγίναμεν ποτὲ δοῦλοι εἰς κανένα». Ἂν ὅμως ἔπρεπε ν' ἀγανακτήσουν, εὔλογον ἦτο ν' ἀγανακτήσουν δι' ἐκεῖνο ποὺ εἶχεν εἰπεῖ «Θὰ γνωρίσετε τὴν ἀλήθειαν» καὶ ν' ἀπαντήσουν· Δὲν γνωρίζομεν τώρα τὴν ἀλήθειαν; Ὁ νόμος εἶναι ψευδὴς καὶ ἡ γνῶσις μας; Ἀλλὰ δὲν τοὺς ἐνδιέφερε τίποτε ἀπὸ αὐτὰ καὶ λυποῦνται διὰ γήϊνα πράγματα καὶ ὑποπτεύουν αὐτὰ ὡς δουλείαν. Ὑπάρχουν, ὑπάρχουν καὶ σήμερα πολλοί, οἱ

γάρ, εἰσὶ καὶ νῦν πολλοὶ οἳ ἐπὶ μὲν τοῖς ἀδιαφόροις αἰσχύνονται, καὶ ἐπὶ τῇ δουλείᾳ ταύτῃ· ἐπὶ δὲ τῆς δουλείας τῆς ἁμαρτίας οὐκέτι, καὶ ἕλοιντο ἂν μυριάκις ἐκείνην κληθῆναι δοῦλοι τὴν δουλείαν, ἢ ταύτην ἅπαξ.

Τοιοῦτοί τινες ἦσαν κἀκεῖνοι καὶ οὐδὲ ᾔδεσαν ἄλλην δουλείαν καί φασι· Δούλους ἐκάλεσας τοὺς ἀπὸ τοῦ γένους τοῦ Ἀβραάμ, τοὺς εὐγενεῖς; οὓς οὐκ ἐχρῆν διὰ τοῦτο καλέσαι δούλους. «Οὐδέποτε γάρ, φησίν, «ἐδουλεύσαμεν». Τοιαῦτα γὰρ τῶν Ἰουδαίων τὰ αὐχήματα· «Σπέρμα Ἀβραάμ ἐσμεν, Ἰσραηλῖταί ἐσμεν». Οὐδαμοῦ τῶν οἰκείων κατορθωμάτων μέμνηται. Διὰ τοῦτο πρὸς αὐτοὺς ἀνέκραγεν Ἰωάννης, λέγων· «Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ». Διατί δὲ μὴ ἤλεγξεν αὐτοὺς ὁ Χριστός; καὶ γὰρ πολλάκις ἐδούλευσαν, καὶ Αἰγυπτίοις, καὶ Βαβυλωνίοις, καὶ ἑτέροις πολλοῖς. Ὅτι οὐ πρὸς φιλοτιμίαν αὐτῷ τὰ λεγόμενα ἦν, ἀλλὰ πρὸς σωτηρίαν, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τοῦτο ἠπείγετο. Ἐπεὶ εἶπεν ἂν τὰ τετρακόσια ἔτη· εἶπεν ἂν τὰ ἑβδομήκοντα· εἶπεν ἂν τὰ ἐπὶ τῶν κριτῶν, τὰ ποτὲ μὲν εἴκοσι, ποτὲ δὲ δύο, ποτὲ δὲ ἑπτά· εἶπεν ἄν, πῶς οὐδέποτε διέλιπον δουλεύοντες. Ἀλλ' οὐ τοῦτο ἐσπούδαζε δεῖξαι, δούλους ἀνθρώπων γενομένους, ἀλλὰ τῆς ἁμαρτίας, ἥπερ ἐστὶ καὶ χαλεπωτάτη δουλεία, ἧς Θεὸς μόνος ἀπαλλάξαι δύναται. Τὸ γὰρ ἀφεῖναι ἁμαρτίας, οὐδενὸς ἑτέρου ἐστί· καὶ τοῦτο καὶ αὐτοὶ ὡμολόγουν.

Ἐπεὶ οὖν τοῦτο ὡμολόγουν Θεοῦ ἔργον εἶναι, εἰς τοῦτο αὐτοὺς ἐνάγει, καί φησι· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας», δεικνὺς ὅτι περὶ ταύτης λέγει τῆς

ὁποῖοι ἐντρέπονται διὰ τὰ ἀσήμαντα καὶ δι' αὐτὴν τὴν δουλείαν, ἀλλὰ διὰ τὴν δουλείαν τῆς ἁμαρτίας καθόλου καὶ οἱ ὁποῖοι θὰ προετίμων χιλίας φορὰς νὰ ὀνομασθοῦν δοῦλοι δι' αὐτὴν τὴν δουλείαν παρὰ διὰ τὴν ἄλλην ἔστω καὶ μίαν φοράν.

Τέτοιοι ἦσαν καὶ οἱ 'Ιουδαῖοι, δὲν ἤξευραν ἄλλην δουλείαν καὶ τοῦ λέγουν· 'Ωνόμασες δούλους τοὺς ἀπογόνους τοῦ 'Αβραάμ, αὐτοὺς ποὺ εἶναι εὐγενεῖς; Αὐτοὺς δὲν ἔπρεπε δι' αὐτὸν τὸν λόγον νὰ ὀνομάσῃς δούλους. Διότι ποτέ, λέγουν, «Δὲν ἐγίναμεν δοῦλοι». Τοιαῦται ἦσαν αἱ καυχησιολογίαι τῶν 'Ιουδαίων. «Εἴμεθα ἀπόγονοι τοῦ 'Αβραάμ, εἴμεθα 'Ισραηλῖται». Πουθενὰ ὅμως δὲν ἐνθυμοῦνται τὰ κατορθώματά τους. Δι' αὐτὸ ἔλεγεν εἰς αὐτοὺς ὁ 'Ιωάννης μὲ δυνατὴν φωνήν· «Μὴ νομίσετε ὅτι ἠμπορεῖτε νὰ λέγετε, ἔχομεν Πατέρα τὸν 'Αβραάμ». Διατί ὅμως δὲν τοὺς ἤλεγξεν ὁ Χριστός; Διότι πολλὰς φορὰς ἔγιναν δοῦλοι εἰς τοὺς Αἰγυπτίους, εἰς τοὺς Βαβυλωνίους καὶ εἰς πολλοὺς ἄλλους. Διότι τὰ λόγια του δὲν ἀπέβλεπαν εἰς φιλοδοξίαν, ἀλλ' εἰς σωτηρίαν καὶ εἰς παροχὴν εὐεργετημάτων πρὸς αὐτοὺς καὶ δι' αὐτὸ ἐφρόντιζεν. Διότι θὰ ἠμποροῦσε ν' ἀναφέρῃ τὰ τετρακόσια ἔτη τῆς δουλείας, θὰ ἠμποροῦσε ν' ἀναφέρῃ τὰ ἑβδομήκοντα ἔτη ποὺ ἦσαν ὑπὸ τὴν δουλείαν τῶν Κριτῶν, τὰ ἄλλοτε εἴκοσιν, ἄλλοτε δύο καὶ ἄλλοτε ἑπτὰ ἔτη ποὺ ἦσαν δοῦλοι καὶ θὰ ἠμποροῦσε νὰ εἰπῇ, ὅτι δὲν ἔπαυσαν ποτὲ νὰ εἶναι δοῦλοι. 'Αλλὰ δὲν ἐνδιεφέρετο ν' ἀποδείξῃ, ὅτι ἔγιναν δοῦλοι τῶν ἀνθρώπων, ἀλλὰ τῆς ἁμαρτίας, ποὺ εἶναι καὶ ἡ πλέον βαρεῖα δουλεία καὶ ἀπὸ τὴν ὁποίαν μόνον ὁ Θεὸς ἠμπορεῖ νὰ μᾶς ἀπαλλάξῃ. Διότι ἡ ἄφεσις τῶν ἁμαρτιῶν δὲν εἶναι κανενὸς ἄλλου ἔργον. Τοῦτο παρεδέχοντο καὶ οἱ 'Ιουδαῖοι.

'Επειδὴ λοιπὸν παρεδέχοντο ὅτι αὐτὸ εἶναι ἔργον τοῦ Θεοῦ, τοὺς εἰσάγει εἰς αὐτὸ καὶ τοὺς λέγει· «'Εκεῖνος ποὺ κάμνει τὴν ἁμαρτίαν, εἶναι δοῦλος τῆς ἁμαρτίας» καὶ ἀπο-

ἐλευθερίας, τῆς ἀπὸ ταύτης τῆς δουλείας. «Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ· ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα». «Ἠρέμα καὶ ἐντεῦθεν τὰ τοῦ νόμου καταβάλλει, αἰνιττόμενος τοὺς προτέρους χρόνους. Ἵνα γὰρ μὴ ἀνατρέχωσι καὶ λέγωσι· Θυσίας ἔχομεν ἃς ἐπέταξε Μωϋσῆς· ἐκεῖναι ἡμᾶς ἀπαλλάξαι δύνανται· διὰ τοῦτο ταῦτα ἐπήγαγεν. Ἐπεὶ ποίαν ἀκολουθίαν εἶχε τὰ εἰρημένα; «Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι», καὶ οἱ ἱερεῖς αὐτοί. Διὰ τοῦτο καὶ Παῦλός φησι περὶ τοῦ ἱερέως· ὅτι «Ὀφείλει», φησί, «προσφέρειν ὑπὲρ ἑαυτοῦ, καθὼς ὑπὲρ τοῦ λαοῦ, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν». Καὶ τοῦτο δηλοῦται διὰ τοῦ εἰπεῖν, «Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ». Ἐνταῦθα δὲ καὶ τὸ ὁμότιμον αὐτοῦ δείκνυσι τὸ πρὸς τὸν Πατέρα, καὶ τὸ διάφορον δούλου καὶ ἐλευθέρου· ἡ γὰρ περιβολὴ τοῦτο βούλεται, τουτέστιν, οὐκ ἔχει ἐξουσίαν ὁ δοῦλος· τοῦτο γάρ ἐστι τό, «Οὐ μένει».

2. Διατί δὲ περὶ ἁμαρτημάτων διαλεγόμενος, οἰκίας ἐμνημόνευσε; Δεικνὺς ὅτι ὥσπερ ἐπὶ οἰκίας ὁ δεσπότης, οὕτω πάντων αὐτὸς ἐξουσιάζει. Τὸ δέ, «Οὐ μένει», τουτό ἐστιν Οὐκ ἔχει ἐξουσίαν χαρίζεσθαι, ἅτε μὴ ὢν οἰκοδεσπότης· ὁ δὲ υἱὸς οἰκοδεσπότης ἐστί. Τοῦτο γάρ ἐστι, «Μένει εἰς τὸν αἰῶνα», ἀπὸ μεταφορᾶς τῶν ἀνθρωπίνων, ἵνα μὴ λέγωσι, Σὺ τίς εἶ; Ἐμά ἐστι πάντα· Υἱὸς γάρ εἰμι, καὶ ἐν τῇ οἰκίᾳ μένω τοῦ Πατρός· οἰκίαν καὶ ἐξουσίαν καλῶν. Καὶ γὰρ καὶ ἀλλαχοῦ οἰκίαν καλεῖ τοῦ Πατρὸς τὴν ἀρχήν· «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν». Ἐπειδὴ γὰρ περὶ ἐλευθερίας καὶ δουλείας ὁ λόγος, εἰκότως ταύτῃ κέ-

---

4. Ρωμ. 3, 23-24.
5. Ἑβρ. 5, 3 καὶ 2.
6. Ἰω. 14, 2.

δεικνύει ὅτι ὁμιλεῖ περὶ αὐτῆς τῆς ἐλευθερίας, ἡ ὁποία προέρχεται ἀπὸ αὐτὴν τὴν δουλείαν. «Ὁ δὲ δοῦλος δὲν μένει εἰς τὴν οἰκίαν παντοτεινά, ἀλλ' ὁ Υἱὸς μένει». Σιωπηρῶς καταρρίπτει τὸν νόμον καὶ ὑπονοεῖ τοὺς προηγουμένους χρόνους. Διὰ νὰ μὴ ἀνατρέχουν εἰς τοὺς παλαιοτέρους χρόνους καὶ ἰσχυρίζονται, ἔχομεν θυσίας τὰς ὁποίας μᾶς ἐπέβαλεν ὁ Μωϋσῆς καὶ ἐκεῖναι ἠμποροῦν νὰ μᾶς ἀπαλλάξουν ἀπὸ αὐτὴν τὴν δουλείαν, διὰ τοῦτο ἐπρόσθεσεν αὐτά. Ἐπειδὴ ἄλλως, ποίαν συνέπειαν θὰ εἶχαν αὐτὰ ποὺ ἐλέχθησαν; «Διότι ὅλοι ἡμάρτησαν καὶ στεροῦνται τῆς δόξης τοῦ Θεοῦ καὶ παίρνουν τὴν δικαίωσιν δωρεὰν μὲ τὴν χάριν αὐτοῦ»[4] καὶ οἱ ἴδιοι οἱ ἱερεῖς. Διὰ τοῦτο ὁ Παῦλος λέγει περὶ τοῦ ἱερέως· «Ὑποχρεοῦται νὰ προσφέρῃ θυσίας διὰ τὸν ἑαυτόν του καὶ διὰ τὸν λαόν, ἐπειδὴ καὶ αὐτὸς περιβάλλεται ἀπὸ ἀδυναμίαν»[5]. Καὶ αὐτὸ σημαίνουν τὰ λόγια τοῦ Χριστοῦ, «Ὁ δοῦλος δὲν μένει εἰς τὴν οἰκίαν παντοτεινά». Ἐδῶ μάλιστα δεικνύει τὴν ἰσοτιμίαν του μὲ τὸν Πατέρα καὶ τὴν διαφορὰν μεταξὺ δούλου καὶ ἐλευθέρου. Διότι ἡ παραβολὴ αὐτὸ θέλει ν' ἀποδείξῃ, δηλαδὴ ὅτι ὁ δοῦλος δὲν ἔχει δύναμιν. Αὐτὸ σημαίνει ἡ φράσις του, «Δὲν μένει παντοτεινά».

2. Διατί ὅμως ἐνῷ ὁμιλεῖ περὶ ἁμαρτημάτων, ἐνεθυμήθη τὴν οἰκίαν; Διὰ νὰ δείξῃ ὅπως εἰς τὴν οἰκίαν ὁ κύριος, ἔτσι καὶ αὐτὸς τὰ ἐξουσιάζει ὅλα. Καὶ τὸ «Δὲν μένει παντοτεινά», σημαίνει Δὲν ἔχει ἐξουσίαν νὰ χαρίσῃ, διότι δὲν εἶναι ὁ κύριος τῆς οἰκίας· ὁ υἱὸς ὅμως εἶναι οἰκοδεσπότης. Διότι αὐτὸ τὸ «Μένει αἰωνίως» ἔγινε διὰ μεταφορᾶς τῶν ἀνθρωπίνων, διὰ νὰ μὴ τοῦ λέγουν· Σὺ ποῖος εἶσαι; Ὅλα εἶναι ἰδικά μου, διότι εἶμαι ὁ Υἱὸς καὶ μένω εἰς τὴν οἰκίαν τοῦ Πατρός μου. Τὴν οἰκίαν ὀνομάζει καὶ ἐξουσίαν. Διότι καὶ εἰς ἄλλον μέρος τὴν ἐξουσίαν τοῦ Πατρὸς ὀνομάζει οἰκίαν· «Εἰς τὴν οἰκίαν τοῦ Πατρός μου ὑπάρχουν πολλαὶ διαμοναί»[6]. Ἐπειδὴ δηλαδὴ κάμνει λόγον περὶ ἐλευθερίας

χρηται τῇ μεταφορᾷ, λέγων ὅτι οὐκ εἶχον ἐξουσίαν ἐκεῖνοι ἀφιέναι.

«Ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ». Εἶδες τὸ ὁμοούσιον τὸ πρὸς τὸν Πατέρα, καὶ πῶς δείκνυσι τὴν αὐτὴν ἔχοντα αὐτὸν ἐξουσίαν ἐκείνῳ; «Ἐὰν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ», οὐδεὶς ἀντιλέγει λοιπόν, ἀλλὰ βεβαίαν ἔχετε τὴν ἐλευθερίαν. «Θεὸς γὰρ ὁ δικαιῶν· τίς ὁ κατακρίνων;». Ἐνταῦτα δείκνυσι καὶ ἁμαρτίας ἑαυτὸν καθαρόν, καὶ τὴν μέχρι προσηγορίας ἐλευθερίαν αἰνίττεται· ταύτην γὰρ καὶ ἄνθρωποι διδόασιν, ἐκείνην δὲ μόνος ὁ Θεός. Καὶ διὰ τούτου πείθει αὐτοὺς μὴ αἰσχύνεσθαι ἐπὶ τῇ δουλείᾳ ταύτῃ, ἀλλ' ἐπὶ τῇ τῆς ἁμαρτίας. Καὶ βουλόμενος δεῖξαι, ὅτι εἰ καὶ δοῦλοι οὐκ ἦσαν, διὰ τοῦ ἐκείνην ἀποκρούσασθαι μᾶλλον γεγόνασι δοῦλοι, ἐπήγαγεν εὐθέως, «Ὄντως ἐλεύθεροι ἔσεσθε». Διὰ δὲ τῆς ἐπαγωγῆς καὶ ἐμφαίνει, ὅτι αὕτη ἡ ἐλευθερία οὐκ ἀληθής.

Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν (εἰκὸς γὰρ τοῦτο ἦν εἰπεῖν), ὅρα πῶς αὐτοὺς εἰς τὴν κατηγορίαν ἐνέβαλε ταύτην. Ἀφεὶς γὰρ πάντα αὐτῶν ἐλέγξαι τὸν βίον, τοῦτο τὸ μετὰ χεῖρας, ὃ ἔτι πράττειν ἐβούλοντο, ἄγει εἰς μέσον, καί φησιν· «Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι». Ἠρέμα καὶ κατὰ μικρὸν ἐκβάλλει τῆς συγγενείας αὐτοὺς ἐκείνης, παιδεύων μὴ μέγα φρονεῖν ἐπὶ τούτῳ. Ὥσπερ γὰρ ἐλευθερία καὶ δουλεία ἀπὸ τῶν ἔργων, οὕτω καὶ συγγένεια. Καὶ οὐκ εἶπεν εὐθέως, Οὐκ ἐστὲ τοῦ Ἀβραάμ, οἱ ἀνδροφόνοι τοῦ δικαίου· ἀλλὰ καὶ συντρέχει τέως, καί φησιν· «Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε», ἀλλὰ οὐ τοῦτό ἐστι τὸ ζητούμενον, καὶ λοιπὸν καταφορικωτέρᾳ κέχρηται τῇ δημηγορίᾳ ταύτῃ.

καὶ δουλείας, ὀρθῶς χρησιμοποιεῖ αὐτὴν τὴν μεταφορὰν καὶ λέγει ὅτι ἐκεῖνοι δὲν ἠμποροῦσαν ν' ἀποβάλουν αὐτὴν τὴν ἐξουσίαν.

«Ἐὰν σᾶς ἐλευθερώσῃ ὁ Υἱός». Εἶδες μὲ ποῖον τρόπον ἀποδεικνύει, ὅτι εἶναι τῆς αὐτῆς οὐσίας μὲ τὸν Πατέρα καὶ ὅτι ἔχει τὴν ἰδίαν ἐξουσίαν μὲ ἐκεῖνον; «Ἐὰν σᾶς ἐλευθερώσῃ ὁ Υἱός», θὰ ἔχετε χωρὶς ἀντίρρησιν ἐξησφαλισμένην τὴν ἐλευθερίαν. «Διότι, ὅταν ἐκεῖνος ποὺ κρίνει εἶναι ὁ Θεός, ποῖος εἶναι ἐκεῖνος ποὺ θὰ σᾶς καταδικάσῃ;». Ἐδῶ ἀποδεικνύει τὸν ἑαυτόν του καθαρὸν ἀπὸ ἁμαρτίαν καὶ ὑπαινίσσεται τὴν κατ' ὄνομα μόνον ἐλευθερίαν, τὴν ὁποίαν δίδουν οἱ ἄνθρωποι, ἀλλὰ τὴν ἄλλην τὴν δίδει μόνον ὁ Θεός. Καὶ δι' αὐτὸ προσπαθεῖ νὰ τοὺς πείσῃ νὰ μὴ ἐντρέπωνται δι' αὐτὴν τὴν δουλείαν, ἀλλὰ διὰ τὴν δουλείαν τῆς ἁμαρτίας. Καὶ ἐπειδὴ ἤθελε νὰ τοὺς ἀποδείξῃ, ὅτι ἂν καὶ δὲν ἦσαν δοῦλοι, ὅμως μὲ τὸ ν' ἀποκρούσουν ἐκείνην, ἔγιναν περισσότερον δοῦλοι, ἐπρόσθεσεν ἀμέσως· «Θὰ εἶσθε πραγματικὰ ἐλεύθεροι». Ἔπειτα δηλώνει, ὅτι αὐτὴ ἡ ἐλευθερία δὲν εἶναι ἀληθινή.

Ἔπειτα διὰ νὰ μὴ ἰσχυρίζωνται ὅτι, δὲν ἔχομεν ἁμαρτίαν (διότι φυσικὸν ἦτο νὰ τὸ ἰσχυρισθοῦν), πρόσεχε μὲ ποῖον τρόπο τοὺς κατηγορεῖ. Διότι ἀφοῦ ἄφησε τὸν ἔλεγχον ὅλης τῆς ζωῆς των, αὐτὸ τὸ ἔγκλημα ποὺ ἐσκέπτοντο ἀκόμη νὰ διαπράξουν ἀποκαλύπτει καὶ λέγει· «Γνωρίζω ὅτι εἶσθε ἀπόγονοι τοῦ Ἀβραάμ, ἀλλὰ ζητεῖτε νὰ μὲ φονεύσετε». Μὲ ἠρεμίαν καὶ ὀλίγον κατ' ὀλίγον τοὺς ἀπομακρύνει ἀπὸ ἐκείνην τὴν συγγένειαν, διδάσκων αὐτοὺς νὰ μὴ μεγαλοφρονοῦν διὰ τοῦτο. Διότι ὅπως ἡ ἐλευθερία καὶ ἡ δουλεία ἐξαρτᾶται ἀπὸ τὰ ἔργα, ἔτσι καὶ ἡ συγγένεια. Καὶ δὲν εἶπεν ἀμέσως Δὲν εἶσθε ἀπόγονοι τοῦ Ἀβραάμ, τοῦ δικαίου, σεῖς οἱ φονεῖς, ἀλλὰ συμφωνεῖ μὲ αὐτοὺς ὡς ἕνα σημεῖον καὶ λέγει· «Γνωρίζω ὅτι εἶσθε ἀπόγονοι τοῦ Ἀβραάμ». Ἀλλὰ δὲν εἶναι αὐτὸ ποὺ ἐξετάζεται. Δι' αὐτὸ χρησιμοποιεῖ εἰς τὴν συνέχειαν αὐστηροτέραν γλῶσσαν πρὸς αὐτούς.

Καὶ γὰρ ἔστιν ὡς τὰ πολλὰ παρατηρῆσαι, ὅτι μέλλων μέγα ἐργάζεσθαί τι, μετὰ τὸ ἐργάσασθαι, πλείονι κέχρηται τῇ παρρησίᾳ, ὡς τῆς μαρτυρίας τῆς ἀπὸ τῶν ἔργων ἐπιστομιζούσης αὐτούς. «Ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι». Τί οὖν, εἰ δικαίως, φησίν; Ἀλλ' οὐδὲ τοῦτο· διὸ καὶ τὴν αἰτίαν τίθησιν, ὅτι «Ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν». Πῶς οὖν φησιν, ὅτι ἐπίστευον εἰς αὐτόν; Ἀλλ' ὅπερ ἔφην, μετετίθεντο πάλιν. Διὸ καὶ σφόδρα αὐτῶν καθήψατο. Εἰ γὰρ τὴν συγγένειαν αὐχεῖτε ἐκείνου, καὶ τὸν βίον ἐπιδείξασθαι χρή. Καὶ οὐκ εἶπεν, Οὐ χωρεῖτε τὸν λόγον, ἀλλ', «Οὐ χωρεῖ ὁ ἐμὸς λόγος ἐν ὑμῖν», τὸ ὑψηλὸν αὐτοῦ τῶν δογμάτων ἐπιδεικνύμενος.

